# ΠΕΡΙ

## Φιλοσόφου, Φιλοσοφίας, Φυσικῶν, ΜεταΦυσικῶν, Πνευματικῶν καὶ Θείων Ἀρχῶν,

ὅσα διαφόροις σοφοῖς ἀνδράσι συντεθέντα,

πρὸς

# ΧΡΙΣΤΟΔΟΥΛΟΥ,

τοῦ ἐξ ἀκαρνανίας, εἰς τὴν ἑλλάδα φωνὴν μεταφράσθη, ἀναλώμασι καὶ δαπάνῃ τῶν ἐν Βιέννῃ χρησιμωτάτων καὶ ἐντιμωτάτων ἐμπόρων τύποις ἐκδοθέντα πρὸς ὠφέλειαν τῶν ὁμογενῶν φιλελλήνων.

Ἐν Βιένῃ τῆς Αὐστρίας
ἐν τῇ Τυπογραφίᾳ Ἰωσήπου τοῦ Βαυμεϊστέρου
1786.

## Τοῖς Ἐντευξομένοις.

---

Ὡς ἐν ἱερῷ ϗ θείῳ περιβόλῳ, ἐν τῇ τῶν καθ' ἡμᾶς φιλοσοφȣ́ντων ἐπιςημονικῇ ϗ σοφῇ βίβλῳ, ἧς λογικὸν λεξικὸν, τȣ̓́νομα, διὰ πλείςȣ μετὰ θεωρίας ποιȣ́μενος τὰς ἐμαυτȣ̃ μελέτας, ϗ τὰ ἐν αὐτῇ παντοῖα ϗ διάφορα γένη ϗ εἴδη οἱασȣ̃ν τέχνης, ἢ ἐπιςήμης λόγῳ διεξερχόμενος, ὡς εἰς εὔδιον λιμένα, ἐς φιλοσόφȣ κἂν ἀνάξιος, προσώρμησά ποτε· ὃς δ' ἵλεως ἀποδεξάμενός με, ϗ, ὅσοις τε ϗ οἵοις ἐνῆν αὐτῷ, δεξιωσάμε-

νος, οἶδ᾽, ὅσα τὸν Φιλοσοφήσοντα, εἴρετό με, ἔφθη γάρ με ἐρωτήσοντα σκεπτόμενον, ξυγκροτεῖ; τούτων δυοῖν ὄντων, ὧν ἑκάτερον, τριτὸν, τὸ μὲν, Φυσικὸν, ἔφη, εἴτ᾽ οὖν βυθὸς ζωηρωτάτης μνήμης, φῶς διακρίσεως ἀπαστράπτον, καὶ τέλος τὸ τῆς ἀγχινοίας διαβατικόν τε καὶ εὑρετικὸν· ἀμνημονεῖν γὰρ τῶν προαντιληφθέντων, ὅσων καὶ οἵων αὐτῶν ἀντιλαμβάνεταί τις, μὴ ἀεὶ ἐννῷ τοσαῦτα καὶ τοιαῦτα κατέχοντα· ἢ κατεχόμενα, ἀεὶ ταῦτ᾽ ἀλλήλων ἴδια μὴ χωρίζειν, ὡς κᾀυτήν γε ταύτην τὴν ἐσχάτην καὶ μάλ᾽ ἐσωτερικὴν αὐτῶν διαφορὰν καθορᾷν· ἢ μὴ ὡς ῥᾷστα διανοίᾳ δράττεσθαι τοῦ, ὃς ἄλληλα ταῦτα ξυνάπτων, ξυνδεῖ, ἀμέσου, ἀληθοῦς, καὶ ὡς εἰπεῖν, Φυσικοῦ συνδέσμου, ἢ ὅρου, πρὸς ἄκρον Φιλοσοφίας τῷ Φύσει πάντων, ἤ τινων, ἤ τινος τούτων ἀποροῦντι οὐδὲν ὅλως τὸ ὄφελος, ἢ τοὐναντίον ἅπας ὁ ταύτης

καρ-

καρπὸς τούτοις ἂν ἑδράζοιτο, ὅτῳ ξυνάμα πάντα ταῦτα φύσει ξυνῆλθε ϗ ξυνέρευσεν. ὅπου γὰρ, ϗ ξυμπάντων γε παρόντων, εἰ μὴ τούτοις, ὃ τὸ δεύτερον, παρατήρησις, πεῖρα, ϗ λόγος ἀποχρῶν ἐξ ἀνάγκης προςίθοιτο, ὧν ἡ μὲν πρώτη, προσοχὴ νόου πρὸς τ' ἀντικείμενα, ὅσα γε φύσει παρίςαται τούτῳ, ϗ ἐν γένει, ἡ πάντων τῶν φυσικῶν ἀποτελεσμάτων, οὐχ ὅπως τῶν πρώτως, εἴτ' οὖν δίχα τῆς ἄλλου του ἐν τούτοις παρεμπτώσεως, τῇ ὁράσει παριςαμένων, ἀλλὰ καὶ ἡ τῶν, ὅσα γ' ἐργατικῆς χειρὸς, μὴ μεταβαλλούσης, οὐδ' ἀλλοιούσης, οὐδ' ὅλως ἀκοσμούσης αὐτῶν τι, ἄνευ οὐκ ἂν ἀνακαλύπτοιτο, ἀκριβὴς ϗ μετὰ λόγου ἐξέτασις. ἡ δὲ δευτέρα, ἡ αὐτὴ ἐκείνου προσοχὴ πρὸς τὰ φαινόμενα, ὅσα τέχνῃ παράγεται, ἧς τὸ πολυχεδές τε ϗ πολύσημον ὧδε παραιτουμένοις, ἀρχὴ ἀντιφάσεως, τὸ τρίτον, εἴτ' οὖν ταὐτὸ ἅ-

μα εἶναι καὶ μὴ εἶναι, ἀδύνατον, καὶ ὅσαγε τῶν ἀξιωμάτων, τὲτ᾽ ἀδελφὰ, ἐν ταῖς τῶν τῆς Φιλοσοφίας πραγματειῶν εἰδικαῖς διέσπαρται, δι᾽ ὧν πᾶσα ἀλήθεια κρατύνεται, καὶ ἃς τὸν ὡς εἰκὸς Φιλοσοφήσειν μέλλοντα, οὐκ ἀγνοεῖν, πρὀργιαίτατον· ὅπε Φημὶ, τέτων ἄνευ, οὗτος, ἀΦιλόσοφος, μήτιγε ἀεὶ ποθ᾽ ἧττον, ἢ τοιοῦτος, δίχ᾽ ἐκείνων· ἀλλὰ καὶ ξυνελθόντων ἀμφοῖν τούτων Φύσει καὶ τύχῃ, ἔςιν ὅπως τοῦτον τοιοῦτον καλεῖσθαι, ὀμνύοντα μὲν αἰδοῖ καὶ ἀρχαιότητι τοῖς πάλαι, τοῖς δὲ νῦν ἀντιβαίνοντα νεότητι, μέσον τοῖς ἐξ ἑκατέρας μερίδος ἥκιςά ποτ᾽ ἐΦιςάμενον, ἀεὶ τὴν Φίλην ἀλήθειαν, καὶ ταύτην ἅμα γυμνὴν ἐν τῇ αὐτῆς Φύσει τῷ ὀρθῷ τε καὶ ἀπταίςῳ λόγῳ καταιδούμενόν τε καὶ σεβόμενον ἐν ἑκατέροις, ὅλῃ ψυχῇ περιπτύσσεσθαι; ἀλλ᾽ εἴγε ὁ τούτων ἁπάντων ἄμοιρος, τοῖς Φύσει καὶ τύχῃ

ταυ-

ταῦτα τωόντι πεπλετηκόσιν οὐκ ἂν ποτ᾿ εἴη συγκαταταϰτέος, ἆρ᾿ οὐχ ἑπόμενον φύσει, ἵνα καὶ τεταρτόντι τῶν εἰρημένων οὐχ ἧττον ἀναγκαῖον φῶ, τὸν τὰ τῷ θείῳ, ἑαυτῷ, καὶ τοῖς ὁμοίοις αὐτῷ καθήκοντα μὴ εἰδότα, εἴτ᾿ οὖν τὴν πρώτην αἰτίαν, δημιεργὸν καὶ κύριον τοῦ παντὸς οὐχ ὁμολογοῦντα λατρεύειν, τοὺς τῶν ὕμνων ἀνήκοντας, καὶ τὰς αὐτῷ ταύτῃ ὀφειλομένας εὐχαριςίας ὅλῃ ψυχῇ ἀπονέμοντα, ἅπανθ᾿, ὅσαγ᾿ ἑαυτῷ, ὠφέλιμα μὲν, δίκαια δὲ, ὧν ἄνευ βιοῦν αὐτὸν, οὐχ οἷόν τε, ἀγνοοῦντα, ἢ γινώσκοντα, αὐτὰ ταῦτα καὶ τοῖς καθ᾿ αὐτὸν μὴ παρέχειν, οἵωνπερ τούτων καὶ παρ᾿ αὐτῶν οὗτος δεῖται, φρονήσει, σωφροσύνῃ καὶ πάσῃ φιλανθρωπίᾳ κεκοσμημένον μὴ ὑπάρχειν, οὐδὲ καλεῖσθαι τοιοῦτον; ἑαυτὸν δὴ ὅλον μοι διὰ βραχέων οὕτως ἀπογυμνώσαντος, καὶ οἷον παγκαλόν τι καὶ θεῖον ἀνδριάντα, διαγρά-

γρά-

γράψαντός μοι τὸν Φιλοσοφοῦντα, τὸν τοῦτ' ἀθάνατον πλοῦτον, καὶ τὴν θείαν ἀρετὴν, ὅσα καὶ οἷα εἶναι δεῖ ταῦτα, καταμαθὼν ἐγὼ, τοῖς, ὅσοι, ὅ,τι ποτε Φιλόσοφος, ἴσως οὐδὲ κἂν ὄναρ ἴσασι πώποτε, ἵνα μήθ' οὗτοι ἔτι τοῦτον αὐτὸν ἀγνοοῖεν, μεθερμηνεύειν, ἀπεσεισάμην ὄκνον ἅπαντα.

Α'μέτρῳ μέντοι καταφλεγομένῳ ἔρωτι, καὶ τὴν ὡς πεφιλημένην δέσποιναν αὐτὴν τῷ νῷ διγράφοντος, ξυνεὶς μου οὗτος, προορατικὸς γὰρ ὢν ἐτύγχανε, τὴν συντομωτάτην βαδίσεις, ἔφη μοι, τήν τε ἱςορίαν καὶ τὸν περὶ ἐκείνην ὁρισμὸν ζητήσων, δείξας ἅμα, φθόνου γὰρ κρείττων παντὸς ἐτέλει, ἔνθ' ἀμφοῖν τούτων, ὅσων καὶ οἵων ἐφιέμην, οὐκ ἂν ἀποτύχοιμι· παραςάντι δ' αὐτῇ, ἀφικέσθαι γὰρ οὐκ ἀνεβαλόμην, καὶ τὰς αὐτῆς ἁγνοτάτας καὶ θείας χεῖρας, οἷα εἰ-

εἰκὸς, αἰδοῖ τε καὶ εὐλαβείᾳ κατασπασαμένῳ, ὡς ἐν παρόδῳ τὴν αὐτῆς πρώτην ἐκδοχὴν αὐτὴ διεξῆλθέ μοι· ἔσπευδε γὰρ τὴν αὐτῆς φύσιν μᾶλλον, ἢ τὰ περὶ αὐτὴν πάθη ὑποδεικνύειν μοι· ταύτην ἀλλ' οὖν, ὡς ὡραίαν μὲν τὸ εἶδος, ὡς διαφανῆ δὲ τῇ τοῦ σώματος ὕλῃ, κᾂν ὑφῇ περιςελλόντων αὐτὴν πάνυ εὐαρίθμων καὶ ἁπλῶν τινων ῥημάτων, οἷα τῶν ἀναβολῶν πολυτίμῳ τινι, ἥδε κατακοσμεῖται, νοεροῖς καταθεώμενος ὄμμασιν, ἀπορίᾳ πολλῇ καὶ θάμβει συνειχόμην οὐ μετρίῳ, ὡς τό, τε κάλλος καὶ τὸ φῶς, οἷς αὐτὴν οἱ πάλαι διαγράφουσιν, ἰσότητα, ἢ ὁμοιότητά τινα τοῖς, ὅσοις οἱ καθ' ἡμᾶς, οὐδεμίαν ὅλως ἔχει· τοιαύτην δὲ διαφαινούσης τὴν αὐτῆς ψυχὴν, τὰ μέλη, ὅσα τ' αὐτῆς ὅλον σῶμα συγκροτεῖ, εἰ καί πως μείζω, ἢ κατ' αὐτὴν, δοκεῖ πορίζεσθαι τὴν διαφά-

φάνειάν τε ϗ λαμπρότητα, ὡς οἰκείαις ϗ μέσαις περιβολαῖς καλλωπιζόμενα, ἀλλὰ ταῖς κατ' ἐκείνην καλλοναῖς τε καὶ χάρισιν ȣ̓χ ἧττον καταγλαΐζεται· ὄντων δὴ τοσούτων γε ϗ τοιούτων, μεγάθει δὲ ϗ λαμπρότητι παριςώντων, ὅσης τε ϗ οἵας δεσποίνης πεφύκασι· τὸ μὲν ὅλον ȣ̓ράνιόν τε καὶ θεῖον, ἅττε θεὸν αὐτὸν, τάτ' ἐν τούτῳ ϗ περὶ τȣ́του δυνατὰ, πάντα τρανῶς ἀναπτύσσον, ϗ πρὸς ἀκρίβειαν ἑρμηνεῦον, οἷον, τὸ φυσικὸν, ἢ μεταφυσικὸν, θεολογικὸν. τὸ γὰρ ἁπλῶς θεολογικὸν εἰς αὐτὰ ταῦτα διαιρεῖται· τὸ δὲ, εἰ ϗ ἀξίᾳ ϗ μεγέθει τούτȣ ἔλαττον, κάλλει γε μὴν ϗ χάριτι ὑπωσȣ̃ν αὐτῷ ϗ συναμιλλᾶται, οἷον, ἡ ψυχὴ αὐτὴ, τὰ ἐν αὐτῇ ϗ περὶ αὐτὴν δυνατὰ, ὃ, ψυχολογικὸν, ἢ πνευματολογικὸν ἀκȣ́ει· τὸ δὲ, τὰ, ὅσαγ' ἐν τῷ καθ' ἡμᾶς φαινομέ-

νῳ

νῷ τε καὶ ὑλικῷ τῷδε συςήματι, εἴτ᾽ οὖν τὰ περὶ αὐτὸ τὸ σῶμα δυνατὰ, οἷον, τὸ Φυσικὸν, ὅπερ εἰ καὶ ὑποδιεῖλον, εἰς αὐτὸ τοῦτο τὸ Φυσικὸν καὶ μεταφυσικὸν, τὸ τῆς τοῦ καθηγητοῦ διαιρέσεως τριτὸν ὑπερβὰς, ἡ τῆς βίβλου ὕλη τὴν ὑποθήκην ταύτην μοι πεποίηται, ἣ κἀξ αὐτῆς γε ταύτης παντὶ πρόδηλον· ἀλλ᾽ αὐτὸς καὶ ὑπὲρ τὰ τέτταρα ταῦτα ἥλλου, τούτων τὸ ὀντολογικὸν πλεονάσας· ἐνταῦθα λιχνευσαμένου μου, τὴν καλὴν ἀπληςίαν διαβαλλέτω μηδεὶς, ὡς καὶ πλείω, εἰμὴ τὰ τῆς γαςρός μοι διέρρηκτο, τῶν Φιλομαθῶν χάριν, ἂν προσεθέμην· ταῦτ᾽ οὖν καὶ τὰς τούτων ὑποδιαιρέσεις ἅμα δὲ καὶ τὰς ἀναπτύξεις, οἷας μοι αὕτη καὶ ταύτας τῷ λόγῳ παρέθετο, παρ᾽ αὐτῆς εἰληΦὼς, τῶν περὶ τοὺς δύω κλόνους, οἷοίπερ, ὁ τῆς Φυσικῆς τε καὶ ὁ τῆς μεταΦυσικῆς, καρπῶν

ὅσοι,

ὅσοι, ὡραῖοι μὲν ἰδεῖν, ὀσφρανθῆναι δ' εὐωδέστατοι, οὐδ' ἐλάττους ἡδονῇ γεύσασθαι, ὡς ὅλοι πέπειροί τε καὶ ἐν ὥρᾳ, οὐ μᾶλλον πρὸς ὠφέλειαν, ἢ ἔνδειξιν, ἐδρεψάμην, ἵν' ἐκ τοῦ καρποῦ, οἷον ὑπάρχει, τὸ δένδρον τοῖς ἀγνοοῦσι γινώσκοιτο, οἰόμενος, μὴ μόνον τοὺς τῶν ἀναγινωσκόντων σάκκους δεῖν πληροῦν, ἀλλὰ δὲ καὶ τοὺς κόλπους, ἤ φασιν, ὡς ταῦτα ποιοῦντα μηδενὸς μεκωλύοντος· ἄφθονα γὰρ καὶ δαψιλῆ πᾶσι δωρεῖσθαι τὰ δῶρα φιλοτιμωτάτη ἡ δέσποινα· τί οὖν; ἐμαυτῷ τε καὶ τοῖς ὁμοίοις ἐμοὶ τὰ τοιαῦτά τε καὶ τοσαῦτα οὐκ ἐναποταμιεύειν ἔμελλον;

Τοιαύτην μοι ἑαυτὴν καὶ τὴν τῶν περὶ αὐτὴν μελῶν ἔκθεσιν ποιησαμένη ἄχρις ὧδε, ἔμελλεν ἄρα πρὸς μείζω κατάληψιν καὶ τρανωτέραν γνῶσιν τῆς κατ'

αὐ-

αὐτήν τε καὶ ταῦτα Φύσεως ἀνήκοντά τε καὶ αὐτοῖς οἰκεῖα τῶν ὑποδειγμάτων παράγειν εἰς μέσον· ἄλλως γάρ, ἐς μάτην καὶ κενῶς ἂν ταῦτα πρὐτετάγατο· οὔσης μὲν τ' ἄλλοθεν ἀδυνάτȣ τῆς αὐτῶν παραγωγῆς παρ' αὐτῆς γε ταύτης καὶ τάδε μοι ἠράνισαι· τίνα δ' οὖν ταῦτα; ὅσα περὶ σώματος, τῶν ἐν τȣ́τῳ ϗ ἐκ τούτȣ γ' ἑπομένων ἐν εἴδει δοξάζειν ἐπὶ νȣ̃ν ἦλθε τοῖς ἀτέχνως ἤδη Φιλοσοφοῦσι· διαφωνούν τῶν δ' ἀλλήλοις τούτων περὶ τούτȣ, οἱ μὲν ἀκλονήτοις καὶ σοφοῖς τῶν ἐπιχειρημάτων, ὅσα σφίσιν ἥτε Φυσικὴ ϗ ἡ μεταφυσικὴ πορίζεται, τήν τε ὕπαρξιν αὐτοῦ καὶ τὰ κατηγορούμενα κατὰ τῶν ταύτην καὶ ταῦτ' ἀποφασκόντων ἑδράζȣσιν· οἱ δὲ μόνοις δοκοῦσί τε καὶ φαινομένοις μεταφυσικοῖς, μᾶλλον δὲ τῶν συλλογισμῶν ἀπατηλοῖς καὶ πάνυ τι ἀστηρίκτοις τὴν ἐκείνων ἀπόδειξιν ἀνασκευάζειν ἐπείγονται,

ται, ὧν ἑκατέρων τὰ περὶ αὐτοῦ ἐκείνȣ, ὡς τῇτ' αἰθήσει καὶ τῷ νῷ ἀπαντῶντος πρώτȣ καὶ κοινοῦ, δόγματα τῶν ἄλλων προτέττακται· ἐπεὶ δὲ τῶν σωμάτων νοεῖν τι ὕλης ἄνευ, ἀμήχανον, ταύτης δὲ παρά τε τοῖς πάλαι καὶ καθ' ἡμᾶς οὐδὲ βραχὺς ὁ λόγος, τούτῳ ταύτην ἐπισυνάπτειν, ȣ πάνυ πολλοῦ μοι ἐδέησεν, ὡς τοῖς ἐξ ἑκατέρας μερίδος, εἴτ' οὖν τοῖς ἐκ Φύσεως οὐδὲν ἧττον, ἢ τοῖς μετὰ ταύτην ἐπιχειρήμασιν, ἢ κἀκεῖνο, κραΐνομένην, καὶ τὸ τῶν νοῦν, καὶ τὰ τοῦ πρωτίςȣ καὶ μόνȣ ἀναγκαίȣ ὄντος προσόντα πάντα ταύτῃ ἀναγκαίως ἀπονεμόντων, τούτȣ δ' ἀνεξάρτητον καὶ Φύσει τῇ αὐτῆς αἰώνιον Φρονούντων δόγμα ἀποπτύȣσαν καὶ ὅλως ἀναινομένην· ἀλλὰ τὶς οὐκ οἶδεν, ὡς ἄυτη κἀκεινο ξυνάμα πάντη ξύνθετα; ἐξ οἵων γὰρ καὶ ὅσων ξυντίθεται ταῦτα, ἐς οἷα δὲ καὶ

ὅσα

ὅσα τοὐναντίον ἀναλύεται, οὐδ' ἔςι λέγειν τ' αὐτῶν μέρη, ἅτα καὶ ςοιχεῖα λέγεται· δεικνυμένων δὴ καὶ τούτων ἐχ ἧττον κραταιοτέροις, ἢ οἵοις τὰ τούτων ἡγούμενα, λόγοις, κοὐδ' ὑφιςαμένων ἰδίᾳ ἐκείνων ἄνευ, ἢ οὐδὲ κἀκεῖνα τούτων δίχα, ἀλλ' ἀεὶ ξυνυπαρχόντων ἀλλήλοις καὶ δι' ἀλλήλων, ἢ ἐκείνοις προσθήκῃ τούτων, μετὰ καὶ τῶν περὶ ταῦτα δοξῶν γε καὶ διαιρέσεων, ὧν οἱ πάλαι καὶ καθ' ἡμᾶς φιλοσοφοῦντες ἐγένοντο, καὶ ἐφ' ἅς γε αὐτοὶ οὗτοι ταῦτα διαιροῦσιν, οὐκ ἀπεοικυῖα ἐναπέφηνε· τῶν περὶ ταῦτ' ἀποδοθέντων φυσικῶν καὶ μεταφυσικῶν λόγων, οἷς ταῦθ' ὑπάρχειν τοιαῦτα δύναται, ἐντεῦθεν ἔτι καταφανὲς μόνοις τοῖς ἀτεχνῶς φυσικευομένοις, ὡς ἡ παντὸς σώματος φυσικὴ βαρύτης, πολλαπλασιαζομένη τ' ἀριθμῷ τῶν ἴσων μερῶν, ὅσα τοῦτο ξυντιθη-

θησι, τ' αὐτοῦ τούτου φυσικὸν ἀποδίδωσι βάρος, ὃ τούτων ἀεὶ ἀπόῤῥοια καὶ φυσικὴ συνέπεια· διὸ μὴ καὶ περὶ τούτȣ εἰπεῖν, παρατηρήσεσι, πείραις καὶ λόγοις στηριζομένȣ, κἂν, ὂν ἀεὶ ἐν ταὐτῷ χώρῳ ταὐτὸν καὶ ἥκιστά πȣ μεταβάλλον, ἐν δ' ἄλλῳ καὶ ἄλλῳ αὐτὸ ἑαυτοῦ διαφέρῃ, οὐκ ἔχον, ὡς οὐδὲ περὶ τῆς τούτῳ συγγκενοῦς φυσικῆς καὶ μηχανικῆς βαρύτητος, ἣν ἀμέσως αὐτῷ καὶ ταύτην προσεθέμην, ὡς οὐμὰ διὰ παρατηρήσεσι καὶ πείραις μόνον, ἀλλὰ καὶ λόγοις οὐδὲν ἧττον γενναίοις, ἢ οἷς αὐτό γ' ἐκεῖνο, τοῖς τῶν ἀνδρῶν σοφωτάτοις αὐτὴν πιστȣμένην.

Τῇ τοίνυν ἁπλῇ τούτων πεντάδι ȣδ' αὐτὸς οἱονεί πως ἀρκεσθεὶς, εἰμὴ πολλȣ̃ βραχὺς ἐτιμᾶτο χάρτης, παρεθέμην ἂν ὑμῖν καὶ πλείω ἄττα τῶν περὶ τὸ

σῶ-

σῶμα· ξυνεὶς δ' ὥςπε, ἤτοι ἐν μέρει τοῦ διαςήματος, εἴτ' οὖν ἐν τόπῳ, ἅπαν εἰδικόν τι τῶν σωμάτων ὑφέςηκε, τοῦτο, μᾶλλον δὲ τὸ τούπου μέρος, εἴτ' οὖν τὸν εἰρημένον τόπον, εἰκὸς ταύτῃ ἐπάγειν, κατ' ἐμαυτὸν ἐνεθυμήθην· πολλὰ μεντ' αὖθις περισκεψάμενος, καὶ κατιδὼν ἐν τάχει, ὅσην καὶ οἵαν ἔχει τοῦτο τὴν σχέσιν, ἔνθεν μὲν τῷ τε κενῷ καὶ τῇ ἐκτάσει, ἐκεῖθεν δὲ τῷ τε χρόνῳ καὶ τῇ κινήσει, μέσον αὐτῶν καὶ τούτων, συγκατατιθέμενος, αὐτοτέως ἐταξάμην· διὸ δὴ μεταφυσικῶς προςεθέντων τοῦ χρόνου, τῆς ἐκτάσεως, καὶ τοῦ πολυθρηλλήτου διαςήματος, οἷά μοι καὶ ταῦτα ἡ ἀεὶ φίλη φιλοσοφία καθυπέβαλε, τούτῳ γ' ἑπομένως τὸ περὶ τόπου ἐπέθηκα, εἰδὼς, ὡς οὐ τῆς τυχούσης χρήσεως, καὶ ἀποδεικνύειν τὴν κίνησιν δίχα χρόνου

 καὶ

διαςήματος, ἢ τούτων ἑκάτερον ἐκείνης ἄνευ, ἀμήχανον, ἡ αὐτῶν τριτὺς ἐν τῷ Φυσικομαθηματικῷ λογισμῷ, ϗ τέτων ἕκαςον ἄλλο ἐπ' ἄλλῳ ἐπισυνῆπται.

Α'λλ' ἅπαν, ὅ, τι ἐν χρόνῳ καὶ διαςήματι ὂν ϗ Φαινόμενον, σῶμα, τίς ἂν ὅλως ἀκινητεῖν, τοῦτο Φαίη; καὶ δὴ πολυειδοῦς τε καὶ ποικίλης οὔσης τῆς μηχανικῆς κινήσεως, τοὺς ταύτῃ ἀποδοθέντας διαφόρους τῶν ὁρισμῶν καὶ τ' αὐτῆς διάφορα μέρη, ἐς ἅγε καὶ διαιρεῖται ἥδε, παρὰ τῶν ἤδη Φιλοσοφίᾳ διαπρεπόντων συλλεξάμενος, ἢ ϗ τ' ἄλλα, εἴγε μετὰ τὴν θεωρίαν, δἰ ἧς ἡ τῆς κινήσεως, ἢ ἠρεμίας, Φύσις τῇ ἀδρανίᾳ ἑδράζεται, τοὺς περὶ τὴν τούτων πρώτην ἀρχοειδεῖς νόμες, καὶ ἔτι τὰ, ὅσα θεωρεῖν χρὴ περὶ ταύτην τον

μη-

μηχανικὸν, εἴγε μεθ᾽ ἅπαντα ταῦτα, Φημὶ, ἰδίᾳ αὐτὸν τῆς μονοειδοῦς κινήσεως ὁρισμὸν, ἢ τὸν χρόνον δεικνῦσα, καὶ τοῦτον Φωτίζουσα, ἀμφοῖν ἄμεσον καὶ οἰκειότατον μέτρον γίνεται, ἐπῆγον, μέμψαιτ᾽ ἂν, οἶμαι, τῶν νοῦν ἐχόντων οὐδεὶς· ἀλλ᾽ ὃν τῇ κινήσει οἱονεὶ ξυμβεβηκός τι πάθος, ἢ διάθεσις, ἡ περὶ ταύτην ταχύτης, ὡς νῦν μὲν αὐτὴ ἑαυτῆς διαφέρουσα, ἐπίτασις, εἴτ᾽ οὖν αὔξησις, ἄλλοτε δ᾽ ἄνεσις, εἴτ᾽ οὖν μείωσις, ὅσα τε καὶ οἷα καὶ ταύτῃ ἀνήκει, τὰ μάλιστα ἐκείνην ἀναπτύσσοντα, παριδεῖν οὐκ ἠξίωσα· τὸν τοίνυν ταύτης ὁρισμὸν, καὶ τὰ διάφορα εἴδη ἀποδοὺς ὑμῖν, καὶ λέξεών τινας, ὧν ἀναγκαιοτάτην τοῖς ῥηθησομένοις ἡγησάμην τὴν ἀνάπτυξιν, ἐπέφερον, ἅπασι τέτοις τὰ θεωρήματα, ὧν ἔντε τῇ φυσικῇ μηχανικῇ καὶ τῇ ἀστρονομίᾳ πυκνοτάτη πέφυκεν ἡ χρῆσις, ἐπιθέμενος, ὡς μὴ

 μαλ-

μᾶλλον κομψότητά τε καὶ ὠφέλειαν, ἢ σοφίαν καὶ ἐπιστήμην τοῖς ταῦτα πρὸς ἀκρίβειαν κατανοοῦσιν ἐπαγγελλόμενα, ξυνάμα τῷ τῆς κινήσεως πολυξυνθέτῳ τε καὶ ποικίλῳ εἴδει.

Φερομένου δὲ διαστήματος πάντων τῶν πάλαι τοῦ ὀνόματος, Φύσις, καὶ τῶν καθ' ἡμᾶς γεγονυίᾳ φωνῇ κἀν ἀγυιαῖς αὐταῖς πάνυ τι μονονοὺ καθ' ἑκάστην περὶ τούτου διαλεγομένων, οἱ μὲν ψυχὴν τοῦ παντὸς ταύτην, οἱ δὲ τὴν ἀναγκαίαν εἱμαρμένην, καὶ ἕτεροι τέλος ἄπειρόν τινα καὶ αἰώνιον νοῦν αὐτὴν φρονοῦσι, δόξαν μοι ἐνταῦθα πάντων, ὅσα μέχρι τοῦδ' εἴρηται, καὶ τῶν, ὅσα γ' ἐν τοῖς ἑξῆς εἰρήσεται, οἱονεὶ μεταίχμιον, μᾶλλον δὲ περιοχὴν, ἢ μέσον τι καὶ σύνδεσμον, αὐτὴν ὑπάρχειν, ὡς οὐδὲν ἧττον τὰ χείρω, ἤτ' ἀμείνω, εἴτ' οὖν τὰ ὑλικὰ, ἢ ἄϋλα, τῇ κατ' αὐτὴν προση-

σηγρία, Φύσις, ἀδιαφόρως καλεῖται, ἐδὲν ἐμποδὼν ἐγένετο, μὴ περίπε ἐν τῷ τῆς ἀνάχεῖρας βίβλε μέσῳ ταύτην ὁρίσαι ἰα-ξάμενον, ἅτἰε τοῦ τῶν περὶ αὐτὴν πο-λυειδῶν τε καὶ ἀκριβῶν σημαινομένων Φω-τὸς, λαμπρότατα τὸν νουν καταφωἰίζον-τος· τὶς γὰρ ἂν ἔξαρνος γένοιτο, ὡς, ὅ-σαγε τόδε τὸ πᾶν ξυντιθέασι, ξυνάμα πᾶνἰα, ἢ ἰδίᾳ ἐν μέρει ὁρώμενα, οἷον, γῆ, σελήνη, ἥλιος, ἀςέρες, καὶ ξύμπας ὁ ὀ-ρανὸς αὐτὸς, ἃ τῷ γενικῷ ὀνόματι καὶ σώματα καλεῖται, οὐχ ἧτἰον Φύσις, ἢ Φύσεώς γε μέρη τυγχάνει ὄντα; εἶδὲ ἰαῦ-τα, τοιαῦτα, τὶ μὴ καὶ τὰ ἐν τούτοις, οἷον, ὕλη, ςοιχεῖον, βάρος, κτ. ἢ ἰὰ περὶ ἰαῦἰα, ἢ ἐν αὐἰοῖς οἷον, κενὸν, διάςημα, τόπος, κτ.; ἔχρῆν ἄρα πάντων τούτων προκεῖσθαι, Φαίη ἄντις, ἀλλ' ἤδη ὀχ ὅτω σαφῆ, ὀδὲ περίτρανά τε ϗ διακεκριμένα, ὅσα τοῦ ἐ-δαφίε τεδ' ἡγεῖται, ἢ ἕπεται, ἐγένετ'

ἂν

ἂν αὐτῆς τὰ μέρη, ἢ σημαινόμενα· ταύτῃ καὶ τοῖς μὲν ἡγουμένοις, ὅσα φυσικῶς καὶ μεταφυσικῶς, ἢ μόνον μεταφυσικῶς, δέδεικται, πᾶσιν, οἷα περιοχὴν καὶ ὅλον, ταύτην ἐπεθέμην· τῶν δ' ἑπομένων, ὅσαγε, αὐτὰ καθ' αὑτὰ ὑφέστηκεν· ἢ ἐνέργειαν καὶ πάθος οἶδεν· ἢ τέλος τῶν κατηγορουμένων καὶ καθ' αὑτὰ μὴ πεφυκότων ὑφίστασθαι στερεός τις καὶ ἀκλόνητος θεμέλιος, ὡς μᾶλλον τοῖς κυρίως μεταφυσικοῖς καὶ τοῖς ὅλως καθ' αὑτὰ καὶ δίχα ὕλης ὑφισταμένοις πελαζόντων, αὐτὴν προτέταχα, τῶν ἀμέσως ἐπὶ τούτοις ῥηθησομένων μόνον πρὸς τὸ δοκοῦν καὶ καταχρηστικῶς κατηγορούμενον οὖσαν·

Αἰρόμενα τέλος ὑπὲρ ταύτην, καὶ καθ' αὑτὰ οὐδὲν ἧττον, ἢ καὶ μᾶλλον, ἢ καθ' ὅσαγε εἴρηται, τὰ πάντῃ ἑτεροφυῆ τε καὶ ἑτερούσια, καὶ μόνον καταχρηστι-

κῶς

κῶς δοκοῦντα φύσεις καλεῖσθαι, ὑφιςάμενα, τοῖς ἤδη μοι εἰρημένοις καὶ ταῦτ' ἀμέσως ἐπενήνεκται· τίς ποτ' ἂν οὐχ ὁμολογοίη μὴ τὴν νοερὰν ταύτην οὐσίαν, ἣν νοῦν, ἢ κοινότερον ψυχὴν, ὀνομάζομεν, τὴν ταύτης μετὰ τοῦ σώματος ἕνωσιν, τὰ πάνυ τι ᾀδόμενα ἴδια νοερὰ εἴδη τῶν πνευμάτων, ἢ καὶ τὴν ἀθανασίαν αὐτὴν, ἢ τέλος κᾀυτὸ τοῦτο τὸ πρώτατον αὐτοὸν, αὐτὴν ταύτην τὴν πρωτάτην αὐτοουσίαν, τὶς, φημὶ, οὐχ ὑπὲρ φύσιν, ὑπὲρ ἅπαντα ὀξύτατον νοῦν, ἢ διάνοιαν, οὐκ ἂν ξύμπαντα ταῦτα καλοίη, εἰ καὶ τούτων ἁπάντων μέσον, οὐχ ἡμετρία, οὐθ' ἡ τυχοῦσα ἐγχωρεῖ διαφορά; καὶ μὴν φύσεις νοεραὶ παρὰ τοῦ τῶν πάλαι καὶ τῶν νῦν ἁπάντων οὐχ ἧττον καὶ ἅπασαι αὗται ἀκούουσι· διὸ δὴ καὶ μετὰ τὴν ὑπόςασιν, ὕπαρξιν, οὐσίαν καὶ μάλιςα πολλῷ ἑπομένως αὐτῆς γε ταύτης τῆς φύσεως ἐπάγειν αὐτὰ

τὰ ταῦτα, οὐδὲν ἀπεικὸς, οὐδὲ ξένον ἔδοξε.

Ἀλλ' ἦν ἄρα, οὔτ' ἄρτια, οὐθ' ἱκανὰ, ὅσα μέχρι τοῦδ' εἴρηται, ἵνα τὴν τῶν ἀναγινωσκόντων πολλὴν περιέργειαν καὶ τὸν τῆς αὐτῶν ἄκρας γνώσεως ἄμετρον ἔρωτα πληροῦντα, ἀρτίαν καὶ τελείαν πως τὴν προκειμένην ἀποδεικνύωσι πραγματείαν, ὡς τ' ἄκρυ καὶ ὑπερτελεῖυ, ὃ πάντων ἀρχὴ, μέσον καὶ τέλος, ὅλως ἐνδέουσαν, εἰμὴ καὶ περὶ θεοῦ αὐτοῦ, (οὗ κυριώτατον καὶ οἰκειότατον ὄνομα, ἄλλο, παρὰ τὸ πρώτατον αὐτοὸν, ἢ τὴν πρωτάτην αὐτοουσίαν, οὐκ ἀποδεχόμενοι, ὡς μόνου τὴν τῶν ὄντων πάντῃ ψιλὴν κίνησιν σημαίνοντος, κατὰ σωκράτην, τοῦ ὀνόματος, θεὸς, τοῦτο καὶ ταύτην μόνου γινώσκομεν), μηδὲν ὅλως ἐλέγομεν· ταύτῃ καὶ οὐχ ὅτι τοῖς πᾶσι πάνυ κομψὸν καὶ σοφὸν φύσει τῇ αὐτοῦ

ἐξυ-

ἐξυφανθὲν ὑπάρχει τὸ περὶ τούτου ἐδάφιον, ἐνταῦθα ἐπιθεῖναι δέδοκται, ἀλλ' ὅ,τι γε καὶ ἰδέαν τινα αὐτοῦ, κἂν μὴ ἐκ τῶν ἐν αὐτῷ σπλάγχνων, καὶ, ᾗ φασὶν, ἐκ τῶν προτέρων, ἐκ γεμὴν τῶν ὑςέρων καὶ ὅτι μάλιςα, τρανήν τε καὶ πάνυ σαφῆ δίδωσι, κραταιοτάτοις τε καὶ πάνυ τι ἀναμφιβόλοις κρατυνομένην τῶν ἐπιχειρημάτων τε καὶ ἀποδείξεων, πῆ μὲν ἐκ τῶν ὁρωμένων καὶ τούτῳ διμιουργηθέντων, εἴτ' οὖν τῶν αὐτῷ ἀπείρων προσόντων, ἢ κατηγορουμένων, ὅσαγ' ἐν τούτοις ἀκριβῶς κατανοοῦντες, ἀναμφιβόλως ἐπιςάμεθα, πῆ δὲ κἀκ τῶν τοῖς πᾶσιν ὁμολογουμένων μεταφυσικῶν καὶ θεολογικῶν ἀρχῶν καὶ ἀξιωμάτων, οἷς ἀδιςάκτως ἀεὶ συνάγειν ἔνεςιν, ὡς ἀεὶ ἄπαρχον ὑφέςηκέ τι, ὃ πᾶσιν, ὅσα τε ὁρατὰ καὶ φαινόμενα, ὅσα τε ἀόρατα καὶ ἀφανῆ, τὸ εἶναι καὶ τὴν οὐσίαν σοφίᾳ, δυνάμει καὶ ἀγαθότητι ἀπείρῳ παρέ-

ρέχον δωρεῖται· τὴν τούτου ἤδη τοιαύτην
προσθήκην, φήσει τις ἀναιδῶς, μᾶλλον δὲ
πάνυ τι ἀνοήτως, μὴ ὠφέλιμον, οὔτ' ἀναγ-
καίαν ὑπάρχειν, ὡς περὶ τούτου πρὸς αὐτῆς
γε ταύτης τῆς πίστεως καὶ τῶν ταύτην ἀμέ-
τροις ἀγῶσί τε καὶ ἐρυθροῖς ἱδρῶσιν ἐπὶ
τετραγώνου λίθου ἑδρασάντων πάνυ τι πε-
πεισμένος; ἀλλ' εἴγε ἐπὶ ταύτῃ καὶ ὀρθῷ
τε καὶ σοφῷ λόγῳ ἔτ' αὐτὸ τοῦτο γινώσ-
κει, πρὸς νουνεχῆ καὶ σώφρονα ταῦτα δια-
λέγομαι, οὐκ ἂν μᾶλλον σταθερῶς καὶ ἀναμ-
φιβόλως τούτῳ πειθόμενος, πάντῃ ἀδι-
στάκτως λατρεύοι, διττὰ τῶν ὅπλων κρα-
ταιότατα, μᾶλλον δὲ διττοὺς τοὺς ὀρθοὺς καὶ
στερεοὺς λόγους κτώμενος, οἷς ἅπαντα, τὸν
καὶ ἀνδρικώτατον δοκοῦντα τὰ πολέμια, ὡς
ῥᾷστ' ἀεὶ καταπολεμήσει; εἰ δὲ τοῦτο, τοι-
γαροῦν οὐχ ὅπως ὠφελίμως, ἀλλὰ καὶ πά-
νυ τι ἀναγκαίως ὧδε προσέθειται· εἴτις οὖν
τούτων κρεῖττω καὶ σοφώτερα εἰπεῖν ἔχει.

ταῦτ'

ταῦτ' ἐς μέσον ἀγέτω, μὴ φθονερὸς εἶναι δοκεῖν· ἄλλως γὰρ, παρὰ τὸν, ὃν ἂν ἡμῖν ὀφλήσοι, γέλωτα, κ᾽ δὲ μετρίας, οὐδὲ τῆς τυχούσης ἀνοίας αὐτὸν οὐκ ἀποδεχόμενον ταῦτα καταμεμψόμεθα.

Τὴν οὕτως ἀπλανῆ καὶ σύντομον βαδίζειν ἐπὶ τὸ φιλοσοφεῖν ὑφηγησαμένου μοι τοῦ φιλοσοφοῦντος, καὶ τὰ ἐπὶ τοῦθ᾽ ἥκειν ἀνενδοιάςως ἀναγκαιότερα τῶν μέσων καθυποδείξαντος, τῆς δὲ θείης φιλοσοφίας τὴν ὅλην αὐτῆς θείαν φύσιν, οἵαπερ ἦδε καὶ πέφυκε, πάσῃ ἀδόλῳ εὐνοίᾳ δηλωσάσης μοι, καὶ τὰ, ὅσοις τε καὶ οἵοις τ᾽ αὐτῆς ὅλον θεῖον ἐξοργανιωθὲν συνέςη σῶμα, διαφανέςατα, ἁρμονικώτατα ἢ ζωηρώτατα μέλη οὐ δόλως ἀποκρυψάσης με, τούτων ἀμφοῖν ἐμαυτῷ τοὺς, οὕς γ᾽ ἡ ἀνὰ χεῖρας ἐμπεριέχει πραγματεία, εὐωδεςάτες καὶ ἐς τὰ μάλιςα πεπείρες, κἂν μὴ ἅπαν-

παντας, Ἰῶν πωλυτίμων καὶ Θείων καρπῶν ἐναποταμιευσάμην· προσοχῆγε μὴν καὶ λογικῆ καταμαθὼν θεωρία, ὡς τούτων, οἱ μὲν καθ᾽ αὑτοὺς τρωκτοί τε καὶ τέλειοι, οἱ δὲ μήπω ἔτι τοιοῦτοι, ἐπὶ δὲ τουτ᾽ ἐς ὅσον οὔπω ἴσως παραγγκελοῦσιν, εἰσίν οἱ τὴν τοῦ αὐτῶν Φλοιοῦ μόνον ὁπωσοῦν ἀναπνεομένην ὀδμὲν χαριζόμενοι, τὴν τῆς αὐτῶν οὐσίας ἀκριβεςάτην ἡδύτηἸα ἀεὶ ποθ᾽ ὡς οὐ κατ᾽ ἄνθρωπον, Ἰοῦτον ὅλως ἀποκρύπτουσι, καὶ κατ᾽ ἐμαυτὸν τῆς τούτων αὐτῶν ἀῤῥήτου εὐωδίας ὀσφραινόμενος, καὶ τῆς αὐτῶν θρεπτικωτάτης καὶ πάνυ ἡδυἸάτης ἀπολαύσεως καταγευόμενος, πλὴν εἶτι με ἡ διαφθορὰ τῶν αἰσθήσεων τῶν δε λέληθε, καὶ ὑμῖν αὐτοῖς, ὅσων καὶ οἵων πρὸς ἐκείνων εἴληφα, τοσούτων καὶ τοιούτων ἔγνων τούτων μεταδιδόναι, μηδέν τι τούτους αὐτοὺς ψιμμιθειώσας, οὐδ᾽, ἢ πολλοῖς ἔθος, τούτων τι μεταπλασάμενος ὅλως·

ὑμεῖς

ὑμεῖς οὖν πρὸς τούτων αὐτῶν, τοῦ φιλοσόφε, φημὶ, ϗ τῆς φιλοσοφίας, οὐ πρὸς ἐμοῦ, πλὴν εἰμὴ ὅσον αὐτὸς, ἐμοὶ δωρησαμένων ἐκείνων, ὑμῶν δὲ δι' ἐμοῦ λαμβανόντων, ὑμῖν αὐτὰ παρατίθημι, πόθῳ ψυχῆς ἀδόλῳ ϗ τούτων πάντῃ ἀξίῳ ταῦτ' ἀποδεχόμενοι, προσοχὴν, μελέτην ϗ θεωρίαν, ὅσας τε ϗ οἵας εἰκὸς ποιεῖσθαι, ἱκανοὶ ὁρίζειν τε ϗ καταβάλλειν, τούτων ὡς εὐεπηβόλως ὑγιαίνοντες ἀπολαύοιτε· ἀξίαις τοίνυν χάρισι τῶν κατ' αὐτοὺς πολυτίμων καὶ θείων δωρεῶν, ὧν ὑμᾶς ἀξιοῦσιν, ἀμειβόμενοι τοὺς καθ' ἡμᾶς φιλοσοφοῦντας, ἐμοὶ καὶ πλέον, ἢ ἱκανὸν, εἰ μόνον διὰ μνήμης ἔχοιτε, εἴτι πε ὀρθογραφίας, ἢ ἐννοίας, διήμαρτον, συγγινώσκοντες τῆς ἀσθενείας καὶ ἀμαθείας, τὰ πλεῖστα τὴν τυπογραφίαν μέμφοισθε, τῶν δ' ἰδίοις αὐτῶν ἀναλώμασί τε ϗ δαπάναις ταῦτα τύποις ἐκδόντων χρησίμων τε ϗ εντίμων

μων ἐμπόρων, ὅσοι πάνυ προθύμως ὠφελείας ὑμῶν εἵνεκα κατέθεντο, οἷα πρὸς τῷ πάνυ φιλογενεῖς, κοὐδὲ μέτριως φιλομαθεῖς οὗτοι, μηδέποτ' ἐπιλάθοισθε, πᾶν εἶδος ἀγαθοῦ οὐρανίου τε καὶ ἐπιγείου, τούτοις ἀεὶ εὐχόμενοι, ὅπως ἂν ὑμῖν καὶ αὖθις ὁμοίων βίβλων τὰς ὑμετέρας ἐμπλήσωσι χεῖρας· ὑγιαίνοιτε.

---

Οἱ τὴν δαπάνην τῆς βίβλου καταβαλόντες, εἰσί.

Θεμελῆς Χρίστου, ὁ ἐξ ἀργυροκάστρου.

Δημήτριος Μαμάρας, ὁ ἐκ τῆς ἐν Ζαγορᾳ μακρύνης, καί τινες ἄλλοι, ὅσοι μετριότητι τῇ αὐτῶν οὐχ ὑπεγράφησαν.

Τῆς ὑμετέρας λογιότητος

ταπεινότατος δοῦλος,

Χρισόδουλος, ὁ ἐξ Ἀκαρνανίας.

ΠΕ-

# ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ.

Τῇ κατὰ γράμμα σημασίᾳ καὶ ἐτυμολογίᾳ σημαίνον, τοὔνομα, φιλόσοφος, τὸν τῆς φιλοσοφίας ἐραστὴν, τοῦτον αὐτὸν ἀεὶ δηλώσει, ὡς τῇ τῶν πλειόνων σοφῶν διανοίᾳ τοιαύτην ἔτι δέον ἐνυπάρχειν τὴν αὐτοῦ ἀληθῆ ἔννοιαν· ὑπάρχουσα δ' ἡ σοφία, ἡ καθ' ἕξιν τε καὶ λογικὴν θεωρίαν διάθεσις, εἴτ' οὖν δεκτικότης τῆς ψυχῆς, ἥπερ ἀεὶ αὐτὴ αἱρεῖται, ὅ, οἷα κρεῖττον, ὀρθῶς συλλογίζεται, τὴν φύσιν, τὴν κατάστασιν, τὰς σχέσεις, καὶ τοὺς τῶν ὄντων προσδιορισμοὺς ἀποχρῶντι λόγῳ ὑποτίθεται γινώσκουσα. ἡ γὰρ τούτων ἁπάντων γνῶσις ἐκείνην φωτίζουσα, τ' αὐτῆς μέρη, ὅσα γ' ἐπιδέχεται, ἅπαντα κανονίζει· εἰδυίας οὕτω τῆς σοφίης τὸ κρεῖττον, καὶ τοῦτ' ἀεὶ βουλομένης, αὐτὸ τοῦτ' ἐπιστάμενος, καὶ ὁ τῶν σοφῶν ἀληθὴς, περὶ πλείονος ποιεῖται. οἱ ἄρα τὴν φύσιν, τὴν κατάστασιν, τὰς σχέσεις, καὶ τοὺς τῶν ὄντων προσδιορισμοὺς μελετᾶν σφᾶς αὐτοὺς ἀνατιθέμενοι, ἑλόμενοι δ' ἀεὶ τὸ, ὅπερ ἀνεκάλυπτόν τε καὶ διεγίνωσκον, κρεῖττον, σοφοὶ τὸ πάλαι ἐκαλοῦντο.

Σοφίας ἐρᾷν, καὶ τῶν λίαν ἐπαινετῶν. τῶν γὰρ τ᾽ ἀνθρώπῳ, ὧν ἐπὶ τὴν αὐτοῦ τελειότητα καὶ εὐδαιμονίαν ὁ δημιουργὸς καλεῖ, προκειμένων τελῶν. τοῦτο μόνον τ᾽ ἀψευδέστατον· ἥκειν γεμὴν ἐπὶ ταύτας, ἀπάτης ἐλευθέραν γνῶσιν καὶ τὴν ἀσθενείας ἀρετὴν ὑποτιθεμένας, δι᾽ ὅλου ἦν ἀδύνατον. τίς δ᾽ ἄρ᾽ ὁ τῷ ὄντι σοφός; οὐδείς. ἢ τῶν πάλ᾽ ἐντάχει ξυνηκέ τις. πυθαγόρας, οὗτος, τῷ τοῦ σοφοῦ ὑπερόγκῳ τίτλῳ σεμνύνεσθαι, μετριότητι τῇ αὐτοῦ, πρῶτος ἀπαξιώσας. ἦν γάρ, κατ᾽ αὐτόν, δωρεά, ἡ σοφία τ᾽ ἀνθρώπῳ, οὐχ ὡς τῶν ποιοτήτων ἀπολυτός τις, ἧς καὶ πόρρωθεν ὅπως ἂν δυνατὸν προσψαύειν, ἀλλ᾽ ὡς ὑπερέχον τι τῶν τελῶν, ἐφ᾽ ὃ τείνων οὗτος, οἷα ἀγαθόν, ἁπάσας τὰς αὐτοῦ ῥοπὰς ἀφοσιοῦν τῇ τούτου κτήσει ὤφειλε. τοὺς ἄρα τήν τε τιμὴν καὶ τὸ ὕψος αἰδουμένους, τῇ δ᾽ αὐτῶν μελέτῃ ὑποκείμενον αὐτὴν ποιουμένους, καὶ σοφοὺς διὰ τοῦτο καλουμένους, μόνον ἐραστὰς αὐτῆς τούτους οἰόμενος, τῇ τοῦ φιλοσόφου προσηγορίᾳ πρῶτος ὠνόμασαι.

Γνῶσιν ὑποτίθεσθαι τὴν φιλοσοφίαν, κατανοήσαντες ὀρθῶς οἱ πάλαι, τὴν ταύτην κτῆσιν, οἷα μέσον τοῦ σοφὸν γενέσθαι, οὐκ ἀνευλόγου ἐθεώρουν· ἀλλὰ διαιρεῖν μὲν τὴν θεωρητικὴν τῆς πρακτικῆς, ὡς μὴ ὄφελον, μόνῳ τῷ εἰδήμονι τὴν τοῦ σοφοῦ κλῆσιν παρέχοντας, ἐρᾷν δ᾽ ὑπάρχειν, ἤδοκεῖν, αὐτοὺς τοιούτους, ἐς πληθὺν ἀνωφελῶν ζητήσεων καὶ ματαίων προβλημάτων, ὅσα τὴν τούτην πληροῦντα περιέργειαν, τὴν σοφίαν ὑπεριεποιοῦντο, φέρον αὐτοὺς ἐνέβαλεν· ἐντεῦθεν ὁ εἰδήμων, ἢ ὁ τοιοῦτος δοκῶν, μείζω, ἢ κατὰ τοὺς λοιπούς, τέχνην ἔχων, φιλόσοφος,

ἢ

ἢ σοφὸς, κληθεὶς, ζητεῖν, ἢ συλλογίζεσθαι, διὰ τȣ τίτλȣ τȣδ' ὤφθη· ὡς παντὶ τῷ διδάσκειν δοκȣ̃ντι, οἷας ποτ' ἂν ᾖ κενότητος, ἤ τȣτȣγε σοφία, ἑτοίμως ȣ̓τος ἐχαρίζετο. ἐντεῦθεν οἱ σοφιςαὶ, ὧν ἀποδρᾶν τὸ μῖσος ȣ̓κ ἐξεγένετο τῷ σωκράτει, ὃς, εἰδήμονα, ἢ φιλόσοφον, τὴν ματαίαν διαλεκτικὴν μὴ συγκροτεῖν, ἐδίδασκεν. ὁ γὰρ εἰδήμων, κατ' αὐτὸν, τῶν συλλογιζομένων περιττός τις· ȣ̓δ' ἀγαθὴν ὑπάρχειν τὴν φιλοσοφίαν, ἢ παρ' ὅσον τὰ διανοήματα, τὰς γνώμας ϗ τὰς ἡμῶν ἐργασίας διορθοῖ. εὐαρίθμων ὄντων τῶν διαδόχων, ϗ ταῦταγε τῶν περὶ πυθαγόραν, ὅσοι τὴν φιλοσοφίαν ἐπὶ τὸν αὐτῆς ἀληθῆ σκοπὸν ἐπανῆγον, τȣ́των ἔτ' εὐαριθμότεροι, οἱ τὴν ἀλήθειαν ζητȣ̃ντες, κἀυτὴν ταύτην ἐρευνῶντες, ἵνα τὰ καθήκοντα γινώσκοντες, ἔργῳ ταῦτ' ἐπιτελοῖεν· μόνοι οἱ ςωϊκοὶ, ὧν πρόθεσιν ἔχειν κυρίως ἐδόκει τὸ σύςημα, τὰς τῶν ἀνθρώπων κλίσεις ϗ τὰ ἤθη ῥυθμίζειν, τῆς κοινῆς ταύτης ἀρχῆς, ὡς φιλοσοφία ἐςὶν, ἡ τῆς ἠθικῆς σοφίας ἐπιςήμη, ἀρχόμενοι, τȣ̀ς ταύτης κανόνας, ȣ̓ς τὸν διδόντα γινώσκειν χρὴ τὰ ὑποκείμενα, πρὸς τὸν θεὸν, τȣ̀ς ἄλλȣς, ἡμᾶς αὐτȣ̀ς ϗ ἅπαντα τ' ἄλλα ξυνῆκαν ἀναφέρεσθαι. ὡς γεγονυῖα· τῆς ἁπάντων τῶν ὄντων, ἢ δυνατῶν, ἀντικειμένων θεωρίας, τȣ̃ μόνȣ πεδίȣ, ἐν ᾧ θεεῖν οἱ φιλοσοφȣ̃ντες ἠφίεντο· ἐπεὶ δ' ἀποδεικνύειν ἐχρῆν τὸν φιλοσοφȣ̃ντα, ὃ φρονεῖ, κατὰ τῶν ἀποφασκόντων, τȣ́τȣ προϊςάμενον, τὰ τῆς αὐτȣ̃ διδασκαλίας μέσα, εἴτε τὰς τῶν ἄλλων δόξας ἀνασκευάζοντος, εἴτε ϗ κρατύνοντος τὰς αὐτȣ̃, ἐκμαθεῖν αὐτὸν ἔδει. ȣ̓́τω, γινομένων τȣ́τω, οἷα ἐλατηρίȣ, πάσης τέχνης ϗ ἐπιςήμης, ȣ̓δὲν ἧττον τ' ἀςρο-

ἀςρονόμῳ, φυσικῷ, ἠθικῷ, ἀςρολόγῳ, γραμματικῷ, ἐρισικῷ, διαλεκτικῷ, θεολόγῳ, τῷ τὴν πρώτην ἀρνυμένῳ αἰτίαν, τῷ πάντα τῇ τυφλῇ τύχῃ, ἢ πᾶσαν ἠθικότητα τῶν πράξεων ἀνατρέπει, ἀπονέμοντι, τῷ πᾶσαν ἀλήθειαν ἀναινομένῳ, τῷ τὸν ἄνθρωπον ἐν τῇ καθόλου ἀμφιβολλία καταδικάζοντι, ϗ πᾶσαν ἐντεῦθεν ἠθικὴν ἰδέαν καταςρέφοντι, ἡ κλῆσις αὕτη ἐδωρεῖτο, ἢ τῷ, ὃς ἕνα θεὸν διδάσκων, τὰς πλείȣς τῶν αὐτȣ̃ προτάσεων δογματικῶς ὡμολόγει, εἰς δὲ σύςημα ἐπανάγων τὴν μαγείαν, τὴν τῶν θεῶν λατρείαν, χρησμῶν ὠνεῖον, τὸν εὐσεβῆ δυσιδαίμονα ϗ ἀτοπώτατα φρονȣ̃ντα ἐποιεῖτο. τῆς τῶν φιλοσοφȣ́ντων μερίδος γενέσθαι, ἣν ὡσαύτως ἀποχρῶν πολλάκις, αὐςηράν τε ϗ ταῖς κοιναῖς ἰδέαις, ϗ ταῖς τῶν ἀνθρώπων φυσικαῖς ῥοπαῖς ἀντικειμένην ϗ ὑπερήφανον ἀσπάζεσθαι πολιτείαν.

Ο' μετριότητι ἀποκαταςαθεὶς, ἀντί τȣ̃ σοφȣ̃, τίτλος τȣ̃ φιλοσόφȣ, ȣ̃τως ὑπέρογκος ἐγένετο ἐν βραχεῖ, ὡς τοσȣ̃τον ἐπηρμένȣς τε ϗ κενοδοξȣ̃ντας ἐποίει τȣ̀ς, ὅσοι τοιȣ̃τοι ἐδόκουν, ὅσον ὁ τȣ̀ς κατ' ἐξοχὴν σοφȣ̀ς.

Η' τῶν ἐπιςημῶν λήθη ἐν ὅλοις αἰῶσιν, ἡ τῶν ἠθῶν βαρβαρότης, τοῖς τῶν ἀπαιδεύτων γενῶν πολέμοις τε ϗ λεϊλασίαις ξυμβεβηκυῖαι, τῆς γῆς αἱρεσθαίπως τȣ̀ς φιλοσοφȣ̃ντας αἴτια· ἀποκαταςάντων δ', ἀντί τȣ́των, τῶν τῆς χρονολογίας ἀμαθῶν καθηγητῶν, τῶν εὐσεβεῖς διηγȣμένων μύθȣς, τῶν ἀκαταλήπτων θεολόγων, τῶν ἀπαιδεύτων διαλεκτικῶν, ϗ τȣ̃ σκότȣς ἀναπαι-

θή-

ϑήτως ἐξαχϑέντων τῶν τοῖς φιλοσόφοις ἕλλησι γεγραμμένων, ὅσα τοῖς ἐν βαβυλῶνι σοφοῖς ἐδιδάσκοντο οἱ ἄραβες, ἡ σχολαςικὴ φιλοσοφία ὦπται· καὶ τοίνυν ἤδη φιλόσοφος, ὁ τ' ἀριςοτέλους διαλεκτικὰ ἀναγνοὺς, ὁ ταῖς αὐτοῦ διαιρέσεσι πάσῃ λεπτολογίᾳ εἰδὼς χρῆσϑαι, ὁ ταῖς ἀφαιρέσεσι πραγματικότητα χαριζόμενος, ὁ ψιλὰ, ἀντὶ ἰδεῶν, ἀποκαϑιςῶν ὀνόματα, καὶ ὁ ἐν ταῖς τῶν ἀληϑειῶν ὠφελιμωτάταις τὴν αὐτοῦ κρύπτων ἀμαϑίην διεφϑαρμένῃ καὶ ἀκαταλήπτῳ διαλέκτῳ, ἥπερ ἀναριϑμήτους ἐννοίας, εὐφυεῖς μᾶλλον, ἢ ςερεὰς, περὶ ματαίων ζητημάτων ἐκτιϑέναι ἠναγκάζοντο· οὐκ ἔτ' ἤδη ὁ μελετῶν, οὐχ ὁ διδάσκων, οὐχ ὁ τὴν πρακτικὴν συνάγων σοφίαν, φιλόσοφος, ἀλλ' ὁ διαλεκτικός.

Ε'ξίςασϑαι μὲν, ὅσοι καλεῖσϑαι τολμῶσι φιλόσοφοι, τοσούτοις ἀντιφιλοσοφικοῖς χαρακτῆρσι, ξυγχωρεῖν δ' αὐτοῖς οὕτως εὐμενῶς τὸ ἐπώνυμον τὸ δε τοσούτους τῶν μαϑητευομένων, οὐδὲν ὅλως ἀπεικός. οὐ δὲ γὰρ εὐχριϑμοι, ὅσοι τῇ τῶν συλλογισμῶν ὑψηλῇ ἐπιδείξει, τῇ ἀγορᾷ τῆς ὅλης κατ' ἐπιφάνειαν παιδείας, ἀπρονοήτου δ' ἀεὶ κριτικῆς καὶ διανοίας, τῇ τῶν ὅρων καὶ φράσεων. οἷς χρῶνται, καὶ ὧν τὴν δύναμιν οὔτοι, περὶ ὧν ὁ λόγος, οὐκ αἴσϑονται, πυκνοτάτῃ χρήσει, τῇ τέχνῃ, ἡ τὴν αὐτῶν ἀμάϑειαν δύνανται κατακρύπτειν, τῇ αὐτῶν ὁμιλίᾳ ἀσαφῆ καὶ μυςηριώδη ςροφὴν παρέχοντες, μεγίςην ἔννοιαν καλύπτειν δοκοῦσαν, τοῖς δὲ τ' ἀληϑοῦς φιλοσόφου ὄμμασι μηδὲν ἄλλ', ἢ κενὰ νοημάτων ὀνόματα, οὖσαν, τοὺς ὀφϑαλμοὺς τυφλώττουσι.

Τοιέ-

Τοιέτων ὄντων τῶν καθ' ἡμᾶς κοινῷ ἔθει φιλοσόφων, εἰσυχνάκεις τῷ, φιλοσοφιςὰς, ὀνόματι αὐτὲς τέτες καλᾶμεν, ὃ τῷ τέτων ἠθικῷ χαρακτῆρι, ϰ τῇ τῶν καθ' αὐτὲς πραγματειῶν φύσει, οἰκειότερον, θαυμάζειν ἥκιςα δεῖ. ὡς τὸ τᾶ φιλοσόφε αὐτῷ τέτῳ μόνῳ τῷ τῆς φιλοσοφίας ἀληθεῖ ἐραςῇ ἀποδοτέον εἶναι ὑπολαμβάνοντες· τίνες δ' οἱ τῆς φιλοσυφίας ἐραςὰι; οἱ λόγων ἄξιοι φιλόσοφοι; ἐχ οἱ τῶν χαρακτήρων ἄλλε τε μὴ προϊςάμενοι, ἢ ἐξωτερικᾶ τινος τῶν τρόπων ἐν γωνίᾳ ζῆν, ὃς μᾶλλον μὲν ἐσκεμμένας, κρεῖττον δὲ συντεθειμένας, ϰ νοεμένας δραςικώτερον, ἠθικὰς ἀρχὰς ἐκ ἀναγγκέλλει, ἐδ' ὃς μὴ πεφυσημένως ὀρέγεσθαι δοκεῖν παρίςησι, τὴν μετὰ κλέης πρωσοχὴν τᾶ κοινοῦ ἑαυτῷ ταμιεύων· ἐ γὰρ τὸ τῆς σοφίης ἔξωθεν δριμὺ, ἧθ' ὁ σκοτεινὸς ϰ συνεςαλμένος πρὸς τὸ δοκᾶν βίος, ᾧ μικράτις γνῶσις παροπηδεῖ, ἀναγνώσει ποριζομένη, ϰ τῷ τε κατὰ φαντασίαν πνεύματι ϰ γνωμικῷ τόνῳ ἠρτυμένη, σημεῖον, τῆς τ' ἀληθείας ϰ ἀρετῆς ἐρᾶν. ταῖς τῆς ἐνθατέρᾳ γνώσεως, ϰ τῆς ἐν τῇ ἑτέρᾳ πράξεως προόδοις ἁρμοζομένες· ὡς ἅπαντα ταυτὶ ϰ τῷ παρ' ἀξίαν ὑποκειμένῳ διαφόροις πάθεσι, τῇ σοφίᾳ ἀσυμπαθήτοις, ἐνυπάρχειν δυνατὸν.

Οὐδὲ τ' ἀλόγως [illegible]ξὺ μὲν, εὐπειθὲς δὲ πνεῦμα, τυγχάνει ὢν ὁ φιλόσοφος, ὅπερ ἀπάτας τινας ϰ ψευδεῖς προλήψεις ἀνασκευάσαν ἐκ ἐκ προνοίας, τ' αὐτῷ ἀπαρέσκον, ἢ ϰ εὐκαταφρόνητον δοκᾶν, ξὺν προπετείᾳ ἀποτίθεται, ὡς πολλοὶ, κατὰ δόξαν τὴν αὐτᾶ, οἷα ἀληθὲς, τᾶτ' ἀποδεδέχαται, ἐς οἰόμενον ἀπολλείπεσθ'

αυ-

αὐτȣ͂, ὡς μικρᾶς εὐφυΐας ϗ ἀσθενȣ͂ς πνεύματος αὐτοῖς προσφέρεται, ὅτε κεκλεισμένοις ὀφθαλμοῖς ἀμύθητα ὅσα τῶν ἀτοπημάτων ἐπιβεβαιοῖ, ἃ τῶν κλεϊζομένων, ἢ ϗ αὐτοῖς αὐχȣ́ντων, ἅπαντ᾽ εἰδέναι, εὐφυές τι τῶν πνευμάτων αὐτῷ ἀπεμπωλεῖ· ȣ̓ τῷ ἀνθαδῶς ἀρεῖσθαι, ὅπερ ἄλλοι καταφάσκȣσιν, ȣ̓δὲ τῷ ςαθερῶς καταφάσκειν, ὅπερ ἕτεροι ἀρνȣ͂νται, ἡ τȣ͂ φιλοσοφȣ͂ντος θεωρητικὴ φιλοσοφία βέβηκεν, ἀλλ᾽ ἀρνεῖσθαι μὲν τὸ προδήλως ψευδόμενον, καταφάσκειν δὲ τὸ ὁμολογȣμένως ἀληθεῦον, μετὰ τὴν τῆς αἰτίας γνῶσιν, κρίνοντα.

Υ῾πάρχειν ἀςρονόμον, μαθηματικὸν, φυσικευόμενον, διαλεκτικὸν, θεολόγον, φυσικὸν, νομικὸν, κτ., ἅπερ ἅπαντα ἐπιςήμην ὑποτίθησιν, τȣ͂ περὶ τὸν φιλόσοφον τίτλȣ ὄντα ἀνάξιον, ȣ̓κ ἀδύνατον, ἢ καὐτήν γε ταύτην δίχα σοφίας, ἤπερ ἐκείνης ȣ̓κ ἀχώριςος, ὡς μὴ ὤφελεν, ὑφίςασθαι· τὸν γὰρ ἁπάσας τὰς γνώσεις ταύτας ἔχοντα, τὴν ἀλήθειαν ϗ ἀρετὴν μὴ φιλεῖν, μάςον, ἅττε τȣ́των, οἷα λύχνȣ, ὃς τὴν τ᾽ ἀνθρώπȣ ὁδὸν ἐπὶ τὸν αὐτȣ͂ προσδιορισμὸν φωτίζει, μὴ ἀντιποιȣ́μενον, ἀλλ᾽ αὐταῖς ἐναβρυνόμενον, ὡς κλέος αὐτῷ μὴ τὸ τυχὸν περιτιθεμέναις· τῆς ἀρετῆς ὅλως ȣ̔́τος ȣ̓κ ἀφηνιᾷ· οἶδε γὰρ ὡς ἡ τὸν ἄνθρωπον ἐπὶ τὸν αὐτȣ͂ καθόλȣ ϗ ἀδιαίρετον προσδιορισμὸν ἄγȣσα, ἥδε μόνη πέφυκεν ἡ ὁδός· ξὺν ἐπιςήμῃ διαλέγεται. ȣ̓χ ὡς ταύτην φιλῶν, ȣ̓δ᾽ ὡς, οἷα μόνον τὸ τῆς ἀνθρωπότητος ἀληθὲς καλὸν, αὐτὴν περὶ πλείςȣ ποιȣ́μενος, ἀλλ᾽ ὡς δοκεῖν ἀγνοεῖν τὸ, περὶ ȣ̔ ἡ διάλεξις, ὑποκείμενον, τιθέμενος ἐνδεινῶ, ταύτῃ ϗ προ-

φά-

φάσεως ἐντεῦθεν δραττόμενος, τό, τε πνεῦμα κ̀ τὰς ῥοπὰς δεικνύειν αὐτῷ ἐναςράπτοντα· ζητῶν δὲ τὴν ἀλήθειαν ὁ φιλόσοφος, ἵνα δια ταύτης τὸν αὐτȣ̃ γνῷ προσδιορισμὸν, κ̀ τȣ̃τον τοῖς αὐτῷ ὁμοίοις ὑποβάλῃ, αὐτῇ, οἷα φωτὶ, ȣ̓ μόνῃ τῇ ἀμυδρᾷ λαμπρότητι δυνατὸν ξὺν ἀσφαλείᾳ τ' ἀνθρώπινα φέρεσθαι, μελέτῃ ἕπεται· ἅπανθ' ȣ̓̃τος εἰδέναι βȣ́λεται, ὡς ἁπάντων τῶν καλῶν ποιεῖσθαι λόγον ὀρεγόμενος, ἵνα τήντε τῶν χειρόνων ἐκλογὴν μὴ ποιῆται, κ̀ πάσας τὰς τῶν ὄντων σχέσεις ἐπιςάμενος, διὰ τȣ́των τὰς ὁδȣ̀ς αὐτȣ̃ ἔχῃ κατευθύνειν.

Γνώσεως ἐνδεεῖς, αἱ τῶν προθέσεων χρηςαὶ, κ̀ περ ἠθικὸν συνιςῶσαι χαρακτῆρα, συγκροτεῖν γεμὴν φιλόσοφον, ȣ̓χ οἷαι τυγχάνȣσι· ταύτῃ κ̀ δεῖ τὰς γνώσεις τῶν ὑποκειμένων, ὅσων τῇ ἀνθρωπότῃ τι ἀνάγκη μετέχειν, τοῖς τῶν αὐτȣ̃ σκοπῶν ὀρθοῖς ξυνάπτειν, ἵνα τὰς τοῖς αὐτȣ̃ βήμασιν ἀπαντώσας ἀπάτας, αὐτῷ, ἢ τοῖς ὁμοίοις, ταὐτ' ἐπιβλαβῆ ποιȣμένας, ἀποκλίνων, τήν τε τ' ἀνθρώπȣ κ̀ τὴν τῶν ὑποκειμένων ταῖς τȣ́τȣ ἠθικαῖς ἐνεργείαις, τῇ τȣ́των καταςάσει, τῇ σχέσει κ̀ τῷ προσδιορισμῷ, φύσιν μὴ ἀγνοῇ.

Τέλος δ' ὁ τὴν τȣ̃ πνεύματος ὀρθότητα κ̀ τὴν τῆς κρίσεως ἀκρίβειαν μὴ ἔχων, δι' ὧν ἂν τὴν τ' ἀληθȣ̃ς ὁδὸν εἰδείῃ, ἵν' ȣ̓̃τος μετ' ἀσφαλεί·ς ἐπὶ τȣ̃θ' ἥκων, ἐπ' αὐτὸ τȣ̃το ἄγῃ καὶ τȣ̀ς ἄλλȣς, τȣ́τȣς αὐτῆς μὴ ἀποπλανῶν, ȣ̓δέποτ' ἔςαι φιλόσοφος. Τίς ἄρ' ȣ̓̃τος; ὅρα τὸν, ὃν αὐτῷ διδόαμεν, χαρακτῆρα.

Μὴ

Μὴ αἰσθόμενοι οἱ πολλοὶ, ȣ̓ δὲ τὰς τȣ́τȣς κινȣ̃σας αἰτίας γινώσκοντες, ȣ̓̓δ' ὑπάρχειν ὅλως ταύτας ὀνειροπολȣ̃ντες, πρὸς αὐτῶν ἐνεργεῖν ȣ̃τοι ὁρίζονται. τȣ̓ναντίον δ' ὁ φιλοσοφῶν, ἑρμηνεύων αὐτὰς τὰ δυνατὰ, πολλάκις ϗ προλαμβάνει, ἐπιχειρῶν ξὺν γνώσει, ϗ παρ' αὐτȣ̃ ἔσθ' ὅτε, οἷά τι τῶν ὡρολογίων, ἵν' ȣ̓́τω φῶ, ἀνιὼν' ἀποδρῶν δὴ ȣ̓́τω τ' ἀντικείμενα, ὅσαπερ ἀντιλήψεις αὐτῷ δυνατὸν ἐπάγειν, τ' ἀγαθῷ, ἢ λογικῷ, μὴ ἁρμοζȣ́σας, τὰ τῇ, ᾗ ἐνυπάρχει, καταςάσει δυνάμενα διεγείρειν τῶν διαθέσεων ἀνηκȣ́σας ζητεῖ. τȣ̃το τῷ φιλοσοφȣ̃ντι ὁ λόγος, ὃ τῷ χριςιανῷ, ἡ χάρις, τȣ̃τον ἐνεργεῖν αὐτὴ ὁρίζȣσα, ᾗ ἐκεῖνος ἐκεῖνον.

Πάθεσι κάτοχος ἐκεῖνος, τῶν αὐτῷ πραττομένων ȣ̓δεμιᾶς ἡγȣμένης σκέψεως, ἐν σκότῳ πλανᾶται. ὁ δὲ κἂν αὐτοῖς τȣ́τοις ȣ̓κ ἐνεργεῖ, ὅ,τι μὴ μετὰ τὸν λόγον, ὃς, κἂν νύκτωρ ὁδεύῃ, οἷα λύχνος, προλάμπει τȣ́τȣ.

Τῶν ἐν εἴδει ἀπείρων παρατηρήσεων κατασκευάζοντος τȣ́τȣ τὰς αὐτȣ̃ ἀρχὰς, ἀποδεχόμενον τὸ κοινὸν, ὡς παραγȣ́σαις ἐκείναις ταύτας ȣ̓ προσέχει, ἅττε παρ' αὐτȣ̃, ἵν' ȣ̓́τως εἴπω, ὑφίςασθαι φρονȣ̃ν τ' ἀξίωμα· ὁ δὲ τῆς αὐτȣ̃ πηγῆς τȣ̃το λαμβάνων, ϗ τὴν αὐτȣ̃ γινώσκων δύναμιν, χρῆται, ὡς εἰκός.

Μὴ ȣ̓́σης τῷ φιλοσόφῳ διδασκάλȣ τῆς ἀληθείας, ἡ τὴν αὐτȣ̃ φαντασίαν διαφθείρει, ȣ̓́θ' ἣν πανταχȣ̃ ἀνευρίσκειν ȣ̃τος οἴεται, ὅπȣ ποτ' ἂν ἐπιγνῷ ταύτην, ἱκανὸν αὐτῷ, εἰδύναιτ' ἂν

αὐ-

αυτὴν ἑρμηνεύειν, τῷ πιθανῷ μὴ ξυγχέων, ἀλλ᾽ ἀεὶ ἀποδεχόμενος, ἀληθὲς μὲν, ὅγε τοιῦτον πέφυκε, ψευδὲς δὲ, ὃ μηδὲν ὅλως τύτῳ διαφέρει, ἀμφίβολλον, ὃ τύτῳ ταὐτὸν, πιθανὸν δ᾽, ὃ τύτῳ πάντῃ ὅμοιον· ὃ δὲ τῶν τελειοτήτων αὐτῷ μεγίςη, ἀγνοεῖν τὴν κυρίαν αἰτίαν, κρίνοντα, εἰδέναι ἐπέχειν.

Ὑποκειμένων, ὅσα φύσεως, ϗ ταύτης ὐδὲ μετρίας, ἔτυχε, πλῆρες τὸ ξύμπαν, κρινόντων ἀεὶ, ϗ ἀεὶ προφητευόντων. προφητεύειν γὰρ, ἔςι κρίνειν, τὴν τῆς κρίσεως κυρίαν αἰτίαν ἔχειν, ἀγνοῦντα. τὴν γὰρ τ᾽ ἀνεἰυ πνεύματος δεκτικότητα μὴ ἐπιςάμενα, ταύτην ὁτωῦν δυνατὸν γινώσκειν, οἴονται· διὸ ϗ κρίσιν μὴ ἐπάγειν, ταύτῃ δοκῦντα τὸ πνεῦμα ἑδράζεσθαι, πρὸς αἰσχύνην αὐτοῖς ἡγῦνται· δοξάζων δ᾽ ὁ φιλόσοφος, τῷ ὀρθῶς κρίνειν αὐτὸ βεβηκέναι, ἐπέχειν ἀρκεῖται, ἑαυτὸν ὁρίζων, ὡσεὶ, τὴν τῇ ψήφῳ κυρίαν κρίσιν προειδὼς, ὡρίζετο. κρίνων δὴ ὕτως, ἧττον φθέγγκεται. κρίνει δ᾽ ἀσφαλέςερον, φθεγγκόμενος κρεῖττον. τὰ φύσε: παριςάμενα τ᾽ αὐτῦ πνεύματι ζῶντα ἴχνη τῶν προχείρων ϗ ἀθρόων ἰδεῶν, ὅσας ὁρᾷν ἡνωμένας, πολλάκις θάμβος, ὐ παραιτεῖται· τὸ κοινῇ καλύμενον πνεῦμα, τῷ τύτων προχείρῳ συνδέσμῳ ἑδραςαι, ζητῦν μέντοι κατὰ ταυτὰ τὸ ἔλαττον, τῆς αὐτῶν λαμπρότητος προτίθεται τὴν προσοχὴν, ἵνα διὰ ταύτης αὐτὰς διακρίνον, τὴν αὐτῶν ἀληθῆ ἔκτασιν ϗ τὸν ἀκριβῆ σύνδεσμον διαγνῷ, εἰδικάς τινας ἀναφορὰς, ὅσας αὐται πρὸς ἀλλήλας πορίζονται, μὴ πόῤῥω πυ ἐκείνων ἀπάγου· ἡ τοῦ πνεύματος καλυμένη κρίσις ϗ ὀρθότης, αἷς ἔτι

τὸ εὐκαμπές τε ϗ καθαρὸν προςίθεται, τῇ διακρίσει ταύτῃ βέβηκε. τῶν συςημάτων τινὶ ἑαυτὸ ἀνατιθέμενον. ἁπάσας τὰς δυνατὰς τῶν κατὰ τȣτȣ ἀνθιςάσεων ξυνορᾷ· τοιῷδε ζήλῳ τὰς αὐτῶν δόξας οἱ πλεῖςς ἀσπάζονται, ὡς τὰς τῶν ἄλλων διεξιέναι, ȣδὲ κἂν τὸν τυχόντα πόνον αἱρȣνται· ὁ δὲ τὴν, ἣν ἀποτίθεται, δόξαν τῇ ἐκτάσει ϗ καθαρότητι κατανοεῖ, ᾗ ϗ ὁ ταύτην εἰσποιȣμενος.

Τ' ἄρα φιλοσοφικὸν πνεῦμα, πνεῦμα παρατηρήσεώς τε ϗ ὀρθότητος, ἐπὶ τὰς αὐτȣ ἀληθεῖς ἀρχὰς ἅπαντ' ἀναφέρον· ὡς μὴ μόνον τȣτο καλλιεργȣντος, ἀλλὰ δὴ ϗ τὴν αὐτȣ προσοχὴν ϗ θεωρίαν ἔτι πορρωτέρω ἄγοντος.

Ο'υ τῶν τεράτων τι, ὁ ἄνθρωπος, οἷον, ἐν ταῖς κατὰ θάλατταν ἀβύσσοις, ἢ τοῖς κατὰ δρυμῶνας μυχοῖς, χρὴ ζῆν· ὡς μόνα τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια ἀναγκαίαν αὐτῷ τὴν τῶν ἄλλων συνȣσίαν ποιεῖται· ϗ γὰρ ἐν οἱᾳ δήποτε καταςάσει, ᾗ δυνατὸν αὐτὸν διάγειν, αἱ τȣτȣ χρεῖαι, ϗ τὸ εὖ εἶναι τῇ κοινωνίᾳ συζῆν ἀναγκάζουσι· ταῦτά τοι ϗ ἀναγινώσκειν, μελετᾷν, πονεῖν, ἵνα τὰς ταύτης πορίζηται ποιότητας, εἴτ' ȣν ἀρετὰς, τȣτον ὁ λόγος ἀπαιτεῖ.

Ε'ν ἐξορίᾳ, ἢ ἐν πολεμίᾳ γῇ, ὑπάρχειν ἐν τῷ τῇδε βίῳ μὴ οἰόμενος ὁ καθ' ἡμᾶς φιλόσοφος, τῶν, ὧν αὐτῷ ἐπιδαψιλεύεται ἡ φύσις, ἀγαθῶν ἀπολαύειν, οἷα σοφὸς οἰκονόμος, βȣλεται· χαρίζεσθαι τȣς ἄλλȣς αὐτῷ ἐφιέμενος, ἐφ' ᾧ τυχεῖν τῆς χάριτος, τοῖς ταύτην αὐτῷ

πα-

παρεχομένοις ἀπονέμειν ὀφείλει, ταύτῃ καὶ τοῖς, ὓς ἡ τύχη, ἢ ἡ αὐτῶν προαίρεσις, ἠξίωκε ταύτῃ συζῆν, συνᾴδειν σπεύδων, τ᾽ αὐτῷ ἀνήκον παρ᾽ αὐτῶν ἅμ᾽ ἀποφέρεται· ὁ τοίνυν ἀρέσκων, καὶ τοῖς ἄλλοις ἑαυτὸν παρέχων ὠφέλιμον, οὗτος τίμιος.

Θηριωδῶς προσφερομένοις τοῖς τῶν μειζόνων πλείοσιν, ὅσοις χρόνον ἱκανὸν οἱ τῶν ὄχλων ἀνωφελεῖς οὐ χαρίζονται, τοῖς, οὓς αὐτῶν οἴονται ἥττους, τούτοις οἱ κοινῇ φιλοσοφοῦντες, ὅσοι πάνυ, μᾶλλον δὲ κακῶς μελετῶσιν, οὐδαμῇ πεφύκασιν ἀνόμοιοι. ὡς οὗτοι μὲν τοὺς ἀνθρώπους, οἱ δ᾽ ἄνθρωποι τούτους φεύγουσιν· ὁ δ᾽ ἡμέτερος φιλόσοφος, ὃς τῆς τούτων ἀποστροφῆς τε καὶ κοινωνίας οἶδεν ἀπολαύειν, πάσης φιλανθρωπίας γέμει. ὅ, ὅτι ἄνθρωπος, γινώσκων, οὗτος ἄντικρυ, ὁ τοῦ τερεντίου θεῖος χρησμὸς, καὶ ἡ τῆς δεξιᾶς, ἢ ἀριστερᾶς τῶν αὐτῷ γειτνιώντων μετέχουσα, μόνη φιλανθρωπία· ἀνθρώπῳ ὄντι, τῶν ἀνθρωπίνων οὐδὲν ἔμοιγε ἀλλότριον.

Σημειοῦ ὧδε, ὅσος ὁ τῆς τιμῆς τε καὶ εὐθύτητος ζῆλος αὐτῷ, περιττὸν ἂν εἴη· ἡ πολιτικὴ κοινωνία, θειότης, ἵν᾽ οὕτω φῶ, αὐτῷ ἐπὶ γῆς, τῇ δοκιμότητι, τῇ ἀκριβεῖ προσοχῇ, τοῖς αὐτῷ καθήκουσι, καὶ τῇ ἀδόλῳ ἐφέσει ταύτην θυμιῶντί τε καὶ τιμῶντι, ὅπως ἀνωφελὲς, ἢ ταραχῶδες μέλος αὐτῇ μηδέποτε γένηται· ἐν τῇ τούτου μηχανικῇ καταστάσει τοιαύτην χώραν ἔχουσιν αἱ τῆς καθαρότητος γνῶμαι, οἵαν τὸ φῶς τῷ πνεύματι· ὅσῳ μείζω τὸν λόγον εὑρίσκει τις ἔν τινι, τοσούτῳ μείζω καὶ τὴν ἐν τούτῳ καθαρότητα.

τα. τὐναντίον δὲ, ὅπερ ὁ ἐνθυσιασμὸς ϗ ἡ δεισιδαιμονία κρατεῖ, ἐνταῦθα ϗ τὰ πάθη ϗ ἡ ἐπιφορὰ ἄρχει· ἴδιον δὲ τούτῳ, τῷ τῆς τάξεως, ἢ τῷ τοῦ λόγου πνεύματι ἐνεργεῖν· φιλοῦντι γὰρ ἐς ἄκρον τὴν κοινωνίαν, μᾶλλον, ἢ τοῖς λοιποῖς, αὐτῷ μέλλει, τοιᾷ δε πράττειν προσοχῇ, ὡς τῇ τοῦ τιμίου ἰδέᾳ ξυνῳδὰ παράγειν ἀεὶ τ' ἀποτελέσματα· μὴ δέδιθι, ὡς, ὁρῶντος αὐτὸν εὐμενεῖ ὄμματι μηδενὸς, τοῖς εὐθέσι τε ϗ δικαίοις τ' ἀναντία φρονήσει· οὐχὶ. οἷα τῇ τούτου μηχανικῇ διαθέσει οὐδαμοῦ τουτὶ ξυνᾷδον· ζυμωθεὶς γὰρ, ἵν' οὕτως εἴπω, τῇτε τῆς τάξεως, ϗ τοῦ κανόνος ζύμῃ, ἰδεῶν γέμει τῆς ἐν τῇ πολιτικῇ κοινωνίᾳ εὐδαιμονίας, ἧς κρεῖττον, ἢ κατὰ τοὺς πολλοὺς, οὗτος μόνος οἶδε τὰς ἀρχὰς, ὡς οὐ τῆς τυχούσης ἀνθιςάσεως ἐντυγχάνειν αὐτῷ τὴν ἁμαρτίαν, ἅττε φυσικὰς ἀρχὰς πλουτοῦντι, δι' ὅλου ταύτην καταςρεφούσας· ἡ τοῦ πράττειν αὐτὸν, ἵν' οὕτω φῶ, δύναμις, οἷα μουσικοῦ ὀργάνου χορδὴ, ἥγ' ἐπὶ τῶν τόνων τινα ἀνιοῦσα, τὸν τούτῳ ἀντικείμενον οὐκ ἂν ἔχῃ παράγειν, ὡς παρατονίζειν ϗ παραφωνεῖν ἑαυτῷ δεδιότα. κἀνταῦθ, ὁ περὶ κάτωνος, φησὶν ὁ βελλεῖος, μνηςέον. „Οὐδέποτ' εἴργαςαι τ' ἀγαθὸν, ὡς ὠφθῆναι, ἐργαζόμενος, ἀλλ' ὡς αὐτῷ ποιεῖν τοῦτο, ἄλλως οὐκ ἐξῆν.

Α'λλως τε τῶν, ὅσαγε πράττουσιν οἱ ἄνθρωποι, οὐδὲν ἄλλο ζητοῦσιν, ἢ τὴν αὐτοῖς πραγματικὴν ἀρέσκειαν, ἢ, τ' ἀγαθὸν, μᾶλλον δὲ τὸ παρὸν ἑλκτικὸν θέλγητρον, κατὰ τὴν ἐνυπάρχουσαν αὐτοῖς μηχανικὴν διάθεσιν ἐνεργοῦντες· προωχυρωμένος δ' ὁ φιλόσοφος μᾶλλον παντὸς

τὸς

τὸς ταῖς τῶν αὐτῦ σκέψεων προσεκτικαῖς, τὸ θέλγητρον ϗ τὴν εὐχαριςίαν συζῆν ἡμῖν, τὴν πεποίθησιν ϗ τὴν τιμὴν αὐτῷ προσεφέλκεσθαι, τῶν τῆς φιλίας ϗ εὐγνωμοσύνης καθηκόντων κεφίζεσθαι, μεῖζον ἐξευρίσκει, ἐντρεφομένων τῷ τῆς αὐτῦ καρδίης βάθει τῶν γνωμῶν τῶν δὲ πρὸς αὐτῆς τῆς θρησκείας, ἣν αὐτῷ τὰ τῦ ἐν αὐτῷ λόγυ φῶτα ὑφηγεῖται· ϗ πρὸς τῇ τυτῳ ἰδέᾳ ὕτως ἀντικειμένη, ἡ τ᾽ ἀτίμυ, ὡς ἡ τ᾽ ἀναισθήτυ· ὃ δῆλον τῆς ὁσημέραι πείρας, ὅσῳ μείζω, ὅ, τε λόγος ϗ τὸ φῶς, τοσύτῳ μᾶλλον ἀφαλὴς ϗ οἰκεῖος ὕτος τῇ τῦ βίυ κοινωνίᾳ· ἀναίσθητος, ἔφησέ πε τις, ᾧ μὴ ἱκανὰ τὰ τῆς μετάξης πρὸς εἷμα πολύτιμον· ὄντων ἀσθενεςέρων τῶν ἐν ἡμῖν φώτων, ἢ τῶν παθῶν, ταύτῃ ϗ ἁμαρτάνομεν, ὃ τοῖς θεολογῦσιν ἀληθές πως, ἀξίωμα· πᾶς ἁμαρτωλὸς, ἀμαθής.

Ὁ τῷ φιλοσοφῦν τι ὕτως ἔμφυτος ἔρως τῆς κοινωνίας ἡμῖν ὁρᾷν δίδωσιν, ὅσον ἀληθὴς, ἡ τ᾽ αὐτοκράτωρος ἀντωνίνυ γνώμη· ὅτε φιλοσοφήσωσιν οἱ βασιλεῖς, ἢ βασιλεύσωσιν οἱ φιλόσοφοι, τότε ϗ τὸ κοινὸν εὐζωήσει.

Ὁ ἄρα λόγῳ πράττων φιλόσοφος, τίμιος, τῷ τῆς ἐνθυμήσεώς τε ϗ δικαιοσύνης πνεύματι τὰ ἤθη ϗ τὰς τῶν ποιοτήτων κανονικὰς προςιθέμενος. κέντρωσον ἐν τῷ φιλοσόφῳ τοιᾷδε βαφῇ τὸν ἡγεμόνα, ϗ τῦτον ἕξεις τέλειον.

Ῥᾷςον ἐντεῦθεν συνάγειν, ὅσῳ τῆς τῦ καθ᾽ ἡμᾶς φιλοσόφυ τελειότητος ἐλλείπεται ὁ τῶν ςωϊκῶν ἀναίσθητος σοφός· ὕτος μὲν, ὁ ἄνθρωπος,

πος, ἐκεῖνος δὲ, φάντασμα. τὴν, ἣ ἥυχυν, ἀνθρωπότητα ἐρυθριῶντες, τὰ πάθη καταλύειν, ἢ ὑπὲρ τὴν φύσιν αἵρεσθαι, χειμερικῇ ἀναισθησία, ἀνοήτως ἔσπευδον· ὗτος χειμερικῇ τιμῇ ταῦτα καταργεῖν ἐχ ὑπισχνεῖται, εἰδὼς, ὡς ἀδύνατον. πονεῖ δ' ὖν ὅμως, ἵνα μὴ τέτοις κρατῆται, μετακοσμῶν αὐτὰ πρὸς ὠφέλειαν, ἢ τῇ λογικῇ χρήσει, ὡς δυνατὸν, τῦτόγε, κατήκοα τῷ λόγῳ παρεχόμενος.

Παντὶ δῆλον ἔθ', ὃ λέγεται, ὅσῳ πόῤῥῳ τῆς τῦ φιλοσόφε ἰδέας πεφύκασιν οἵδ' οἱ ἀμελεῖς, ὅσοι ἐς μελέτην ῥᾴθυμον αὐτὲς ἀφέντες, τῆς τῶν προσκαίρων μερίμνης, ἢ πάσης τῆς λεγομένης τύχης ἐδένα λόγον ποιῦνται· κενοδοξίᾳ ὁ τῶν φιλοσοφέντων ἀληθὴς μὴ κρατέμενος, τῆς ἐν τῷ βίῳ ἀνέσεως ἐφίεται ἀπολάυειν, παρὰ τὸ διατετταγμένον ἀναγκαῖον, καὶ τοῦ τιμίε ἢ ἀναγκαίε περιττῦ δεόμενος, δἰ ὖ μόνε ὗτος εὐδαίμων, ὡς ὄντος τῶν δεόντων καὶ ἀρεσκόντων βάσεως· οἱ τὴν πρόληψιν ταύτην παρασχόντες, τῇ τε αὐτῶν ῥαθυμίᾳ ἢ τοῖς τῶν ἀξιωμάτων σκοτεινοῖς, ὡς τ' ἀκριβέςατον ἀναγκαῖον, ἱκανὸν αὐτῷ, τῶν ψευδοφιλοσοφέντων ἐδαμῇ διενηνόχασι.

## ΠΕΡΙ ΦΙΛΟΣΟΦΙ'ΑΣ.

Φιλοσοφία, κατ' ἐτυμολόγες, ὁ τῆς σοσοφίας ἔρως ὖσαν δ' ἀεὶ ἄλις ἀόριςον, τῷ διαφόρῳ σημαινομένῳ, ὃ ταύτῃ ἀπονέμεται, δυνατὸν ἐνταῦθα θεωρεῖν αὐτὴν διχῇ. τῇ μὲν ἐνιςορίας εἴδει τὴν αὐτῆς ἀρχὴν ἢ τὰς τῶν ἐκ δοχῶν

δια-

διαφόρȣς καταλέγοντας, πῆ δὲ τὸν αὐτῇ ἀνήκοντα ϗ ἀληθῆ ὁρισμὸν διδόντας.

Α. ὃ τήμερον καθ᾽ ἡμᾶς φιλοσοφία, τοῦτο σοφία τὸ πάλαι ὠνομάζετο· ϗ δῆλον, ὡς σεμνυνομένων τῶν πάλαι πρώτων φιλοσόφων τῷ τȣ̃ σοφȣ̃ τίτλῳ, σημαίνοντος, ὃ νῦν εὐφυὲς φαμὲν πνεῦμα, τȣ́τῳ ϗ, οἷς ἥκιστα προσῆκε, πλεῖστα ἤδη κατεχρῶντο· νηπιάζοντος ἔτι τότε τ᾽ ἀνθρωπίνȣ πνεύματος, τὸ τῆς σοφίας ὄνομα ἐφ᾽ ἁπάσας, ὅσας ἐξευρίσκȣσιν ἡ ἀγχίνοια. ἤσκει, ἢ τὸ κοινὸν ὠφέλειαν τινα τȣ́των ἐγίνωσκεν, ὑφαπλȣ̃το τὰς τέχνας· ἐπεὶ δ᾽ ἡ μὲν γνῶσις ϗ ἡ παιδεία, ἡ τȣ̃ πνεύματος πρώτη καλλιέργια, σπȣδαζόμεναι δ᾽ αἱ ἐπιςῆμαι, ϗ εἰς ἔργ᾽ ἐπαναγόμεναι, ὡς πλεῖςας τ᾽ ἀνθρωπίνῳ γένει τὰς εὐκολίας ἐχορήγȣν, ἥτε σοφία ϗ ἡ παιδεία ἀλλήλαις ξυνεχȣ́θησαν· ταύτῃ ϗ ἔμπειρον, ἢ πεπαιδευμένον, τὸν τὴν ἐγκυκλωπαιδείαν τῶν, ἐν ᾧ ἐβίȣν, αἰῶνι γινωσκομένων κτώμενον ἐκάλȣν.

Η᾽ κατ᾽ ἐξοχὴν πασῶν τῶν ἐπιςημῶν, ϗ, τ᾽ αὐτῆς ὑποκειμένῳ, τοιαύτη καλȣμένη, περὶ Θεȣ̃ διαλέγεται, τὰς περὶ τὸ πρῶτον ὂν ἰδέας ϗ ὑπολήψεις ἡμῶν τȣ́τῳ συμμορφȣ̃σα διὰ τῆς λατρείας. ȣ̃σα δ᾽ αὕτη, μελέτη, τοῖς ταύτῃ σφᾶς αὐτȣ̀ς ἁρμόσασιν, εἴτ᾽ ȣ̃ν τοῖς τε θεολόγοις ϗ ἱερεῦσι, τὸν τȣ̃ σοφȣ̃ ἐδωρήσατο τίτλον, ὃν ϗ τοῖς τῶν Χαλδαίων ἱερευσιν αὐτὴ ἡ θεία γραφὴ ἀδιςάκτως χαρίζεται, ὡς τȣ̃τον σφετεριζόμενοι, καθόλȣ ȣ̃τοι ἀπεδέχοντο, ὃ ϗ παρὰ πᾶσι κυρίως τοῖς ἔθνεσιν, ὅσα βάρβαρα καλεῖν ἔθος, χώραν ἔσχεν. ἐν ἅπασι δὴ, ὅσοι,

οἷα

οἷα παρακαταθήκην, τὴν θρησκείαν ἐπιςεύθησαν, εὑρεῖν τὴν σοφίαν ταύτην πολλῦγε ϗ δεῖ. γελοίαις γὰρ δεισιδαιμονίαις, νηπιώδεσι ϗ θεοςηγέσιν ἔσθ' ὅτε μυςηρίοις, ὀπτασίαις ϗ πεπλασμένοις ψεύδεσιν, ὅπως τὸ αὐτῶν κρατύνοντες κῦρος, τ' ἀομμάτω πλήθει ἐπιθοῖντο πάντα ταῦτα, ἡ τῶν κατ' ἐκεῖνο καιρῦ ἱερέων σοφία ἑδράζετο. σπεύσαντας γεμὴν τὺς τῶν πάλαι σοφῶν μᾶλλον ἐγκρίτυς τῆς πηγῆς ταύτης τὰ νάματ' ἀρύσασθαι, ϗ τὰς ἐπὶ τὰ τῶν ἐθνῶν σοφώτερα ὁ δοιπορείας ἀναβαλομένυς, τοῖς ἐπισημοτέροις τῶν κατ' αὐτὰ μυςηρίων ὀργιάζειν προθεμένυς, ἐν τάχει ναυτιᾶν αὐτὺς ἐπὶ τύτοις ὐ πάνυ πολλῦ ἐδέησεν· ὡς ἡ τῆς αὐτῶν σοφίας ἰδέα τῇ τῆς θεολογίας ὐκ ἄλλῃ πῃ ξυνεδέδετο, ἢ ἐν τῷ τῶν ἀλαζόνων τύτων ἱερέων πνεύματι, ϗ τῷ τῶν ἀσθενῶν, ἢ ἀμαθῶν, αὐτοῖς γ' αἰχμαλώτων.

Ἀναθέμενοι δὴ σφᾶς αὐτὺς οἱ μεγαλόνοες ὗτοι ταῖς αὐτῶν μελέταις, τῶν ἀρχῶν ϗ ἰδεῶν, ἃς ἥτε φύσις ϗ ὁ λόγος παρεῖχον, ςερεὰν σοφίαν, ϗ ἀκλονήτοις ἐρειδόμενον βάσεσι σύςημά τι αὐτῶν ἐξάγειν ἠπείγοντο· ἀλλ' εἰ ϗ τὸν τῶν κοινῶν δεισιδαιμονιῶν ζυγὸν ὕτως ἀπεσείσαντο, τὸ μέντοι τῦ καθ' αὐτὺς ἐγχειρήματος λοιπὸν τῆς αὐτῶν προθέσεως ὐκ ἔτυχε· καταςρέψαντες γὰρ, κρεῖττω, ἢ ὁμοιάπως τοῖς τροπαιύχοις τύτοις, ὅσοι μεθ' αὐτὺς ὐδὲν ἄλλ', ἢ φθορὰς, ἐῶσιν, ἀνοικοδομεῖν ὐκ ἐγίνωσκον· ἐντεῦθεν ἡ τῶν κατὰ φαντασίαν τε ϗ ἀντιφατικῶν δοξῶν πλῆθὺς ἀνέφυ, εἴτι τῶν γελοίων ἐλίπετο φρόνημα, ὐ τὴν

γνῶσιν τῶν φιλοσοφέντων ἐδεὶς ἠπίςατο. ἐν ἐμφριβαλλία θεμένη· τῶν τȣ̃ κυρίȣ φοντενέλου ἐπίτε τοῖς πάλαι ϗ καθ᾽ ἡμᾶς γυμνασιῶν τεμαχίȣ τινος, τῷ προκειμένῳ πάνυ πρὸς ἀκρίβειαν ἀνήκοντος, ἀναμιμνήσκεσθ᾽ ἐνταῦθ᾽ ἐκ ἂν ὀκνήσαιμι. „τοιαύτη, φησὶν, ἡ καθ᾽ ἡμᾶς αὐτὲς κατάστασις, ὡς ἐπίλογικόν τι, οἷασποτ᾽ ἂν ἡ ὕλης, αὐτίκα ϗ ἀπόνως ἥκειν ἡμῖν ἥκιςα ξυγχωρεῖ· ἀνάγκη γὰρ ἐπὶ πλεῖςον πρὸ τέτȣ πλανᾶσθαι, διὰ διαφόρων εἰδῶν ἀπάτης ϗ βαθμῶν προπετείας διήκοντας. εἰδὲ ϗ κατανοεῖν ἀείρασον ἦν, ὡς τοῖς τῶν σωμάτων σχήμασίτε ϗ κινήσεσι βέβηκε τὸ τῆς φύσεως παίγνιον, ἀλλὰ πρὶν, ἢ ἐπὶ τȣ̃τ᾽ ἀφικέσθαι, τῶν τȣ̃ πλάτωνος ἰδεῶν, τῶν κατὰ πυθαγόραν ἀριθμῶν, ϗ τῶν τ᾽ ἀριςοτέλȣς ποιοτήτων ἐχρῆν πειρᾶσθαι, ὧν γνωσθέντων ἁπάντων ψευδῶν, ςερεὸν ϗ ἀληθές τι σύςημα ἐξευρήσοντάς γε ϗ ἀνοικοδομήσοντας ἐπανήκειν προσῆκεν· ἐπανήκειν, φημὶ, τῷόντι γὰρ, ἐδὲν ἔτι λοιπὸν, ϗ τὴν αὐτȣ̃ ἐξεύρεσίν τε καὶ ἀνοικοδομὴν δοκεῖ πως, ἐφ᾽ ὅσον οἱόντ᾽, ἀπηγορεῦσθαι· ὀφειλέται δὴ τοῖς πάλαι τυγχάνομεν, ὡς τῶν ψευδῶν ἰδεῶν, ἃς αὐτοῖς ῥᾷςον ἦν κατασκευάζειν, τὰς πλείȣς ϗ μείζȣς ἐκκενώσαντες, ἡμῖν αὐτὰς προεῖπον· ὥςε τῆς αὐτῶν ἀπάτης ϗ ἀμαθείας, τὸ, ὅπερ, ἀνθ᾽ ἡμῶν, ἔτοι κατέθεντο, τέλος δίκαιοι δήπȣ τȣ́τοις ἀποτίειν, μὴ ἀγνωμονȣ̃ντες, ὡς τȣ́των ἡμᾶς κȣφίσασι. ταῦτα ϗ περὶ πάσης ἄλλης διαφόρȣ ὕλης, ἤ, ἐκ οἶδ᾽, ὅσων ἂν γέμοι μωριῶν, ἃς μὴ ῥηθείσας, κἐδ᾽, ἵν᾽ ἔτω φῶ, τέλεον ἀρθείσας, ἔφαμεν ἂν γ᾽ ἡμεῖς· ἀλλὰ μὴν ἐδὲ τῶν καθ᾽ ἡμᾶς, ὅσοι

τοιαύ-

τοιαύταις κατέχονται. ἔσθ᾽ ὅτ᾽ εὐάριθμοι· ὡς ὅπω ἔτ᾽ ἴσως, ὅσας ἔδει, εἴρηνται.

Τῶν διαφόρων γνωμῶν, ὅσαιγ᾽ ἐν φιλοσοφίᾳ κώπαις ὅλαις πεφύκασιν ἐρέττεσθαι, ἐπιτομήν τινα μόνον ὧδ᾽ ἂν εἴη καταγράφειν, ὡς τῶν μὲν ἐν τοῖς καθ᾽ ἡμᾶς ἐδαφίοις ὁρίων ξυμπάσας ἅμα ταύτας διαλαμβάνειν ἐκ ἐπιτρεπόντων, τῶν δὲ κατὰ τὰς περιβλεπτότερον φιλοσοφήσαντας, κυριωτέρων, διαφόροις μέρεσι τε· ὃ λογικὸν καλεῖται, λεξικε ἐγκατεσπαρμένων ὑπὸ τίτλον, ἐφ᾽ ὃν ἢ ἀναφέρονταί γ᾽ ἑκάστη· οἱ τοίνυν ἐξ αὐτῶν πρέμνων, ὡς φασι, τὴν ὕλην ταύτην μελετᾶν ἐφιέμενοι, τῇ ἀφθονίᾳ τῶν, οἷς ἂν σφᾶς αὐτὰς πείθοιεν, ἐντεύξονται ἐν τῇ ἐξόχῳ πραγματείᾳ, ἣν πρῶτον μὲν γερμανιστὶ, εἶτα δὲ καὶ λατινιστὶ, βεκερὸς ἐξέδωκεν ὑπὸ τίτλον, ἱστορία κριτικὴ φιλοσοφίας ἰακώβε βεκερε ἐκ τῶν τοῦ κόσμε πρώτων αὐτῆς σπαργάνων, ἕς γε ἢ ἡμᾶς αὐτὰς προαχθεῖτα· δυνατὸν δ᾽ ἐσθ᾽ ὡσαύτως ἢ τὴν τε κυρίε δεσλάνδε περὶ φιλοσοφίας ἱστορίαν ἀναγινώσκειν.

Ἡ ἀμάθεια, ὁ ἐκτραχηλισμὸς, ἡ ἔπαρσις, τὸ ζηλότυπον, τῶν τεράτων ἀειδέστατα ἢ ἀμορφώτατ᾽ ἅττα ἐν τῇ θείᾳ φιλοσοφίᾳ ἐνηπίασαν, ἃ τὰς μὲν τῆς φίλης μελέτης ἀπέστρεψαν, τὰς δ᾽ ἐν καθόλε ἀμφιβολίᾳ τινι φέροντ᾽ ἐνέβαλε.

Προάγωμεν δὴ ὧδε, μὴ μηκύνοντες· εὐρυτάτας ἢ μεγίστας τὰς αὐξήσεις ἐπιδέχεσθαι τὴν φιλοσοφίαν, ἕς γε κἀπὶ τὴν αὐτῆς τελειότη-

 τας

τα, ἧς δεκτικὴ, καθ' ἡμᾶς, ἐπεκτεινομένην, τὸ τῆς ἀνθρωπίνε διανοίας ἀκανόνιςον τῶν κωλυόντων τι αὐτῇ ἐκ ἐναπέφηνεν, ὡς τῶν δογμάτων, ϗ ταῦτα τῶν περὶ ἠθικῆς τε ϗ τῶν, ὅσαγε τυγχάνει ὀφείλων τῷ Θείῳ ὁ ἄνθρωπος, ὑπέροχ' ἄττα ϗ ἀκριβῆ ἡμῖν οἱ πάλαι γραφῇ παρέδωκαν· εἰδ' ἐπὶ τὴν ἀρίςηντε ϗ καλλίςην ἰδέαν, ἣν ἔτοι περὶ σοφίας κατεσκευάζον, ἀφικέσθ' αὐτοῖς μὴ ἐξεγένετο, τῆς γεμὴν δόξης, τὐλάχιςον, ὡς ἐπὶ ταύτην ἐπισκοπἕντες τῇ διανοίᾳ ἐπέβαλον, ϗ τῆς κατ' αὐτὴν πείρας μετέχειν ἔσπευσαν, ἐκ ἄν τις ὅλως αὐτοὺς ἀφαιροῖτο· ἣν ἄρ ἐνταῖς αὐτῶν χερσὶν ἥδε πρακτική τις ἐπιςήμη, τάςτε θείας, ϗ ἀνθρωπίνες ἀληθείας ἑαυτῇ ἐμπεριέχεσα, τἕτ' ἔςιν, ἅπανθ' ὅσα, περὶ τἕ τῆς θεότητος ὑποκειμένε, ἀνακαλύπτειν, ϗτ ἡ τῆς κοινωνίας εὐδαιμονίᾳ ἐκ τῶν ἐνόντων συνεισφέρειν, δεκτικὴ ἡδιάνοα. συςηματικόν τι εἶδος δόντων ταύτῃ, ϗ διδάσκειν καθεσθέντων, ἀκαδημίαι, ἅμαδ' ἐδ' ὅσας ἄντις εἴπῃ, αἱρέσεις ξυγκροτηθεῖσαι ὤφθησαν· ἵνα δὲ πιθανωτέρας ϗ προσηνεςέρας τὰς αὐτῶν διδασκαλίας ἀποδέχωνται οἱ ἀκροώμενοι, χάρισιν ἐ μετρίαις τῆς ςωμυλίας, ᾗ τῇ φιλοσοφίᾳ ξυνεχέθη ἀνεπαισθήτως, ἐξυφαίνοντες ἐκόσμεν, μάλιςα δ' ἁπάντων οἱ τῶν ἑλλήνων παῖδες, ὅσοι περὶ πλείονος αὐτὴν τὴν τἕ ξυλέγειν τέχνην ἐποιἕντο, διὰ τὴν ἐν τοῖς πράγμασι τῆς τ' αὐτῶν δημοσίε ἐπικρατείας ἐπίῤῥοιαν ταύτης· τὸ τἕ σοφἕ ἐς τὸ τἕ σοφιςἕ, εἴτ' ἕν τὴν τἕ ςωμυλεύεσθαι τέχνην διδάσκοντος, ὄνομα ἤδη μετήμειπται· ἤδ' ἀλλ' ἕν ἡ μεταβολὴ τὴν ἐπιςήμην ταύτην, ἥπερ ἐν ταῖς καθ' αὐτὴν ἀρχαῖς πλείες εὐγε-

νεῖς

νεῖς τῶν θεωριῶν πρȣβάλετο, ἐκπεσεῖν τῶν ἀφορμῶν ȣ̓ σμικρά τις· τὰς τῆς ἡμῶν εὐδαιμονίας ςερεάς τε ϗ ὠφελίμȣς ἰδέας διδάσκειν τῶν τῆς σοφίας καθηγητῶν ȣ̓κέτ' ἤκȣον οἱ τότε, ὡς περιέργοις τῶν ζητημάτων τὸ αὐτῶν πνεῦμα νεμόντων, πλείοσι ϗ μελωδικαῖς τῶν περιόδων τὸ ȣ̓ς κατακηλȣ́ντων, ϗ δάφνῃ ςεφανȣ͂σθαι τὸν μᾶλλον ἰσχυρογνώμονα ψηφιζόντων, ὡς ἀριςέα μετὰ τὴν πάλην μένοντα.

Πάντῃ μάταιον τοῖς τοιȣ́τοις, μᾶλλον δ' ȣ̓τ' ἀνῆκον ἔτι τ' ἀνθρώπῳ, τὸ τῆς σοφιας ὄνομα, ὡς μόνῳ τῷ θείῳ, ὅπερ αἰώνιός τε ϗ ἀνεξάντλητος πηγὴ τῆς ἀληθȣ͂ς σοφίας, ἀπονέμεσθ' ὀφειλόμενον. αὐτόδὴ τȣ͂το κατανοήσας ὁ πυθαγόρας, ἀντὶ τȣ́τȣ, τὸ τȣ͂ φιλοσόφȣ μετριάζων, ἀντικατέςησεν, ὥγε ϗ μόνῳ οἱ μετ' ἐκεῖνον ἐχρῶντο· ἀλλὰ βȣλομένων, οἷα παρακαταθήκην, τῇ αὐτῶν διανοίᾳ εναποτεταμιευμένην, τὴν ἀληθῆ σοφίαν κυρήττειν τῶν φιλοσόφων, οἱ τῆς μεταβολῆς ταύτης σοφοὶ λόγοι ȣ̓τοι τ' αὐτῶν φύσημα ȣ̓κ ἐξεπνευμάτωσαν· τὸ γὰρ κοινότερον τῶν μέσων, ᾧ ἔτυχον χρησάμενοι, ἵνα μεγαλοπρεπῆ ϗ ὑπερένδοξον ταύτῃ παράσχοιντο τὴν λαμπρότητα, προΐςασθαι ἦν αὐτοῖς, ἀπόρρητόν τινα ϗ μυςικὴν ἔχειν διδασκαλίαν, ἧς ȣ̓δέσιν ἄλλοις, εἰμὴ τῶν μαθητευομένων εὐαρίθμοις, ϗ τȣ́τοις πιςοῖς, τὴν κοινωνίαν ποιȣ́μενοι, τȣ̀ς πολλȣ̀ς τῶν ἀκροωμένων ἐς ἀόριςτ' ἄττα ϗ σαλεύοντα τῶν παιδευμάτων ἀπετίθεντο, τὴν μέθοδόν τε ϗ ἰδέαν ταύτην παρὰ τῶν ἱερέων, ὅσοι τȣ̀ς ἐν τοῖς καθ' αὐτȣ̀ς μυςηρίοις νεοπαγεῖς ȣ̓κ ὠργίαζον, ἢ μετὰ πολυετεῖς δοκιμασίας, παρειληφό-

τες·

τες· τούτων γεμὴν ἑκατέρων, τὰ ἄῤῥητα μυστήρια τοῖς, ὅσοις κατετίθεντο, πόνοις τε καὶ ἱδρῶσιν, ἵν᾽ αὐτῶν γένοιντο μέτοχοι, οὐδὲν ὅλως εἶχε τὸ ἰσόῤῥοπον.

Καίτοι γεμουσῶν τῶν, ὅσαιγε καὶ ἐς ἡμᾶς ἐσώθησαν, τῆς ἀρχαιότητος φιλοσοφικῶν πραγματειῶν, οὐ τῶν τυχόντων ἐλλειμάτων, καὶ ταυτά γε τοῦ τῆς μεθόδου ἀτέχνου, τὰ μέντοι τῶν καθ᾽ ἡμᾶς πλειόνωντε καὶ μειζόνων ἀνακαλύψεων σπέρματα ἐν τοσούτω τούτων ἠρυσάμεθα· αἱ ὕλαι, ὅσαις ὀργάνων καὶ παρατηρήσεων οὐκ ἔδει, εἰκίπερ, αἱ τῆς ἠθικῆς, οὕτω πάνω πόῤῥω προήχθησαν αὐτοῖς, ὅσω ταύτας ὑφαπλοῦν ὁ λόγος ἠνέσχετο· βοηθήμασιν, ὅσα γ᾽ ἡμῖν ἐπορίσαντο οἱ κάτω αἰῶνες, χρωμένην τὴν φυσικὴν, πολλῷ τῷ μέτρῳ τῆς τῶν πάλαι ὑπερέχειν, τοῦτο, ξένον μὲν οὐ, ἐκεῖνο δὲ, τῶν ξυμβάντων οὐκ εὐαρίθμου προειδότας αὐτοὺς ὡς ἄριστα, διὰ τούτων, ὅσα τήμερον ἡμεῖς, ὁρᾷν μήσχεῖν, ὃ περί τε ἰατρικῆς καὶ τῶν ἄλλων μαθηματικῶν λεκτέον, ὧν ἀπειραρίθμοις τῶν θεωριῶν συγκειμένων, καὶ τῆς πολυειδοῦς κοὐδ᾽ εὐαρίθμου πείρας, ἣν ἐκβαίνειν μόνον τὰ τῆς τύχης αἴτιον, ἐπί τι τῶν προδιαταχθέντων σημεῖον ταύτην μὴ ἄγοντα, ἠρτημένων, πρόδηλον, ὡς τοὺς καθ᾽ ἡμᾶς φυσικοὺς ἰατροὺς καὶ μαθηματικοὺς, εἰδημονεστέρους, ἢ κατὰ τοὺς πάλαι, φύσει τυγχάνειν ἕπεται.

Αόριστον ἀεὶ, κἄντ᾽ ἀχανεῖ αὐτῆς περιζώματι περιεχόμενον, διαμενεῖ τὸ τῆς φιλοσοφίας ὄνομα, πλὴν τῆς τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων γνώσεως, τῆς τῶν νόμων, τῆς ἐν ἰατρι-

κῇ,

χῦ, ϗ ἔθ᾽ ὁμοίως τῆς τῶν περὶ παιδείαν διαφόρων κλόνων, οἷοίπερ, ἡ γραμματικὴ, ἡ ῥητορικὴ, ἡ κριτικὴ, ὀδὲ τῆς ἱςορίας ϗ ποιητικῆς ἐξαιρημένων· μετοχετεύθη δ᾽ αὐτὸ τῦτο κἀν τῇ ἐκκλησίᾳ, ὡς ȣ̓ μόνον ὁ χριςιανισμὸς, ἁγία κέκληται φιλοσοφία, ἀλλὰ ϗ οἱ τῆς θρησκείας καθηγηταὶ αὐτοὶ, ὅσοι τὴν ἀλήθειαν ἐδίδασκον, οἱ ἐν ἐρήμοις ἀσκηταὶ, οἵ τὰς περὶ ψυχὴν καὶ σῶμα αὐςηρότητας ἐγύμναζον, τῷ τῦ φιλοσόφȣ ὀνόματι ἑαυτȣ̀ς ἐχρωμάτευον.

Ἡ ἐπιςήμης τινος τοιαύτη καθόλȣ διαίρεσις, πάντῃ πρὸς ἀρήσκειαν. ἡ δ᾽ ἀρχαιοτέρα ϗ μᾶλλον ἀποδεκτέα, ἡ τὴν φιλοσοφίαν ἐπὶ τὴν τῦ θεῦ ϗ τῶν ἀνθρώπων σκέψιν ἀνάγȣσα.

Καινήν τινα ταύτης διαίρεσιν εἰσῆγεν ὁ ἀριςοτέλης, ϗ ὅρα. τῶν θεωρητικῶν ἐπιςημῶν τρία τὰ γένη, τὸ μὲν, μαθηματικὸν, τὸ δὲ, φυσικὸν, τὸ δὲ, θεολογικόν· τὴν δ᾽ ἄλλων τινων αἱρέσεων τεμάχιόν τι δηλώσει τῦ σένεκα· τριῶν ὄντων, κατὰ ςωϊκȣ̀ς, τῶν τῆς φιλοσοφίας εἰδῶν, τῦ ἠθικῦ, φυσικῦ ϗ λογικῦ, τὸ μὲν πρῶτον τὴν ψυχὴν αὐτὴν πραγματεύται, τὸ δὲ δεύτερον τὴν τῶν ὄντων φύσιν ἐξετάζει, τὸ τρίτον τὰς τῶν ῥημάτων ἰδιότητας, τὴν τῦ συλλογισμῦ κατασκευὴν, ϗ τὸ ἐπιχειρίζεσθαι ἀπαιτεῖ, ὅπως μὴ, ἀντὶ τῶν ἀληθῶν, τὰ ψευδῆ ἀποδεχώμεθα· κατ᾽ ἐπικορείȣς, δύω, τὸ φυσικὸν ϗ ἠθικόν· ἀπεσείσαντο γὰρ τὸ λογικόν· ἀναγκαζόμενοι γεμὴν τοῖς πράγμασι τ᾽ ἀμφίβολα διακρίνειν, τὰ δ᾽ ὑπὸ τὸ τῆς ἀληθείας εἶδος κρυπτόμενα ψευδῆ ἐλέγχειν, τὸν λογι-

κὸν

κὸν τόπον, ὃν περὶ κρίσεως ϗ κανόνος καλᾶσιν, ἄλλῳ ὀνόματι εἰσήγαγον ϗ ὗτοι, τῦ φυσικοῦ μέρυς προσθήκην ταῦτα νομίζοντες· οἱ ἐκ κυρήνης τὰ φυσικὰ ϗ λογικὰ ἐδράζοντες, τοῖς ἠθικοῖς ἠρκῦντο· σενεκ: ἐπις: 89.

Τὴν τῆς φιλοσοφίας τεττραπλὴν διαίρεσιν, εἴτ᾽ ὖν τὸ λογικὸν, μεταφυσικὸν, φυσικὸν καὶ ἠθικὸν αἱ σχολαὶ ἠσπάσαντο.

B. ἐπὶ τὸ ἐλάφιον ἤδη, ἐν ᾧ τό, τε τῦ ὀνόματος, φιλοσοφία, κύριον σημαινόμενον πήγειν, ϗ τὸν ταύτης ἀκριβῆ ὁρισμὸν δεῖ παρέχειν, ὥρα διαβαίνειν· ϗ δῆτα, φιλοσοφεῖν ἐςὶ, τὸ τῶν πραγμάτων λόγον δῦναι, ἢ γῦν αὐτὸν τῦτον ἀνιχνεύειν. ὁρᾶν ταῦτα, πρὸς ἄλληλα ἀναφέροντας, ἱςορεῖν. τὸ δὲ τὰς τύτων ἀναλογίας, τ᾽ αὐτῶν μεγέθη, τὰς δυνάμεις λογιζομένους μετρεῖν, μαθηματικὸν· ὁ δὲ τὸν λόγον, ὅς ὑπάρχειν αὐτὰ ποιεῖ, ϗ τοιαῦτα μᾶλλον, ἢ ἀλλοῖα, παριςᾶν ἐπιςάμενος, ὗτος κυρίως φιλόσοφος.

Τύτων κειμένων, ὁ κατ᾽ ὐόλφιον ὁρισμὸς αὐτῆς, δόξας, τῇ αὐτῦ συντομίᾳ, ἐμπεριέχειν, ἅπαν, ὅ,τι τὴν ἐπιςήμην ταύτην χαρακτιρίζει, τῶν ἄλλων ἁπάντων προκέκριται· ἔςι δὲ, ὗτος, φιλοσοφία ἐςὶν, ἡ τῶν δυνατῶν, ᾗ δυνατὰ, ταῦτα, ἐπιςήμη· ἐπιςήμη μὲν, ὅτι τὰ ταύτῃ προβαλλόμενα δείκνυσι· τῶν δυνατῶν δὲ, ὅτι πρόθεσις αὐτῇ, τὸ παντὸς, ὅπερ ἐςὶ, ϗ δύνατ᾽ ἐνυπάρχειν παντὶ γινομένῳ, λόγον διδόναι· ϗ ἔτι τῶν γινομένων, δυνατῶν μὲν, ἀντικειμένων

νων δὲ, οἷον, ὃν δυναίμην φιλεῖν, τοῦτον μισῶ· ἢ τόπον ἐν τῷ παντὶ καταλαμβάνει τῶν σωμάτων τι, ὅπερ, ἀντὶ τούτου, ἄλλον καταλαμβάνειν ἠδύνατο. ἀδυνατούντων δὲ τῶν διαφερόντων δυνατῶν τούτων ἅμα ὑπάρχειν, ὁ θάτερον τούτων μᾶλλον, ἢ τὸ ἕτερον, ὑπάρχειν ὁρίζων λόγος, ἐστιν, ὃν ὁ φιλόσοφος ζητῶν, σημειοῖ.

Διαλαμβάνοντος δὲ τοῦ ὁρισμοῦ τὸ ἐνεστὼς, τὸ παρωχηκὸς, τὸ μέλλον, πρὸς δὲ καὶ, ὅπερ οὔπω ἔθ' ὑπάρχει, οὔθ' ὑπάρξει πώποτε, οἷαίπερ, αἱ καθόλου ἰδέαι τε καὶ ἀφαιρέσεις πᾶσαι, ἡ τοιαύτη ἐπιστήμη, ἀληθὴς ἐγκυκλωπαιδεία, ἐν ᾗ ἅπαντ' ἀλλήλοις ξυνδεδεμένα, ἀλλήλων ἤρτηται· ἀλλ' εἰ καὶ μὴ ἠγνόουν τοῦτο οἱ πάλαι, τὸ τῆς φιλοσοφίας ὄνομα παντὶ εἴδει ἐπιστήμης, ἢ τέχνης, ἀπονέμοντες, τὴν γεμὴν ἐφ' ἁπάσας τὰς ἄλλας ἐπίῤῥοιαν ταύτης οὐκ ἀπεδείκνυον· ὥστε τὸν ἐκείνων ὁρισμὸν, σαφέστερον, ἢ κατὰ τὸν δοθέντα, ταύτην ἀναπτύσσειν, οὐκ ἂν εἴη. τὰ δυνατὰ, περιοχὴ ἁπάντων, ὅσοις τὸν τ' ἀνθρώπου νοῦν, ἢ τὴν τούτου δεξιότητα, δυνατὸν ἀσχολεῖσθαι· καὶ πᾶσαν ἐπιστήμην, ἢ τέχνην, ἔχειν τὴν αὐτῆς φιλοσοφίαν, ὡσαύτως πρόδηλον. τὸ γὰρ νομικὸν, ἡ ἰατρικὴ, ἡ πολιτικὴ, ἅπαντα γίνεται, ἢ γοῦν ὀφείλει μετὰ λόγου γίνεσθαι· ταύτας οὖν ἀνακαλύπτοντα, σημειῶν, τὸ τῶν εἰρημένων ἐπιστημῶν ὄνομα, φιλοσοφίαν, ἔστιν αὐταῖς διδόναι· ἔτι δὲ, εἰ καὶ ὁ ἀρχιτέκτων. ὁ ζωγράφος, ὁ ἑρμογλύφος, φημὶ προσέτι, ὁ τῶν ξύλων ἁπλοῦς κοπεὺς, τούτων ἕκαστος τοῦ τοῦ ποιεῖν, ὃ ἂν οὕτω, καὶ οὐκ ἄλλως ποιῇ, λόγον ἔχει, ἀληθές μέντοι, ὡς οἱ τούτων πλείους κατ'

ἐμ-

ἐμπειρίαν πονῦντες, ϗ ὀργάνοις χρώμενοι, τὴν τύτων μηχανικὴν ϗ ἀναλογίαν τοῖς, ὅσαγ' ἐκβαίνει, ἔργοις, ἀγνοῦσιν· ὐχ ἧττον δ' ἂν ὁμολογύμενον, ὡς, ἔχοντος παντὸς ἐργάνυ τὸν αὐτῦ λόγον. κατασκευαϑέντος ἄλλως, τ' αὐτὸ ἔργον ὐκ ἀποβήσεται. τὰς δὲ τύτ' ἀνακαλύψεις μόνος ποιεῖται ὁ φιλόσοφος, ἀποδεινύειν. ὡς τὰ πράγματα ὑπάρχει, οἷα δεῖν ὑπάρχειν, δυνάμενος, ἢ ταῦτα διορϑῶν, δεκτικὰ ὄντα διορϑώσεως, τὸν τῆς μεταβολῆς, ἣν τύτοις ἐπάγειν βύλεται, λόγον ἀποδεικνύων.

Τ' αὐτῶν ὄντων τοῖς τῶν ἐν ἡμῖν ἰδεῶν, ἐν γένει, τῶν τῆς φιλοσοφίας ὑποκειμένων, ϗ τὴν ταύτης φυσικὴν διαίρεσιν συνιςώντων, τὰ τύτων ἀρχοειδῆ, πέφυκε τρία, ὕλη, ψυχὴ, ϑεὸς, ὧν ἐπαναγομένων ἐπὶ τὰ, οἷς τὰ τῆς φιλοσοφίας τρία πρῶτα μέρη ἅπαντᾶ, τὸ μὲν, ἡ φυσικὴ, ἣ τοῖς περὶ τὰ σώματα δυνατοῖς ἀνήκει· τὸ δὲ, ἡ ψυχολογία, ἣ τὰ περὶ τὴν ψυχὴν δυνατὰ ϑεωρεῖ, ϗ τέλος. ἡ φυσικὴ ϑεολογία, εἴτ' ὖν ἡ τῶν ἐν τῷ ϑεῷ δυνατῶν ἐπιςήμη, ὅσαγ' ἐν αὐτῷ ϗ παρ' αὐτῦ δυνατὸν ἐννοεῖν· ταῦτα ϗ περὶ τῶν τῆς ψυχῆς ϗ τῦ σώματος ὁρισμῶν, εἰρήσϑω.

Πασχύσης αὖϑις εἰδικὰς ἄλλας ὑποδιαιρέσεις τῆς καϑόλυ τῆςδε διαιρέσεως, ὅπως ταύτας ὁ αὐτὸς ὗτος καϑηγητὴς ποιεῖται, ὅρα.

Τὸ τῆς αὐτῦ ὑποδιαιρέσεως πρῶτον μέρος, ἐν ᾧ τὴν ἡμῖν ἐνῦσαν δύναμιν, ᾗ τὰς τῶν δυνατῶν ἰδέας κατασκευάζομεν, διάνοιαν ἀποκαλεῖ·

ἄχρις

ἄχοις ὐδ᾽ ἐκτείνεται αὕτη, ἢ ὅπως ἂν ᾖ ταύτῃ χρηςέον, ἐφ᾽ ᾧ τὰς ἡμῖν ἀγνώςυς τῶν ἀληθειῶν ἰδίᾳ μελέτῃ ἀνακαλύπτοντας, τας, ἃς ἤδη ἕτεροι ἀνεκάλυψαν, ξὺν ἀκριβείᾳ κρίνειν, καταvoεῖν, ὐκ ὂν ῥᾴδιον, διὰ τῦτο ᾗ ζητητέον, φησὶ, πρῶτον, οἷαι μὲν, αἱ τῆς ἀνθρωπείυ διανοίας δυνάμεις, ἥτις δ᾽ ἡ τύτων κατὰ νόμυς χρῆσις ἐν τῇ τῆς ἀληθείας γνώσει· τὸ τῆς φιλοσοφίας μέρος, ἔνθα περὶ τύτων ὗτος διαλέγεται, λογικὴν, εἴτ᾽ ὖν τέχνην τῦ νοεῖν, τῦτ᾽ ἀποφαινόμενος, ἐνταῦθ᾽, ὡς τοιῦτον, ὐκ ἀποδεχόμεθα, ὡς μὴ τέχνης. ἀλλ᾽ ἐπιςήμης, πρός τινος τῶν καθ᾽ ἡμᾶς πάνυ σοφῶν ἀνδρῶν τῆς λογικῆς ἀποδειχθείσης.

Ἐν ἅπασι τοῖς τῶν ὄντων δυνατοῖς, ὑπάρχειν τι παρ᾽ αὑτῦ ὑφιςάμενον, ἀνάγκη. ἄλλως γὰρ, ἦν ἂν δυνατὰ, ὧν τὸν τῆς δυνατότητος λόγον διδόναι, ὐκ ἂν ἔχοιμεν, ὅπερ ἄτοπον· ἀλλὰ τὸ μὲν παρ᾽ αὑτῦ ὑφιςάμενον ὑπάρχει, ὃ θεὸν καλῦμεν, τὰ δὲ, παρὰ τῦτο, ὅσα τὸν τῆς αὐτῶν ὑπάρξεως λόγον ἐν αὐτῷ ἔχοντα, παρ᾽ αὐτῦ ᾗ τὸ εἶναι γινώσκει, ποιήματα. δέον δὲ τῇ φιλοσοφίᾳ τὸν τῆς δυνατότητος τῶν ὄντων λόγον διδόναι, προσῆκε τὴν περὶ θεῦ λεγομένην διδασκαλίαν ἡγεῖσθαι τῆς τύτων. ᾗ ὁμολογῶ, ὡς αὐτῶν ἔννοιάν τινα καθόλυ ἐχρῆν ἔχειν, ἀλλ᾽ ἐπεὶ ταύτην ἐξ ἁπαλῶν ὀνύχων πείρᾳ συνεχεῖ πορίζόμεθα, τύτυ χάριν ὐδὲ καταγράφειν αὐτὴν ἐν τῇ φιλοσοφίᾳ ἐδέησε. τ᾽ ἄρα τῆς φιλοσοφίας μέρος, ἐν ᾧ περὶ θεῦ τε ᾗ τῆς αὐτῶν ἀρχῆς, ἣν ἐκ τύτυ ταῦτ᾽ οἴδασι, λόγος γίνεται,

ται, φυσικὴ θεολογία, εἴτ᾽ οὖν περὶ θεοῦ διδασκαλία λέγεται.

Παριστώντων ἡμῖν τὴν αὐτῶν ἐνέργειαν τῶν ποιημάτων, ἤτοι τῇ πρὸς ἑτέρων κινήσει, ἢ τῇ παρ᾽ αὐτῶν νοήσει, τὰ μὲν, σώματα, τὰ δὲ, πνεύματα ὑπάρχει· ἀσχολουμένην δὲ τὴν φιλοσοφίαν, ἵνα τὸν ἀποχρῶντα λόγον δῷ πᾶσιν, ἀνάγκη κατὰ ταυτὰ τὰς τούτων δυνάμεις, ἢ ἐργασίας, κινήσει, ἢ νοήσει, ἐνεργούσας ἐξετάζειν. ὅσα τῇ τῶν σωμάτων ὁρμῇ, ἢ βίᾳ, καὶ ταῖς τούτων δυνάμεσι δυνατὸν ἐν τῷ παντὶ ξυμβαίνειν, ἡμῖν δεικνῦσαν· πνευματολογία μὲν, ἤτοι τῶν πνευμάτων διδασκαλία, λέγεται, τὸ τῆς φιλοσοφίας μέρος, ἐν ᾧ τὸ ταῦτα πραγματικευεῖν δυνάμενον ἑρμηνεύεται· φυσικὴ δὲ, εἴτ᾽ οὖν διδασκαλία φύσεως, τὸ, ἐν ᾧ, ὅ,τι δυνατὸν ταῖς τῶν δυνάμεων σωματικαῖς, δείκνυται.

Ὄντος τοῦ ἐν ἡμῖν νοοῦντος, ὃ καλεῖται ψυχὴ, τῆς τῶν πνευμάτων τάξεως, καὶ, παρὰ τὴν διάνοιαν, βούλησιν, ἢ πλείστων ξυμβάντων αἰτία, ἔχοντος, δέον τὴν φιλοσοφίαν ἐξελίττειν ἔτι, ὃ καὶ ταύτῃ δυνατὸν ξυμβαίνειν· τ᾽ ἄρα τῆς φύσεως δικαιώματα, ἤτοι τοὺς φυσικοὺς νόμους, τὴν ἠθικὴν καὶ τὴν πολιτικὴν ἐπὶ ταύτην ἀνάγοντας, καὶ ταύτας χρεὼν διδάσκειν.

Ἐπεὶ δ᾽ ἅπαντα, εἴτε σώματα, εἴτε πνεύματα, ἤτοι ψυχαὶ, ὁμοιότητά τινα πρὸς ἄλληλα πῶς ἔχει, ζητεῖν ὡσαύτως δέον, ὃ τοῖς οὖσιν ἅπασιν ἐν γένει δυνατὸν ἀνήκειν, καὶ ᾧ καθόλα

λυ ταῦτα διαφέροντ᾽ ἀλλήλων τυγχάνει· ὀντολογίαν ὂν, ἤτοι θεμελιώδη ἐπιςήμην, καλῦμεν, τὸ τῆς φιλοσοφίας μέρος; ὃ τὴν ἁπάντων τῶν ὄντων καθόλυ γνῶσιν ἑαυτῷ ἐμπεριέχει. ἀλλ᾽ αὕτη μετὰ τῆς τῶν πνευμάτων διδασκαλίας, ϗ τῆς φυσικῆς θεολογίας, τὸ μεταφυσικὴν, ἤτοι πρώτην ἐπιςήμην, καλύμενον ξυντιθέασι.

Διαιρυμένης ἔτι τῆς φιλοσοφίας διχῇ παρ᾽ ἄλλων, εἰς τὴν θεωρητικὴν δηλ. ϗ πρακτικὴν, ὧν ἐκείνη μὲν, μόνῃ ψιλῇ ϗ ἁπλῇ θεωρίᾳ τῶν ὄντων ἀρκεῖται, αὕτη δὲ ϗ κανόνας τῷ ἐπὶ τ᾽ αὐτῆς ὑποκείμενον ἐργάζεσθαι παρέχει, τὴν ὁλοφίυ μᾶλλον ἡμεῖς ἐνταῦθ᾽ ἀποδεξάμενοι, τῶν ταύτης τριῶν μερῶν τὸ πρῶτον, εἴτ᾽ οὖν τὴν ὕλην, εἰς δύω αὖθις διαιρῦμεν, ἤτοι τὸ φυσικὸν ϗ μεταφυσικόν· (ὐ δὲ γὰρ ἂν ἀρνηθείητις, ὡς ἡ μεταφυσικὴ τὺς τῆς ὕλης καθόλυ λόγυς ἀνιχνεύει), οἷς τὸ τῆς κατ᾽ ἐκεῖνον διαιρέσεως λοιπὸν, ἤτοι τὴν ψυχολογίαν, ϗ τὴν μεταφυσικὴν θεολογίαν μᾶλλον, ἢ τὴν φυσικὴν, προςιθέμενοι, ἰδίᾳ τύτων ἕκαςον, ϗ ὡς οἷόντε συντόμως ὧδ᾽ ἑρμηνεύσομεν, χάριν μείζονος καταλήψεως τῶν εἰρημένων ϗ ῥηθησομένων ἐν τῇ ἀνὰ χεῖρας βίβλῳ.

## Ὁρισμὸς τῆς Φυσικῆς.

Φυσικὴ, ἡ ϗ φιλοσοφία φύσεως καλεῖται ἐςὶν ἐπιςήμη τῶν ἐν τοῖς φυσικοῖς σώμασιν ἰδιοτήτων, τῶν ἐν τύτοις φαινομένων ϗ τῶν ἐν αὐ-

τοῖς

τοῖς ἀποτελεσμάτων, ἢ ϗ τῶν περὶ ταύτας διαφόρων κατηγορȣμένων, τῆς κινήσεως, κτ.

## Α'ρχὴ ταύτης.

Οἱ τῶν αἰγυπτίων ἱερεῖς, οἱ μάγοι, οἱ βραχμάνες, οἱ ἕλληνες, ὧν πρῶτος ὁ θαλῆς ἐξ αἰγύπτȣ ταύτην τȣ́τοις ἤγαγε, διὰ δὲ τȣ́τȣ ταῖς τȣ̃ πυθαγόρȣ, πλάτωνος ϗ τῶν περιπατητικῶν σχολαῖς μετεδόθη, ἐξ ὧν ἐν ἰταλίᾳ ϗ τῇ λοιπῇ εὐρώπῃ, εἰ ϗ οἱ τῶν ἄγγλων, γερμανῶν ϗ οἱ τῶν πάλαι γάλων ἱερεῖς ϗ βασιλεῖς εἰδικήν τινα φυσικὴν ἐκτῶντο, αὖθις διέσπαρται.

## Διαίρεσις αὐτῆς.

Διαιρεῖται δ' εἰς συμβολικὴν, ἧς βάσις τὰ σύμβολα, οἷα, ὑ τῶν πάλαι αἰγυπτίων, πυθαγορικῶν ϗ πλατωνικῶν, τὰς τῶν φυσικῶν σωμάτων ἰδιότητας, ἀριθμητικοῖς, γεωμετρικοῖς ϗ ἱερογλυφικοῖς χαρακτῆρσιν ἐκτιθεμένων.

Εἰς τὴν περιπατητικὴν, εἴτ' ȣ̃ν ἀριςοτελικὴν, ἡ τὴν τῶν ὄντων φύσιν ἡρμήνευε διὰ τῆς ὕλης, τȣ̃ εἴδȣς ϗ τῆς ςερήσεως, τῶν ςοιχειωδῶν ϗ κεκρυμμένων ποιοτήτων, τῶν συμπαθειῶν ϗ ἀντιπαθειῶν.

Τὴν πειραματικὴν, τὴν τȣ̃ς λόγȣς, τὴν φύσιν τῶν πραγμάτων ἀνακαλύπτειν πείραις, οἷαι, αἱ τῆς χυμικῆς, ὑδροςατικῆς, πνευματικῆς ϗ ὀπτικῆς, σπεύδȣσαν.

Τὴν μηχανικὴν ϗ σωματικὴν, ἡ τῶν τῇ φύσει φαινομένων διδόναι λόγον προτείνει, ἀρχαῖς, μόνῃ τῇ ὕλῃ, τῇ κινήσει, τῇ κατασκευῇ, τῷ τῶν σωμάτων σχήματι ϗ τοῖς τούτων μέρεσι, χρωμένη, ξυμφώνως ἅπασι τοῖς τῆς φύσεως ϗ τοῦ μηχανισμοῦ, τῶν πάντῃ ἀποδεδειγμένων, νόμοις.

## Ὑποκείμενα τῆς Φυσικῆς, τρία.

Τριῶν ὄντων τῶν ταύτης ὑποκειμένων, τοῦ σώματος, τοῦ διαστήματος, ἤτοι τοῦ κενοῦ, ϗ τῆς κινήσεως, ἅπαν, ὃ τῇ χειρὶ ἁπτόμεθα, ϗ ὅπερ ἀνθίσασίν τινα πιεζόμενον προβάλλεται, τοῦτο σῶμα καλοῦμεν· διάστημα δὲ, ἤτοι κενὸν, ἅπασαν ταύτην τὴν τοῦ παντὸς ἔκτασιν, ἐν ᾗ ἀκωλύτως κινεῖται τὰ σώματα· κίνησιν τέλος, τὴν ἀφ' ἑνὸς ἐφ' ἕτερόν τι τῶν τοῦ διαστήματος μερῶν μετάθεσιν.

## Ὠφέλεια ταύτης.

Α' τοῦ ἐκπληκτικοῦ ϗ ματαίου θάμβους ἐκ τῶν κοινῇ φαινομένων ἀπαλλάττουσα τὸν φυσικευόμενον, ἡ φυσικὴ, τούτῳ ταῦθ' ἑρμηνεύει σημειοῦσα· οὐ γὰρ τοῖς γινωσκομένοις ἐξιστάμεθα, ἀλλὰ τοῖς ἀγνοουμένοις τε ϗ καινοῖς δοκοῦσιν, ὅσα οὔτ' ἀκηκόαμεν, οὔθ' ἑωράκαμεν, τὴν μετὰ τῶν ἐγνωσμένων σχέσιν τούτων ἀγνοοῦντες· ὁ δ' αὐτὴν γ' ἐξεπιστάμενος, τὸν τῶν καινῶν φαινομένων σύνδεσμον μετὰ τῶν γινωσκομένων ἀνευρίσκει, τ' αὐτῶν θάμβει μηδόλως συνεχόμενος, ὡ ϗ

τῶν ὐδ᾽ ἄκρω, ᾗ φασὶ, δακτύλῳ ταύτης γευσαμένων ὕτος διενήνοχε.

Β. τῦ δέυς, ὅ τῇ τῶν ἀνθρώπων καρδίῃ ἐμβάλλει κοινῇ τὸ κεραυνοβολεῖν, εἰδότα, ὡς τῶν φυσικῶν ἀποτελεσμάτων ὐδὲν ἄλλο τῦτόγε, εἰ μὴ ὁ τῶν ἐν νεφέλαις ἠλεκτρισμῶν κρότος, καὶ σπανιάκις κεραυνοβολύμενον τὸν ἄνθρωπον· μεγίςης γὰρ ϗ πολυάνδρυ ὔσης τῆς λειψίδης, ἐν ὅλῳ αἰῶνι εἷς ϗ μόνος κεκεράυνωται.

Γ. κἂν ὐκ εὐαρίθμων κομητῶν, ὅσοι κατ᾽ ὐρανὸν χαίτης μεγίςης φαινόμενοι, τὺς πολλοὺς τῶν θεατῶν ἐκθαμβῦσι, τὴν αἰτίαν ἀγνοῇ, ϗ ὔτοι τῦτον ὐδαμῶς ἐκπλήττυσιν· οἶδε γὰρ, ὡς ὑφιςάμενοι ἀεὶ, τοῖς τακτῷ χρόνῳ τὰς αὐτῶν κυκλοφορίας διανύκσι ϗ κακὸν ὐδὲν προμαντευομένοις, πλανήταις ὅμοιοι· τὐμπαλιν δ᾽ ὁ φυσικῆς ἄπειρος, τῇ τύτων ὄψει ταραττόμενος, σημεῖα ξυμβάντων ἀτόπων, οἷον, λοιμῦ, πολέμυ, διὰ τύτων προμηνύειν ἄρχεται, οἷα ὐράνιον μάςιγα, τύτυς θεωρῶν, τὴν τῶν ἡγεμόνων κεφαλὴν ἀπειλῦσαν· οἱ πλεῖςς δὲ τὸ κοινὸν ταῖς ἰδέαις ταύταις ἐμβάλλειν σπεύδυσιν, ἵνα διὰ τύτων τοῖς αὐτῷ καθήκυσιν ἐμμένῃ.

Δ. Ταῖς τῶν ἐθνῶν δεισιδαιμονίαις μὴ πείθεσθαι, διδάσκυσα, ϗ ἅπανθ᾽, ὅσα ταῖς ἡμετέραις ζητήσεσι παρίςαται, ὡς ἀληθῆ, μὴ δεῖν ἀποδέχεσθαι, ἢ τὰ τῇ ἀκριβεῖ ἐξετάσει ὑποκείμενα, ϗ τῷ ὑγιεῖ μὴ ἀντιβαίνοντα λόγῳ· πεντάποδα μὲν ἵππον, τρίποδα δ᾽ ὀρνιθίδια, κυϊντιλλίυ μινυγίυ ἀτεχνῶς θεάσασθαι γράψαντος,

ϗ

καὶ πρὸς τοῖς τέρασι τοῖσδε γράμματ' ἐκ Μακεδονίας δεξαμένȣ τȣ῀ ὑπάτȣ σȣλπικίȣ, κἀν τοῖς ἄλλοις δηλȣ῀ντα, ὡς τῇ τῆς μεγίστης νηὸς πρύμνῃ ἐβλάστησε δάφνη, ȣ῾ τὰς τυχȣ́σας θυσίας τοῖς θεοῖς περὶ τῶν πρώτων, τȣ̀ς ὑπάτȣς θύειν ἐψηφίσατο τὸ βȣλευτήριον· σαλέντων δὲ τȣ́τω, περὶ τȣ῀ ὑστάτȣ, τῶν οἰωνισμῶν, κατὰ τὴν τȣ́των ἀπάντησιν, ἑορτάς τε καὶ θυσίας παντὶ βωμῷ ἐτάξατο.

Ε. προδήλως ἔτι ταύτῃ διακρίνομεν τὰ θαύματα, οἷς ἔσθ' ὅτ' ἀρέσκεται ὁ τῆς φύσεως δημιȣργὸς, τȣ̀ς ταύτης νόμȣς, καὶ τὴν τῶν σωμάτων πρὸς ἄλληλα ἐνέργειαν, καὶ πρὸς, τὰ, ὅσαγ' ἐν τοιᾷδε, ἢ τοιᾷδε περιστάσει, χρὴ ξυμβαίνειν, ἀποτελέσματα διδασκȣ́σῃ· ἐντεῦθεν ȣ῏σας τῆς αὐτῆς περιστάσεως διαφόρȣς τῶν ὁρμῶν, κȣ̓δὲ ταῖς τῶν αἰτιῶν δευτέραις δυναμένας παράγεσθαι, καὶ τοῖς τῆς φύσεως νόμοις ἀντικειμένας, δυνατὸν ἤδη ταύτας, οἷα θαύματ', ἀποδέχεσθαι· αἱμοῤῥοίᾳ πάσχȣσα, φέρε, γυνὴ, τȣ῀ μὲν περὶ τὸ ἰατρὸν κρασπέδȣ ἁπτομένη, ȣ̓θεραπεύεται, τȣ῀ δ' ἀμφὶ τὸν ἰησȣ῀ν, καὶ μάλ' ὑγειὴς ἐγένετο· πίπτουσα ὁ δοιπόρȣ σκιὰ ἐπ' ἀσθενȣ῀ντι, τȣ́τω τὴν ῥῶσιν ȣ̓χαρίζεται· τί γὰρ ταύτης ἀποτέλεσμα, στερήσεως φωτὸς ȣ῎σης; παράγειν δὲ τὴν τ' ἀποστόλȣ σκιὰν τοιὸν δ' ἀποτέλεσμα, ἄντικρυ θαῦμα· πραξ. ἀποσ. κεφ. ς. κατασκεδαζομένȣ τῆς γῆς ὕδατος, ὑγρὰ μόνον ἦδε γίνεται, μεταβάλλοντος δ' εἰς αἷμα τȣ́τȣ, εἶτα δ' αὖ φθειρομένου, καὶ δυσώδη ὀδμὴν, οἷα τῷ ἐκκενȣμένῳ καὶ τ' ἀέρι ἐκτιθεμένῳ ξυμβαίνει, κτωμένȣ, θαῦμα· δῆλον γὰρ, ὡς ὄντως τȣ῀ τῷ ζῶντι σώματι ἐγκατασ-

κευαζομένε αἵματος, ῥευςὲ, ἐπιποίητον κατασκευάζειν τ' ἡ ἀνθρώπε τέχνη ἀμηχανεῖ. ἔξοδ. κεφ. α. ςοιχ. 9.

ς. ἀναμφιβόλλες ἀποδείξεις τῆς θείης ὑπάρξεως ποριζόμεθα διὰ ταύτης.

Ζ. λογιζόμενοι τὸ πᾶν, ϗ τῦτο μὲν ἐξ ἀτόμων, ἄλληλα διαδεχομένων, συγκείμενον ὁρῶντες, ἐξωτερικὴν δὲ τὴν τῆς τῦτων διαδοχῆς αἰτίαν, συνάγομεν ἐντεῦθεν, ὡς ἐκ τὸς των, ἄγε μέρη τῦτε, διαφόρων ἀτόμων, ἀνάγκη τῦτων διακεκριμένον ὄν τι ὑφίςασθαι, τῆς αὐτῶν διαδοχῆς πρώτην αἰτίαν, ϗ παντοδύναμον, ἢ θεὸς καλεῖται, πάντων ἀρχὴ ὖσα· δημιεργήσασα τὸν κόσμον ἤδε, συνεχῶς τῇ τῦτε συντηρήσει ἐγρηγορεῖ, ἵνα μὴ ἐπὶ τὸ, ἐξ ὖ παρῆκται, μηδὲν, τῶν μερῶν τι τῦτων ἐπανήκῃ· ταύτῃ ϗ τῶν, ἀγινώσκομεν, εἰδῶν ἀπολλύμενον ὐδὲν ὁρῶμεν· ὡς τοῖς μὲν θήρᾳ ζῶσι τὸ πολύγονον ὐκ ἐδωρεῖτο, τοῖς δὲ, παρὰ ταῦτα, ὅσα τροφὴ τοῖς πρώτοις, ἄφθονον ἐπεδαψιλεύσατο τῦτο· ὕτω τῆς τῶν ἀυτῦ ποιημάτων συντηρήσεως προνοεῖ ὁ τῆς φύσεως δημιεργός.

Η. τὸ τῦ θεῦ παντοδύναμον κρεῖττον φιλοσόφε γινώσκει ὐδεὶς· ὡς γὰρ ἐκεῖνος τ' ἄπειρον διάςημα ἐδημιέργησε, ϗ παρὰ τῦτο, τὴν γῆν, ϗ ἅπανθ', (ὅσα ἐν αὐτῇ, ὖσῃ σφαιροειδεῖ, ἧς ἡ τῦ μεγέθυς ἀκτὶς, = 3269297 πήχεσι, μέτρῳ γαλικῷ, οἷα ποτ' ἂν δοκῇ μεγέθυς, σωμάτιόν τι μόνον, αὐτῇ), ἐκ τῦ μηδενὸς παρήγαγεν, ὗτος μόνος διδάσκει· παρὰ ταύτην δὲ,

τῶν

τῶν πλανητῶν οἴδαμεν ἓξ, ὧν ὁ κρόνος, 3000 μείζων, ἢ ἥδε, ὁ ζεὺς, 8000, ὁ ἥλιος, 1000000. τῶν ἀπλανῶν ἀςέρων, οἳ ἐδ᾽ εὐάριθμοι, ὡς πλεῖςοι τε ἡλίε, ἢ ἔτος τῆς γῆς, τῷ μεγέθει ὑπερέχοντες· ἐν τῇ τῶν ἐρανῶν ἀμετρίᾳ πλείες τῶν κομητῶν τάξιν περὶ τὸν ἥλιον, ἣν οἱ ἀμφὶ τετὸν πλανῆται, ἔχοντες· ἐφ᾽ ἔτω μεγίςῳ διαςήματι τῆς γῆς, οἱ τῶν ἀςέρων ἀπλανεῖς τέθεινται, ὡς ἐν ἐτῶν μιλλιῶνι σφαίραν πυροβολικὴν τετο δεανύειν· ἅπαντα καὶ ἡ τετων τάξις τῆς θείας παντοδυναμίας ἀσφαλεςάτη ἀπόδειξις.

Θ. τὸ πάνσοφον, ὃ μόνῳ τῷ πνευματικῷ ὄντι ἀνῆκον, διὰ τῆς ἐν τῷ παντὶ κρατέσης οἰκονομίας καταςράπτει· ἐν τετω περιττὸν ἐδὲν, κἂν τῷ τε ποιητε ἔργω λοιπὸν ἐδενὸς ἐπιθυμεῖν· ἕκαςον τῶν τετε μερῶν ἀλλήλοις βοηθεντα, παναρμονίῳ τάξει διατέτττακται· οἱ πλανῆται, φέρε, καὶ οἱ κομῆται, ἐν τῷ τῶν ἐρανῶν χανεῖ τὰς αὐτῶν κυκλοφορίας περαίνεσιν, ἀλλήλοις μὴ συναντῶντες, κεδ᾽ ἀλλήλες κωλύοντες· ἐ ζημιουσῶν ἀλλήλας τῶν ἐν τετοις κινήσεων, ἐδὲ τῆς πρὸς ἀλλήλας τάσεως τῇ αὐτῶν κινήσει ἀντικειμένης, τὰς αὐτῶν περὶ τὸν ἥλιον περιόδες ἀπλεςατα καὶ δυνατῇ ἐλαχίςῃ κινήσει ἔτοι τελεσι.

Ιο, τὸ τετε πανάγαθον ἐκ τῶν αὐτε ποιημάτων, ὧν ἐδὲν ἀναγκαῖον, ἐδὲ μᾶλλον εὐδαίμονα, ἢ τέλειον, αὐτὸν καθίςησι, παρίςαται· τὴν ἄρ ὕπαρξιν ἡμῖν, ἢ καὶ τοῖς, ὅσα περὶ ἡμᾶς, τῇ αὐτε ἀπείρῳ ἀγαθότητι ἐχαρίσατο· τὸν ἀνθρώπων δημιεργήσας, τετῳ τὰς αὐτε χάριτας ἐξεκένωσε, διανοίᾳ τετον κατακοσμήσας, τὴν

τῦ συλλογίζεσθαι δύναμιν, ἣ ἄχρι κ᾽ αὐτῦ αἴρεται, ὅπως τὰς πλείους τῶν τούτου τελειοτήτων γινώσκων, διακρίνῃ, αὐτῷ παρέσχε· παρὰ τὰς τῶν ὠφελειῶν μεγίστας ταύτας, τὴν ἐπὶ παντὶ ζώων εἴδει αὐτοκρατωρίαν, κ᾽ τὴν ἁπάντων τῶν αὐξητικῶν κ᾽ ὀρυκτῶν διάθεσιν αὐτῷ ἀφῆκεν· οἱ τῶν νόμων ἁπλοῖ κ᾽ ἄτρεπτοι, οἷς ἅπανθ᾽, ὅσα ἐποίησε, συντηρεῖ, τὰ τῦ Ἰησῦ χριςῦ προνόμια, ἅπερ ὁδὸν ἀσφαλῆ τῷ ἁμαρτάνοντι ἐπὶ τὴν αἰώνιον εὐδαιμονίαν, ἤνεωξε, τοσαῦτ᾽ ἐπιδόσεις, περὶ τῆς τῦτ᾽ εὐτυχίας, αὐτὸν εἰς αἴσθησιν ἄγειν ὀφείλουσιν, ὡς τῆς τῦ θεῦ ἀγαθότητος κ᾽ μεγαλοδωρίας ὐδὲν δυνατὸν ὑπερέχειν. κ᾽ περὶ μὲν φυσικῆς τοσαῦτα· ἐπεὶ δ᾽ ἔνθα μὴ δυνατὴ περαιτέρω ἤδε χωρεῖν, ἐκεῖθεν ἄρχεται ἡ μεταφυσικὴ, ἐχόμενον ἂν εἴη κ᾽ περὶ ταύτης βραχέα λέγειν.

## Ὁρισμὸς τῆς μεταφυσικῆς.

Μεταφυσική ἐςιν, ἡ τῦ ὄντος κ᾽ τῶν τύτου ἰδιοτήτων ἐπιςήμη, ἐν γένει.

## Ἀρχὴ ταύτης.

Ἐπεὶ ἀρχὴν αὐτῶν εἶναι τὰς αἰσθήσεις ἅπασαι ἡμῶν αἱ ἔννοιαι, ἐχρῆν τὰ τῶν ὄντων αἰσθητὰ, τὰ τῶν σωμάτων ἡμᾶς περικυκλῦντα, τὸ τῦ ὑλικῦ κόσμου θέατρον, τῆς τ᾽ ἀνθρώπου περιεργείας τὰ πρῶθ᾽ ὑπάρχειν ὑποκείμενα· τοῖς ἀτόμοις δὴ, ἤτοι τοῖς τῶν πραγμάτων εἰδικοῖς ἑαυτὴν πρῶτον αὕτη γυμνάσασα, εἶτα δὲ πρὸς ἄλληλα ταῦτα παρατιθεῖσα, κ᾽ τὰς αὐτῶν δια-

φο-

φορὰς, τὰς σχέσεις, τὰς μεταβολὰς, αἷς ὑπόκεινται, σημειώσασα, μετὰ πάνυ πλείςην τῶν παρατηρήσεων συναγωγὴν, ταύτας ξυνδεῖν ἀλλήλας ἐπειράσατο, ἐπὶ τὰς ἀναλογίας, ὑποθέσεις, τὰ τῆς καθόλε θεωρίας σήμεῖα παραγεγονυία. παχυλωτέρα τοίνυν ἔτω κατ᾽ ἀρχὰς ἔσα ἡ φυσικὴ, βαθμηδὸν ἐπὶ τὸ τέλειον ἐπέδωκεν, ἅπαντα τὰ φαινόμενα, ὧν τὸ, τε διάςημα ϗ ὁ χρόνος, πλήρη, ἑαυτῇ ὑποτάξασα· τῷ δὲ τῆς φύσεως ἀμέτρῳ θεμελίῳ πονᾶσα, ἀνεξάντλητος, οἷαπερ αὐτη, ἐγένετο.

Τὰ τῶν σημείων ὑψηλότερα, ἐφ᾽ ἅτῇ τῶν φυσικῶν αἰτιῶν ἐρεύνῃ δυνατὸν ἀνιέναι, ἧθ᾽ ὕλη ϗ ἡ κίνησις πεφύκασι· τίδαι, ἡ ὕλη ϗ ἡ κίνησις; ἐνταῦθα καινή τις θεωρίας σκηνὴ ἀνοίγεται, ἔ τὰ ὁρώμενα, ἔδὲ τὰ ἁπτόμενα, ὧν ἐμετρεῖτο τὸ μέγεθος, ὡρίζετο δὲ τὸ σχῆμα, ϗ ἡ ταχύτης ἐλογίζετο, ἀλλὰ τ᾽ ἄτομα, τὰ ςοιχεῖα, τὰ τῶν ὄντων ἁπλᾶ, αἱ δυνάμεις, αἱ παραςάσεις, ἔτος, ὁ καθ᾽ ὑπεροχὴν κόσμος, τῶν νόμων, ὅσοι τὴν ὑψηλὴν ἀκρίβειαν τῶν τῆς φυσικῆς νόμων συγκροτᾶσι, καινοῖς διοικέμενος· ὡδ᾽ ἑαυτὰς ϗ ταῦτα ἐν τῷ παντὶ κινητᾶ θεάτρε πρῶτα ἐλατήρια ἀποκρύπτεσιν αἱ μηχαναί.

Ἀλλὰ θᾶττον, ἢ βράδιον, ἐφ᾽ αὐτὸν ἔδει τὰς θεωρίας ταύτας ἐπανάγειν τὸν θεατήν· ἔςιν, ὅτε ξὺν θάμβει πρὸς αὐτὸν ἔτος ἔφη, τίς ποτ᾽ ἄρ ἐγὼ, ὃς ὅ,τι ποτε τ᾽ ἄλλα τῶν ὄντων εἰδέναι ταλαιπωρῶ ἐμαυτόν; τίς, ἡ ἔμψυχος ὀθόνη αὐτη, ἐν ᾗ τὰ αὐτῆς θαύματα διαγράψασα ἡ φύσις, ἔτω πολυειδῶς ἐπὶ τὰς πίνα-

κας

κας τ8σδ' ἀντενεργεῖ; ἐς τὴν τ8 ἰδίȣ εἶναι ἄβυσον ἤδη καταβὰς, τῇ τῶν αὐτ8 δυνάμεων ἀναλύσει ἐγκύψει, τὴν αὐτ8 ἰδίαν φύσιν ἐκμελετήσων· οἷον, τὸ τῶν ὑποκειμένων πλῆθος, παρὰ τὴν ἐν τ8τοις ἁπλότητα; ἀντιλήψεις, ἰδέαι, μνῆμαι, ἀνακυκλίσεις, ἡδοναὶ, β8λαι, λόγοι, εὔνοιαι, ἀρέσκειαι ϗ πόνοι· πρὸς τ8των ϗ ἔτι πλειόνων ἡμεῖς περιβαλλόμεθα· αὐτοὶ ἡμεῖς ἀεὶ, ἀλλ' ὑπ' ὄψεις ἐπ' ἄπειρον πολλαπλᾶς· τίνι μηχανισμῷ, ἢ μαγείᾳ, ὁ μὲν ν8ς τῇ ἐκτάσει, ἡ δὲ β8λησις τῇ κινήσει ἑν8ται; ὅπως τὸν τοῦ ἐμαυτ8 εἶναι θεμέλιον, ὅσῳ ὑπὸ τοσαῦτα τῶν εἰδῶν μεταβάλλει, διακρινῶ; τίδαί; ϗ ὅθεν ὅτος; γενήσεται δὲ, τί; ὁμολογητέον, ὡς τῶν προβλημάτων περιεργότερόν τε ϗ δυσχερέςερόν τι πεφύκαμεν.

Τῇ τῶν πνευμάτων ϗ σωμάτων κοινῇ ἀρχῇ τὸν ν8ν προσέχοντες, ἐπὶ τὴν ἀνωτάτω αἰτίαν, τ' ἄπειρον ὂν, τὸ αἰώνιον, τ' ἀνεξάρτητον, τὴν τῶν νοερῶν πνευμάτων πηγὴν, τὸ πρῶτον κιν8ν τὴν ὕλην αἰρόμεθα.

Τι·τὰ κατηγορ8μενα ταῦτα; τίνα πρὸς τὸν κόσμον ἔχει τὴν σχέσιν; ἐλπίζειν, ἢ δεδιέναι χρή; ζητήματα, ἃ τὸ ἐν ἡμῖν πνεῦμα, προμετείᾳ ἴσως, κατανοεῖν ϗ λύειν ῥίπτει τ8ς κύβ8ς.

Ἀλλ' ὅπως ἀτεχνῶς ἄχρι τ8των ἀφίκετο; ἐπὶ τὰ ἴχνη ταῦτ' ἐπανιὸν, ὁρᾷ, ὡς συνεχῶς τῇ αὐτ8 ἀσθενείᾳ παλαίειν ἔσχε. τ8 τῆς τ8τ8 δεκτικότητος ςεν8 μὴ συγχωρ8ντος ἐπέχειν, ἢ ἀσπάζεσθαι, ὑπέρ τινας τῶν ἰδεῶν, ταύτῃ λοι-

πὸν

πὸν καταφύγιον ὐδὲν, ἢ τὰς αὐτῦ ἰδέας διατάττειν ἐς κλάσεις, τύτων ἑκάςῃ σημεῖον, ῷ ταύτην τῶν ἄλλων διαγινώσκει, ἐπιτιθεμένην, καὶ ἑνὶ λόγω, τά τε γένη καὶ εἴδη, ἀσθενῆ μὲν, ὠφέλιμα, δὲ, τῶν ἡμετέρων ἐννοιῶν κατασκευάζειν ἐναύσματα· ἐξ ἄρα τῶν ἀφαιρέσεων τῶν δε, ὅσαι μόνω τῷ τῶν σωμάτων βεβήκασιν, εἰδικὴν συνεκρότησεν ἐπιςήμην, τά τε ςοιχεῖα ἑαυτῇ ἐμπεριέχυσαν, καὶ τὴν ἁπάσης ὕλης ἐπιςήμην.

## Διαίρεσις ταύτης.

Ἐντεῦθεν καὶ πρώτη κέκλητ' ἐπιςήμη, εἰ καὶ μεθ' ἁπάσας κατεσκεύαςαι· ἐπ' ἀριςοτέλυς ἔτι ζητυμένη, ἥν, εἴγ' ἐπιςήμη τυγχάνει ὖσα. ἀνατιθεμένων ταύτῃ τῶν ἐνταῖς σχολαῖς φιλοσόφων τὸ τῆς μεταφυσικῆς ὄνομα, τῇ τύτων ἀποδεχθείσῃ χρήσει ὧδ' ἑψόμεθα· ἀρχομένης, καθὰ εἴρηται, τῆς μεταφυσικῆς, ἔνθα τὰ τῆς φυσικῆς λέγει, ἐκείνης μέρη, τὸ ὀντολογικὸν, τὸ κοσμολογικὸν, τὸ ψυχολογικὸν, καὶ τὸ μεταφυσικοθεολογικὸν.

## Ὑποκείμενον αὐτῆς.

Ταύτῃ ἀνῆκον ἐλόγιον ὐδὲν, ἢ λέγειν, ὡς τῶν ἐπιςημῶν ἁπασῶν ὑψηλοτάτη, μᾶλλον ὑπερέχυσα, καὶ ἀναγκαιοτάτη· τίνα δὲ τὰ, οἷς ἀσχολεῖται, ὑποκείμενα; εὐγενέςατά τε καὶ μέγιςα· τὸ ταῖς ζητήσεσιν ἀξιώτερον τύτων, καὶ ὡς ἐγγυτάθ' ἡμῶν ἁπτόμενον, ὁ τῶν πνευμάτων κόσμος, τὸ ἡμῶν αὐτῶν τί ἦν εἶναι, τὸ ὑπέρτατον ὄν, αἱ τῶν πραγμάτων ἀρχαὶ, καὶ αἱ τῶν

ἡμε-

ἡμετέρων ἐννοιῶν ῥίζαι· ἀνελίττοντες δὲ τὸ τῶν ἐν ἡμῖν ἐννοιῶν τέλος, ὀψόμεθ' αὐτίκα, ὡς ἡ τ' ἀνθρώπȣ ἀληθὴς σπȣδὴ, αὐτὸς ȣ̂τος ὑπάρχει ὁ ἄνθρωπος, ȣ̓ τοῖς ἄλλοις ὲ μετὸν, ἢ παῦ ὅσον ἐπὶ τὸ πάνυ μέγα τȣ̂το τέλος ταῦτ' ἀνάγεται· ἡ μὲν Ψυχολογία, ὅπως ἡμᾶς αὐτοὺς γινώσκωμεν. ἢ γȣ̂ν ζητῶμεν, διδάσκει· ἡ δ' ἠθικὴ πρὸς ἅπασαν μικρȣ̂ δεῖν τὴν μεταφυσικὴν εἰδικῶς ἀφορᾷ· ἀλλ' ἔςι χρῆσθαί τινα τοῖς αὐτȣ̂ φωσὶ ϗ ῥοπαῖς κρεῖττον, ἢ, ἐφ' ὅ, τι φέρει τὰ τῶν καθηκόντων προσάπτοντα ἡμᾶς τῷ θείῳ, τοῖς ἡμῖν ὁμοίοις, τῷ παντὶ ϗ ἡμῖν αὐτοῖς, ἐξετάζοντα; παροίκοις ϗ ξένοις ȣ̂σι παρ' ἡμῖν αὐτοῖς, τȣ̀ς ȣ̓ρανȣ̀ς καταμετρεῖν, ϗ αὐτάς γε σταθμᾶν τὰς ἀβύσσȣς, ὅ, τι ποτ' ἂν ξυμφέρῃ;

Ἀλλὰ καθ' αὑτὰς αὗται αὐταὶ αἱ ἔννοιαι, τῆς μεταφυσικῆς ἤρτηνται· μετ' ἀριςοτέλη ἄχρι λεϊβνιτίȣ, ἅπαντες οἱ τῶν ἀνδρῶν μέγιςοι διέγνων, ὡς τὰς αὐτῆς δαιμονίȣς ἐπιῤῥοίας ἤδ' ἁπασῶν τῶν ἐπιςημῶν καταχέȣσα, ταύταις ἀληθεῖς ἀρχὰς, ὀρθὰς ἐννοίας, θεωρίας ὑγιεῖς καὶ τῶν μεθόδων ἀψευδεῖς παρέχεται, ἧς ἄνευ, εἰ στερεὰν ϗ βαθεῖαν ἔχειν τὴν γνῶσιν οἴονται αὐται, σφᾶς αὐτὰς ἐξαπατῶσιν.

## Ὀντολογία, λογικὴ ϗ μεταφυσική.

Ὀντολογία ἐςὶν, ἐπιςήμη τȣ̂ ὄντος, ᾗ ὄντος, θεωρȣμένȣ, ἅπασι τοῖς τῆς φιλοσοφίας ἄλλοις μέρεσι, ϗ ταῦτάγε ταῖς ἐπιςήμαις πάσαις τὰς ἀρχὰς χορηγȣ̂σα.

Λι-

Λέξεων ἐπιςήμη μόνον ὖσα σὸ πάλαι, τοῖς καθ᾽ ἡμᾶς φιλοσοφῦσιν ἄλλως ἤδη μεμόρφωται· ἡ γὰρ ὐολφίῳ κυρίως ἐκδοθεῖσα πάσης ἐπιςήμης ὁδὸς, ἡ πρώτη καὶ μόνη ἄχρι νῦν, ἐν ᾗ φιλοσοφικῇ τωὀντι μεθόδῳ ταύτην ὗτος προτίθεται· φιλοσοφικόν τι καὶ τῷ ἀνθρωπείῳ γένει ὠφέλιμον σύςημα συνθήσων ὗτος, μελετῶν, τὸν τῆς σαφηνείας τῶν κατ᾽ εὐκλείδη ἀποδείξεων λόγον ἐκζητήσας. τῆς λογικῆς ἀρτώμενον αὐτὸν ἀνεκάλυψε· τὰ γὰρ αὐτῦ ςοιχεῖα, ἤτοι ὀνομάτων ὁρισμοὶ, παρ᾽ αὐτῶν ἀσαφεῖς, ἢ ἀξιώματα, ὤν. ὀντολογικαὶ προτάσεις, τὰ.πλεῖω.

Ξυνῆκεν ἐντεῦθεν, ὡς ἅπασα ἡ τῶν μαθηματικῶν ἀσφάλεια τὴν αὐτῆς ἀρχὴν γινώσκει τῆς ὀντολογίας· ἐπὶ δὲ τὰ τῆς φιλοσοφίας θεωρήματα διαβὰς, καὶ τὴν τῶν κατηγορȣμένων μετὰ τῶν τȣτοις ὑποκειμένων ξυμφωνίαν δείξας, κατὰ τȣ̀ς αὐτῶν νομίμȣς προσδιορισμȣ̀ς, ἵνα τῇ τῶν ἀποδείξεων ἐπαναλήψει ἐπὶ τὰς ἀναποδείκτȣς ἀρχὰς ἐπανήκῃ, κατενόησεν ὁμοίως, ὡς ἅπαν εἶδος, ἀληθείας ταῖς μαθηματικαῖς ταυτȣ̃ται, ἤτοι ταῖς τῶν ἐννοιῶν ὀντολογικαῖς ἀνήκει· ἐντεῦθεν δῆλον, ὡς τῇ φιλοσοφίᾳ καὶ ταῖς ἐθ᾽ ὑπερτέραις καλȣμέναις τῶν ἕξεων ἀσφαλῶς καὶ ὠφελίμως ταύταις ἄλλως χρῆσθαι ἀδύνατον, ὅ,τι μὴ τοῖς τῆς ἐπιςημονικῆς μεθόδȣ κανόσιν ὑποταγείσης τῆς ὀντολογίας. τὴν ὠφελιμωτάτην χάριν ταῖς ἐπιςήμαις προθέμενος ὁ ȣ̓όλφιος, ταύτην ἡμῖν καὶ πράγματι ἀπέδοτο ὑπὸ τȣ̓́νομα, πρώτη φιλοσοφία, εἴτ᾽ ȣ̓̃ν ὀντολογία, ἐπιςημονικῇ χρωμένη μεθόδῳ. ᾗπερ ἅπασ᾽ αἱ τῆς ἀνθρωπείȣ γνώσεως ἀρχαὶ ἐμπεριέχονται· ὗτος, τοὶ

σύ-

ςὲτω τȣ̃ ὄντος, ἐν γένει, ὅσῳ ϗ τῶν τȣ́τῳ προσόντων, εἴτ' ȣ̓̃ν κατηγορȣμένων, εἴϑ' ἁπλῶς, ᾗ ὄντος, ϑεωρȣμένȣ, εἴτε ϗ σχετικῶς πρὸς τὰ ὄντα, διακεκριμένας ἐννοίας παρέχεται. ἀναγκαῖαι αὖϑις αἱ ἔννοιαι αὗται πρὸς κατασκευὴν ὡρισμένων προτάσεων, ὅσαι μόναι ὠφέλιμοι τῷ τε συλλογισμῷ ϗ τῇ κατασκευῇ τῶν ἀποδείξεων, ἐν αἷς γε ἄλλας, ἢ τὰς πάντῃ ἀποδεδειγμένας τῶν ἀρχῶν εἰσάγειν χρὴ ȣ̓δέποτε.

## Κοσμολογία, ἤτοι καϑόλȣ Φυσική.

Κοσμολογία, κατὰ γράμμα, ἐπιςήμη, περὶ κόσμȣ διαλεγομένη, εἴτ' ȣ̓̃ν ἡ συλλογίζεται περὶ τȣ̃, ὅγ' οἰκȣ̃μεν, παντὸς, τοιȣ́τȣ δὲ, οἷον ὑφέςηκε πράγματι, τῆς κοσμογραφίας ϗ κοσμογονίας ταύτῃ μόνον διαφέρȣσα.

Ἰδίως ἄρα γενικὴ ϗ καϑόλȣ φυσική τις, ἡ κοσμολογία, ἥ, τὰ πάνυ περιςατικὰ τῶν γινομένων μὴ ἀκριβολογȣ̃σι, τ' αὐτῶν τȣ́των προκύπτοντα μὴ ἐξετάζȣσα μεταφισικῶς, τὴν ἐν αὐτοῖς ἀναλογίαν ϗ συνάφειαν δίδωσιν ὁρᾶν, τῶν νόμων γενικȣ́ς τινας, οἷς τὸ πᾶν διοικεῖται, ἀνακαλύπτειν ἐντεῦϑεν σπεύδȣσα· ὄντα ξυνδεδεμένα ἅπαντ' ἐν τῇ φύσει, οἱονεὶ ἁλύσει ἀλλήλοις συνέχεται, ἧς συνεχῆ ἄττα κατανοȣ̃μεν τῶν μερῶν, εἰ ϗ ἐν ὡς πλείςοις ἡμᾶς ἡ τȣ́των διαπέφευγε συνέχεια· βίᾳ ξυνδεῖν ἀλλήλοις τὰ τῶν μερῶν διεςῶτα, ἵνα τὴν τῶν τόπων, ἐν οἷς αὕτη διέρρηκται, ἅλυσιν ἀτεχνῶς ἀνακαινίζῃ, ᾗ πυκνώτατα ξυμβαίνει, ȣ̓ πρὸς φιλοσόφȣ, (ȣ̓́τω γὰρ ȣ̓δὲν ἀλλ' ȣ̓̃τος ποιεῖ, ἢ τὰ τῶν μερῶν συνε-

χόμενα ἀλλήλων χωρίζειν, ἤτοι πάντη πάντως ἀφιςᾶν αὐτὰ τῶν, ὧν ἤδη ἀφίςατο, πρὸς τȣ̓ναντίον τῷ, ᾧ γε προσάγει ταῦτα, πέρας·), ἀλλὰ τοῖς διαζευχθεῖσι τῶν ἀλύσεων καινὰς παρεμβάλλειν, ἧττον ἀλλήλων ἀφιςάμενα ταῦθ', ὡς οἷόν τε, ἀποκαθιςῶντα· αὐχεῖν γὰρ, ὡς μὴ ἀεὶ ἐν πλείοσι τῶν μερῶν κενὰ διαμένει, ἥκιςα δεῖ. ἵνα τὰς, περὶ ὧν φαμὲν, ἀλύσεις κατασκευάζῃ τις, δυσὶ τισι χρεὼν αὐτὸν προσέχειν, τῇ τε παρασηρήσει τῶν γινομένων, ὅσα τῶν ἀλύσεων καθίςαται, ὕλη, ϗ τοῖς τῆς φύσεως γενικοῖς νόμοις, ὅσοι τὸν τȣ́των δεσμὸν συγκροτȣ̃σι· γενικȣ̀ς ἀποφαίνομαι νόμȣς, τȣ̀ς ἐν πλείοσι τῶν φαινομένων δοκȣ̃ντας παρατηρεῖσθαι· λέγειν γὰρ ἐν ἅπασι πάνυ τι εὐλαβȣ̃μαι· τοιȣ̃τοι δ' οἱ τῆς κινήσεως, ὅσοι τȣ̃ τῶν σωμάτων ἀδιαβάτȣ ἀκολȣθία, ϗ πλειόνων ἀποτελεσμάτων, ὅσα ὁρᾶται ἐν τῇ φύσει, πηγή· αἱ τῶν ἀρχῶν μείζȣς, ἐφ' ἃς ἡ κοσμολογία ςρέφει, τό, τε σχῆμα ϗ ἡ κίνησις. (κίνησιν ἐνταῦθα, τὴν ὠθήσει γινομένην νοῶ). τȣ́των δίχ' ἀνάγκης ȣ̓κ ἀφεκτέον, ἀλλ' ȣ̓δ' αὖ πάνυ τι πειςέον. ὡς αὗται ϗ μόναι· τῆς τῶν γινομένων ἁπάντων γνώσεως ἀπορȣ̃σιν, ὅπως ἂν ἡ βεβαιȣ̃ν, ὡς ἅπαντ' ἐνὶ ϗ μόνῳ τῶν νόμων ἑρμηνευθήσεται; τοσȣ́τῳ προπετεςέρα, ἡ πρότασις ἥδε, ὅσωπερ ἐν τοῖς, οἷς ἐπιςάμεθα, γινομένοις εἰσὶν, ἅπερ ἄχρι ϗ τήμερον ἑρμηνεύειν ȣ̎πω ἔσχον οἱ τῆς ὠθήσεως νόμοι· ἀλλ' ἥξει ποτέ τις ἴσως κἀπὶ ταῦτα· ἡμεῖς δὲ τὴν τȣ́των μεγίςην ἀνακάλυψιν ἀποδεχόμενοι, τῆς τῶν νόμων τȣ́των γενικότητος ἑαυτȣ̀ς αἰωρῶμεν· ἴσως, ὃ ϗ ȣ̓χ ἧττον πιθανὸν, τȣ̓λάχιςον, ἐν τȣ́τοις γενικός τις τῶν νόμων πέφυ-

φυκεν, ὅς ἐςι, ϰ̀ ἀεὶ ἔςαι τῶν ἀγνοȣμένων, ȣ̓ μόνας τὰς εἰδικὰς συνεπείας, ϰ̀ ταύτας ἐσκιασμένας τε ϰ̀ περιορισμένας ὁρῶμεν. συνεπείας, ἃς ἀποκαλεῖν καθόλȣ νόμȣς ȣ̓ παραιτȣ́μεθα, ὡς τῇ, ἣν περὶ μονάδος ϰ̀ ἁπλότητος τῆς φύσεως κατασκευάζομεν, ἰδέα πάνυ ξύμφωνος, ἡ δόξα αὕτη· τȣ͂ λοιπȣ͂ δὲ, εἰ τῆς τȣ͂ ἑαυτῶν πνεύματος ἀσθενείας μνησθῶμεν, μᾶλλον ἐπὶ τοῖς ἀνακαλυφθεῖσι τȣ́τῳ, ἢ τοῖς ἔτ' ἀποῤῥήτοις αὐτῷ ἐκ ςησόμεθα.

Αἴρειν ἡμᾶς τȣ̀ς τῆς φύσεως γενικȣ̀ς νόμους ἐπὶ τὴν τȣ͂ ταύτης καθηγητȣ͂ γνῶσιν, ὅπερ ἡ τȣ́τȣς πήξασα σοφία, τὰ τῇ ἡμῶν αὐτῶν ὠφελείᾳ, ἢ ψυχαγωγίᾳ, ἀναγκαῖα διαγινώσκειν ἀφῆκε, τὰ λοιπὰ λαθȣ͂σα, ὅπως δισάζειν ἡμᾶς διδάσκῃ, τȣ͂τ' αὐτῆς ὠφέλεια, πρώτη· κοσμολογία ἄρα, ἡ τȣ͂ κόσμȣ, ἤτοι τȣ͂ παντὸς, ἐν γένει, θεωρȣμένȣ, ἐπιςήμη, ὅς, εἰ ϰ̀ σύνθετόν τι, τῇ γȣμὴν τῶν αὐτȣ͂ μερῶν συναφείᾳ ϰ̀ ἁρμονίᾳ, ϰ̀ ἁπλȣ͂ν· ὅλον τι, ἐ τὰ τῶν ἐλατηρίων συνδυαζόμενα, ϰ̀ οἷον ἐν παιδιᾷ τιθέμενα διατάττεται, ὑπερτάτῳ νοΐ οἰκονομȣ́μενον.

Α'γνωςον πρὸ τȣ́τȣ ἐνταῖς σχολαῖς τὸ ταύτης ὄνομα, εἴτ' ȣ̓ν ἴδιον σῶμα, ὃ τοιȣ͂τον ἐκαλεῖτο, ἐν τῇ φιλοσοφίᾳ ȣ̓δὲν συνεκρότει· ὡς τῶν μεταφυσικευομένων ταύτης ȣ̓δεὶς δοκεῖ λόγον ποιεῖσθαι· παραδόξων γὰρ περὶ μεταφυσικῆς γραφομένων σωμάτων, κοσμολογίας μνεία ȣ̓ δόλως ἐγίνετο· ȣ̓τος δ' ἡμῖν πραγματείαν ὅλην ἐκδȣ̀ς τέλος ὑπὸ τίτλον, γενικὴ κοσμολογία, ἐπιςημονικῇ χρωμένη μεθόδῳ, ἢ τὴν τῆς ςερεᾶς

γνώ-

γνώσεως ἐν πρώτοις περὶ θεῦτε ϗ φύσεως ὁδὸν καταςρώννυσι, ταύτην, ἐπὶ τῇ ὀντολογίᾳ ἀμέσως ἐξέδοτο, οἷα τῆς αὐτῦ μεταφυσικῆς μέρος δεύτερον· ἀρχὰς γὰρ ἐν αὐτῇ, τῇ φυσικῇ ἀνηκέσας θεολογία, ὡρίσατο, ἵνα τήν τε τοῦ θεῦ ὕπαρξιν ϗ τὰ τῦτω προσόντα διὰ τῆς τοῦ παντὸς συναφείας ϗ τῆς ἐν τῇ φύσει τάξεως ἀποδείξῃ· γενικὴν, ἢ καθ' ὑπεροχὴν κοσμολογίαν ταύτην ὀνομάζει, ὡς ἀφῃρημένην τινα θεολογίαν περιέχϩσαν, ἥ τοιάδε πρὸς τὴν φυσικὴν, οἷα πρὸς τὸ τῆς φιλοσοφίας λοιπὸν, ἡ ὀντολογία.

Αἱ τῆς ἐπιςήμης ταύτης ἰδέαι ἐκ τῆς ὀντολογίας παράγονται· τήν τε γὰρ τῦ πρώτϩ ὄντος ϗ τὴν τῦ συνθέτϩ γενικὴν θεωρίαν τῷ κόσμῳ χρὴ ἁρμόζειν· τῇ δὲ σκέψει ταύτῃ τῦ κόσμϩ ἐκ τῶν προτέρων, τὰ τῶν παρατηρήσεων καὶ τῆς πείρας βοηθήματα προςίθεται, ὡς δυνατὸν λέγειν, διττὴν ὑπάρχειν τὴν κοσμολογίαν, πῇ μὲν ἐπιςημονικὴν, πῇ δ' αὖ πειραματικὴν· ὡς ἀρχὰς τῆς τε περὶ τὴν θείαν ὕπαρξιν ϗ τὰ ταύτης κατηγορϩ́μενα ἀποδείξεως ἑκατέραν τϩ́των παρεχομένην· αἳ, ὅσας ἡ καθόλϩ κοσμολογία περιέχει, ἀρχοειδεῖς ὗλαι ἐπὶ τὸ ἀναπτύσσειν, ὅπως τῦ τῶν ἁπλῶν ϩ̓σιῶν ἀθροίσματος ὁ κόσμος προκύπτει, ϗ τὰς τῆς διαθέσεως τῶν ὑλικῶν πραγμάτων γενικὰς ἀρχὰς ἐξελίττειν, ἐπανάγονται.

Ὧν ὁ τῆς κοσμολογίας καρπὸς, πολυτιμώτατος, ϗ μόνος ἱκανὸς, ἵνα τὴν ταύτης τιμὴν διὰ τϩ́τϩ γινώσκωμεν, καλλιεργεῖν αὐτὸν ἡμᾶς ὑπο-

χρεοῖ, ὡς, παρὰ τοῦτον, ἄλλον προβάλλειν αὐτῆς οὐκ εἰδυίας· δείκνυτ᾽ ἄρα διὰ ταύτης, ὡς ἡ τοῦ ὁρατοῦ κόσμου θεωρία ἐπὶ τὴν τ᾽ ἀοράτου ὄντος, ὁ τούτου ποιητὴς, ἡμᾶς ἄγει· τῇ τῆς ἀνοιγείσης καινῆς ὁδοῦ ταύτης ἀσφαλείᾳ τε ϗ ὠφελείᾳ ἀμέτρως πεισθεὶς ὁ κύριος οὐόλφιος, ὅρα, ὅπως ἑαυτὸν ἐπὶ ταύταις ἀναπτύσσει· ,, αἰνοῦντι τὸν θεὸν, ὁμολογεῖν μοι ἀνάγκη, ὡς τὴν τούτου γνῶσιν ἐπιστημονικῇ μεθόδῳ σπεύσας ἑρμηνεύειν, ὁδὸν ἄλλην, ἧμε ἐπὶ τὴν ἐμαυτοῦ πρόθεσιν ἀφικέσθαι ὁδηγὸς ἄριστος, ἢ ἣν ἡ ἀνὰ χεῖρας πρότασις δείκνυσιν, ἢ φιλόσοφον, ὃς ταύτην κατ᾽ εὐθείαν ἐβάδισεν, οὐχ εὗρον, εἰ ϗ τὴν δόξαν ταύτην νοσφίσκοιντο, ὅσοι καθ᾽ ἡμᾶς ἀποδεικτικὴν μέθοδον ἁρμόζειν τῇ φυσικῇ θεολογίᾳ πάνυ τι ἠπείχθησαν· προλ. §. 6. ἐν τῷ σχολ.

Ὡς μαυπερτούιος ϗ λεϊβνίτιος, ϗ ἄλλοι οὐκ εὐάριθμοι, πραγματείας τῆς κοσμολογίας ἐξέδοντο, ἥκιστά που λέληθέ με. ἁπάντων δὲ τούτων ὧδε τὰς δόξας καταλέγειν, μηκύνειν ἂν εἴη ταύτῃ κἀπὶ τὴν ψυχολογίαν ἰτέον.

## Περὶ μεταφυσικῆς ψυχολογίας.

Τῆς μὲν φιλοσοφίας μέρος, τὸ τῆς ψυχολογίας ὄνομα, διδασκούσης, ὅ,τι δυνατὸν περὶ ψυχῆς ἀνθρώπου γινώσκειν, τῆς δὲ πνευματολογίας, κλόνος, ἧς ὑποκείμενον, ἐν γένει, τὰ πνεύματα, οἷα τοιαῦτα μόνον, ταῦτα θεωρούσης, ϗ τὴν τούτων οὐσιώδη φύσιν, τὰς ποιότητας, τὰς ειδικὰς δυνάμεις, ϗ ἔθ᾽ ὅ,τι ποιεῖν, ἢ πάσχειν, ταῦτα δύναται, ἀνακαλύπτειν ἐκ τῶν ἀ-

πο-

ποτελεσμάτων ἀσχολȣμένης· ϗ ὑπόμεν τὸ τῶν πνευμάτων γένος τȣ̃το, Θεὸς, ἄγγκελος, καὶ αἱ τῶν ἀνθρώπων ψυχαὶ νοȣ̃νται· μόνον δὲ τὸν Θεὸν σκεπτομένων, ὁ τῆς πνευματολογίας κλάνος ȣ̃τος τῇ φυσικῇ Θεολογίᾳ χώραν ἔχει· πάνυ βραχεῖαν τὴν τῶν ἀγγκέλων γνῶσιν ποριζόμενοι, ταύτῃ ϗ περὶ τȣ́των εἰδικῶς διδάσκειν ϗ τῳόντι ἀξίαν ἐπιςήμην κατασκευάζειν, ἥγ᾽ ἐν φιλοσοφίᾳ τάξιν σχήσει, τῆς μεταφυσικῆς κλάνος γενησομένη, ȣ̓κ ἔχομεν, ἀλλ᾽ ἐν τοῖς τῶν αἰώνων παρωχηκόσιν, ὑπὸ τὸ τῆς δαιμονολογίας ὄνομα ἤδ᾽ ἀνεφέρετο· περὶ γὰρ μόνης ψυχῆς διαλεγόμενοι, τῇ τῶν ἐπὶ τȣ̃ ὑποκειμένȣ τȣ̃δε γεγονυιῶν ἀνακαλύψεων συναγωγῇ, τὸ τῆς ψυχολογίας, εἴτ᾽ ȣ̓̃ν τὸ τῆς τῶν ψυχῶν ἐπιςήμης ὄνομα ταύτῃ ἐδωρȣ̃ντο·

Κατανοεῖν οἷόν τε τῷ προσέχοντι ὀρθῶς, ὡς τὸ τῆς πνευματολογίας πρῶτον ἐγνωσμένον μέρος, ἡ ψυχολογία, ἧς ἄνευ εἴη ἂν ἄγνωςα, τὰ ταύτης λοιπά.

Δυοῖν ὄντων τῶν μέσων, οἷς τὰς αὐτῶν ἀρχοειδεῖς ἰδέας ποριζόμεθα, τὸ μὲν, αἱ αἰσθήσεις, αἷς τὰ τῶν ἀντικειμένων σωματικὰ γινώσκομεν, τὸ δὲ, ἡ μετὰ προσοχῆς σκέψις, ἣ τὴν ἡμῶν αὐτῶν γνῶσιν, τὴν τῆς ἡμῶν διανοίας, τὴν τῶν δυνάμεων ϗ ποιοτήτων, τὴν τῆς ψυχῆς, τὴν τῆς ἐν αὐτῇ καταςάσεως ϗ τῶν ταύτης πνευματικῶν ἐνεργειῶν ἡμῖν δίδωσιν, ὡς μόνον ἐντεῦθεν τὴν τῆς διανοίας, τῆς βȣλήσεως ϗ τῆς δόξης ἰδέαν κτωμένοις· πειρώμενοι δὲ τῶν ἐν ἡμῖν αὐτοῖς, τὰς τῆς ἠθικῆς, τῆς ἀρετῆς ϗ κακίας,

τῶν

τῶν ἠθικῶν τελειοτήτων ϗ ἀτελειοτήτων, τῆς ~~δραστικότητος, τῆς ἐνεργείας~~, ἐκλογῆς, ἐπιστήμης, ἀμαθείας, κτ. ἐννοίας συγκροτοῦμεν· ἀλλὰ ϗ τὰ ἡμῖν αὐτοῖς ἐνόντα, ϗ τὰς διαφόρους ἰδέας, ὅσαπερ ἀναγκαίως διάνοιαν ὑποτίθησι, προσοχῇ μελετῶσι, δυνατὸν ἡμῖν περὶ τῆς τῶν πνευμάτων οὐσίας συλλογίζεσθαι· παρατιθέμενοι τέλος τὰς ἰδέας, ὅσας ἡμῖν αἱ αἰσθήσεις παρέχονται διὰ τῆς ὕλης, ἐν ᾗ οὐδὲν ἴχνος νοῦ θεώμεθα, ταῖς τῇ συνειδήσει ἐκ τῶν ἐν ἡμῖν χορηγουμέναις, κρίνομεν, ὡς ὅ, τι νοεῖ, βούλεται ϗ δοξάζει, οὐχ ὕλη.

Ἐπὶ τῇ ὕλῃ ϗ τοῖς περὶ ἡμᾶς σώμασιν ἐνεργοῦντες, τὰς δ᾽ ἡμῶν αὐτῶν ἐνεργείας ταύτας ἐπὶ τούτοις χαρακτῆρι σημειοῦντες, μετὰ τὴν παράθεσιν τῶν ἐκ προθέσεως ἡμῖν τελουμένων ἐνεργειῶν πρὸς τὰς μὴ τοιαύτας, τὰς ἐσκεμμένῃ βουλήσει διανοίας τινὸς ὀφειλομένας ἐνεργείας τῶν ἐκ τύχης γινομένων διακρίνομεν, ἐκ δὲ τῆς τάξεως ϗ τῆς κατὰ διαδοχὴν μεταβολῆς τοῦ κόσμου τοῦδε τὰ διατάττοντός τε ϗ διοικοῦντος νοῦ τινος ἴχνη ἀνακαλύπτομεν. ἀλλὰ παρατιθέμενα τ᾽ ἀποτελέσματα ταῦτα τοῖς πρὸς ἡμῶν παραγομένοις, τήν τε τῆς ὑπὲρ ἡμᾶς νοερᾶς ταύτης αἰτίας, ϗ τῶν, οἷς αὕτη κεκόσμηται, κατηγορουμένων ὑπεροχὴν δίδωσι κρίνειν· ἐπὶ τὴν θεολογίαν ἄρα πρὸς τῆς ψυχολογίας οὕτως ὁδηγούμεθα.

Ὁρῶσιν ὁμοίως, πάντα φασὶν ἡμῖν, ὡς τοιοῦτοι, οἵδε, οἷοίπερ, ἡμεῖς αὐτοί· γινώσκοντες δ᾽ ἑαυτοὺς, ϗ τ᾽ ἀποτελέσματα, ὅσα γ᾽ αἰτῶν

ἀλ-

ἄλλων ἐνέργειαι παράγεσιν ἐν ἡμῖν, σπεδάζοντες, τίνες τῶν ἡμετέρων ἐνεργειῶν ξυνᾴδειν, ἢ μὴ, ταῖς τῶν ὁμοίων ἡμῖν δύνανται, ἄγεσης ὅτως ἡμᾶς ἐπὶ τὴν ἠθικὴν τῆς ψυχολογίας, ἤδη κρίνειν ἱκανοί· ἢ προσέχοντας μὲν τοῖς ἐν ἡμῖν αὐτοῖς, ὅτε τὰς ἐννοίας πορίζώμεθα, ἢ τ' ἀληθὲς μετὰ σαφηνείας ἀντιλαμβανώμεθα, ἔςι τὰ τῆς ἀμαθείας σκότη ἢ τὰ τῆς ἀπάτης νέφη διασκεδάζειν, τὸ πιθανὸν, τὴν πίςιν, τὴν δόξαν, τὴν ἀμφιβολλίαν ἐν ἡμῖν αὐτοῖς παράγοντας· λογιζομένες δὲ τὰ, οἷς χράμεθα, μέσα, ἵνα τ' ἀποτελέσματα ταῦτα παράγωμεν, τὰς προτάσεις ἢ τὲς κανόνας τῆς λογικῆς, ἃ δίχα ψυχολογίας, εἴη ἂν ἔτι ἐν ἀνακαλύψει, ἅπαντας δυνατὸν ἀνακαλύπτειν· τὴν ἐμαυτᾶ ὁρίζειν ὁδηγίαν, σύςημά τι κατασκευάζειν, τὸν προσδιορισμὸν ἀνακαλύπτειν, τὴν τῆς εὐδαιμονίας ὁδὸν ἐξευρίσκειν, εἰμὴ τὴν ἐμαυτᾶ ψυχὴν, τὰς ταύτης δυνάμεις ἢ ποιότητας, τὸν αὐτῆς σύνδεσμον μετὰ τᾶ σώματος, τὴν τῶν αἰσθήσεων ἢ τῶν ὀργάνων ἐξάρτησιν αὐτῆς, τὴν αὐτῆς κατάςασιν, τὰς σχέσεις ἢ τὸν προσδιορισμὸν, μελέτῃ δυναίμην γινώσκειν, ἐκ ἂν εἰδείην· τὰς τῶν ἀνθρώπων διαφόρες ῥοπὰς ἢ τὰ ἰδιώματα, ὅσα ἐνεργεῖν, ἢ μὴ, ὁρίζειμε, σπεδάζων, ἁπάσας τὰς τῆς τέχνης, τῆς αὐτῶν ὁδηγίας, ἤτοι τὰς τῆς πολιτικῆς, ἀρχὰς ἀνακαλύπτω· ἐνὶ λόγῳ, τίς τῶν ἐπιςημῶν, ἢ τεχνῶν, προσοχῆς ἀξία, ἢ βάσιν, ἢ ὁδηγὸν ἐκ οἶδε τὴν ψυχολογίαν; πρὸς ἑαυτὲς ἅπαντ' ἀναφέροντες, μετὰ τὴν ἐφ' ἡμῖν τέτων ἐπίῤῥοιαν, ἀποδεχόμεθα, ἢ καταψηφιζόμεθα ταῦτα· ἡ ἄρα πρὸς ἡμᾶς σχέσις τέτων, μέτοχα ταῦθ' ἡμῖν ποιεῖ· ἀγνοῦντες γὰρ τὴν φύ-

σιν, τὰς δυνάμεις, τὰς ποιότητας, τὴν κατάστασιν, τὴν σχέσιν ϗ τὸν τῆς ἀνθρωπείου ψυχῆς προσδιορισμὸν, ἐκφωνεῖν, ἀποφαίνεσθαι, ὁρίζειν, ἐκλέγειν, ὑποτίθεσθαι, προαιρεῖσθαι ἀσφαλῶς ϗ δίχ' ἀπάτης, οὐκ ἂν δυναίμεθα· ἡ ἄρα πασῶν τῶν ἐπιστημῶν πρώτη ϗ ὠφελιμωτέρα πηγὴ, ἡ ἀρχὴ, τὸ πάντων θεμέλιον, ὁ ὁδηγος, ὃς ἐφ' ἕκαστον τούτων ἄγει, μόνη ἡ ψυχολογία· πρὸς τρόπου ἄρα ϗ πρώτην ἡμῖν ἐντολὴν παρέσχεν ὁ σοφὸς τὸ, γνῶθι σαυτὸν.

Τὰς αὐτῆς ἀρχὰς ϗ τὰ γινόμενα, οἷς συλλογίζεται, μὴ ἐχούσαν ταύτην ἄλλης, ἤπερ αὐτῆς ἡγεῖται, ἀρύεσθαι, ἐκτὸς τοῦ τῶν καθ' αὐτὴν ζητήσεων ὑποκειμένου, ταῦτα ζητεῖν, οὔτε δεῖ, οὔτε δυνατὸν ἐστὶ. πρὶν, ἢ συλλογίζεσθαι ἄρα, ἀνάγκη ζητεῖν, ὅσαγε ταύτῃ ἀρχαὶ, οὐκ ὄντα κυρίως, ἢ ἅπερ αὐτὴ ἡ τῆς ψυχῆς πεῖρα χορηγεῖ. μελετᾷν αὐτὴν χρὴ τὰ ἐν αὐτῇ τῇ ψυχῇ, ξυνάγουσαν δ' ἁπάσας τὰς παρατηρήσεις, ταύτας λογίζεσθαι· κἀντεῦθεν τὸ τῆς ψυχολογίας πρῶτον μέρος προκύπτει, ὅπερ ἐμπειρικὴν ψυχολογίαν καλοῦσιν οἱ περὶ Ουόλφιον· γνωσθέντων δ' ἅπαξ τῶν γινομένων τούτων, διὰ τῆς, ἣν ποιεῖται, παραθέσεως, ἵνα τὴν ἀρχὴν ἀνακαλύψῃ, ζητεῖ γινώσκειν ὁ ἄνθρωπος. τὶς, ἡ τῆς ψυχῆς οὐσία, τίνες, οἱ κανόνες, οἷς αἱ ταύτης ἐργασίαι ὑπόκεινται, τίνων καινῶν γινομένων δεκτικὴ, τίνα τῶν ἀποτελεσμάτων καινὰ ἀπεκδέχεσθαι, ἐξ ὧν δευτερόν τι προκύπτει μέρος, ὃ λογικὴ καλεῖται ψυχολογία· κἀκείνη βάσις ταύτης, ὡς ἡ πειραματικὴ φυσικὴ τῆς λογικῆς ϗ συστηματικῆς.

Γκα-

Ἱκανῶν ὄντων, ὅσα περὶ μεταφυσικῆς ψυχολογίας μέχρι τοῦδ' εἴρηται, ὥρα ἤδη κἀπὶ τὴν θεολογίαν μεταβαίνειν.

## Περὶ θεολογίας.

Τῷ ὀνόματι, θεολογία, ἡ διδάσκουσα, ἢ γοῦν, ἡ, ἣν χρὴ διδάσκειν, ὅ,τι δυνατὸν γινώσκειν, ϗ ὅ,τι περὶ θεοῦ ἐπίςασθαι ξυμφέρει, ἐπιςήμη δηλοῦται· ὁ μὲν ἀρις. μεταφυσ. βιβ. 6, τὸ τῆς φιλοσοφίας μέρος, ὃ περὶ θεοῦ ϗ τῶν τούτω προσόντων ἑρμηνεύει, θεολογίαν καλεῖ· ὀνομαζόμενοι δὲ θεολόγοι τὸ πάλαι οἱ ποιηταὶ, ὅτι ταῖς αὐτῶν ποιήσεσι περὶ θεῶν ὡς πλεῖςα διηλέγοντο, πολλῷ σοφώτεροι, ἢ κατὰ τὸ κοινὸν, ἐνομίζοντο, ὡς τὴν φύσιν, τὰ ἔργα, καὶ τὴν βούλησιν αὐτῶν ἐπιςάμενοι.

Ὑπαρχούσης ἐν τοῖς πρώτοις αἰῶσιν ἀπλουςάτης τῆς θεολογίας, πιθανὸν, ὡς πάσης ἐπιςημονικῆς δόξης ϗ συςηματικοῦ εἴδους γυμνὴ ὑπῆρχε· τῶν δ' ἁπλῶν προτάσεων τινες, ὅσας, οἷα ἀναμφιβόλλους, ἐθεώρουν, ἅπαν τὸ ταύτης σῶμα συγκροτοῦσαι, τοῖς τῶν ἐδαφίων εὐαρίθμοις τοῖσδε συνεςέλλοντο, εἴτ' οὖν τῇ παντελεί θεοῦ τινος ὑπάρξει, δημιουργοῦ τε ϗ κυρίου τοῦ κόσμου· νομοδότου, ὃς τὴν τῆς ἀρετῆς πρᾶξιν ϗ τὴν τῆς κακίας ἀποςροφὴν ἀπήτει· κριτοῦ, ὃς τοὺς μὲν ἀγαθοὺς ἀμείβει, τοὺς δὲ πονηροὺς κολάζει· ὑποκειμένου τέλος λατρείας, ἣν ὀφείλουσιν αὐτῷ οἱ ἄνθρωποι. λατρείας, ἣν ἔδει βαίνειν οὐσιωδῶς τῇ εὐλαβείᾳ, εὐγνωμοσύνῃ, ἀγάπῃ, πίςει, ἀφιερώσει ϗ ὑποταγῇ, αἱ φύσει τοῖς τούτων αὐ-

τεχομένοις τὰς μεταξὺ θεῦ ϗ ἀνθρώπων σχέσεις ἐμπνέουσι, ϗ πάσῃ πράξει, ἧς τὰς ὑπολήψεις ταύτας ἐξηγεῖν ἴδιον.

Διατηρηθεισῶν τοσαῦτα ἔτη ἀμεταποιήτων τῶν ἰδεῶν τέτων, δυσχερής τις ἐπιςήμη ἤδη ἐκ ἦν ἡ θεολογία, ὡς μὴ πλείω, ἢ ἐν τι ϗ μόνον, τὸ τῆς θρησκείας σύςημα παρέχεσα· ταύτῃ μέντοι χώραν ἔσχε τὰ τῆς συγχίσεως, ὅθ' οἱ τὰ πλήθη πεζῷ, ἢ μετρικῷ λόγῳ διδάσκοντες, τὰς ἀληθείας ταύτας συμβολικῶς ἑρμηνεύειν πρὐτίθεντο, ποιητικὰς καταγραφὰς ποιέμενοι, ἵνα τήν τε δημιεργίαν ϗ τὰ τῆς προνοίας ἔργα πρὸς τὰ τε παντὸς διάφορα μέρη σχετικῶς διαγράφωσιν· ἀλλ' ἵνα μᾶλλον εὐαποδέκτες καθιςῶσι τέσδε τὲς πίνακας, νῦν μὲν ταῖς τῶν ἀλληγοριῶν κομψαῖς, νῦν δὲ ταῖς ἧττον φυσικαῖς χρώμενοι, τοῖς τε ςοιχείοις ϗ τοῖς τῆς θείας προνοίας ἔργοις πρόσωπα ἀπένειμον· ἐντεῦθεν ἥτε μυθολογικὴ ϗ αἱ τῶν ποιητῶν ὑποκρίσεις πᾶσαι, πρῶτον ληφθεῖσαι, ἀντὶ τέτων, αὗται, τοσαύτην ἐπῆγον τῷ πλήθει τὴν ἀρέσκειαν, ὡς τῷ δημοσίῳ, τοῖς ἱεροῖς τῶν ᾀσμάτων, ταῖς διδαχαῖς ϗ τῇ λατρείᾳ μόνας ταύτας γενέσθαι τὴν ἐν χρήσει ϗ εὐαπόδεκτον διάλεκτον· τοιῷδε τόνῳ λαλέντων αὐτῶν ἀκέον τὸ κοινὸν, ϗ τά τε σχήματα ταῦτα ϗ τὰς ἀλληγορίας κατα γράμμα διερμηνεῦον, τὸ τῆς θρησκείας ἄτοπον σύςημα τόδε κατεσκεύασεν, ἐ γινωσκομένε τῷ τῆς εἰδωλολατρείας, εἴτ' ἔν πολυθείας ὀνόματι, τὴν αὐτε ἔκθεσιν ἡ μυθολογία ποιεῖται. τελεμένης ἐπὶ ταύτῃ τῆς λατρείας, ἅπαντες, πλὴν σοφῶν τινῶν, ϗ ἴσως τῶν ὀργιαζόντων, τέτοις καθό-

λε

λȣ ἐπίςευον· ὡς τοῖς ἀποκήμασι τȣτοις μὴ πιςεύειν, ȣκ ἦν αὐτοῖς πρὸς ἀσφάλειαν· ἅπαν τὸ τῆς θρησκείας ἐξωτερικὸν, αἱ θυσίαι, αἱ λιτανεῖαι, τὰ ᾄσματα, αἱ ἑορταὶ, αἱ τῶν ἱερέων τάξεις πρὸς τὰ τῶν ποιητῶν σχήματα ταῦτα κατὰ γράμμα λαμβανόμενα, ἐπεραίνοντο, ὡς αὐτῶν τȣτων ὑπαρχόντων τῶν τῆς ἀρχαιότητος θεολόγων· ταῖς εὐσεβέσιν ἰδέαις ταύταις ἐν τῇ κοινῇ διοικήσει κανονιζομένη ἡ πολιτικὴ, καὶ τȣτων δεχομένη τὴν νομοθεσίαν, τὰς αὐτῆς ἐπιταγὰς ταύταις ἐδράζετο, τῆς ἠθικῆς, τῆς πολιτικῆς ϗ οἰκιακῆς χρήσεως ȣδὲν ἧττον θεμελίῳ κειμέναις· τριχῇ δυνατὸν τὴν πάλαι θεολογίαν διαιρεῖν, εἰς τὴν ποιητικὴν, εἴτ' ȣν μυθικὴν, ἣ περὶ φύσεως θεῶν ϗ τῶν τȣτοις πρεπόντων μηδὲν ὁρίζȣσα, τήν τε γέννησιν αὐτῶν ἀναπτύσσειν καὶ τὰς πράξεις ἀκριβολογεῖσθαι, ἑαυτὴν ἀφοσιȣτο, οἷα ὄντα, τῶν ἀνθρώπων μὴ διαφέροντας, ἢ μείζονι δυνάμει, ϗ μᾶλλον ἐκτεταμένοις δικαιώμασιν αὐτȣς παριςῶσα, ὧν ἁπάντων τὴν γνῶσιν ἡ τῆς μυθολογίας ἀνάγνωσις χαρίζεται· τὴν πολιτικὴν, εἴτ' ȣν τὴν τῆς πόλεως, ἣ τὸν μῦθον, οἷον ἐξεῦρον οἱ ποιηταὶ, παραλιποῦσα, περὶ τȣτȣ ȣδὲν ἐκανόνιζε, τȣς θεȣς, ὡς κυρίȣς μόνον ϗ κυβερνήτας τȣ παντὸς, νομοθέτας ϗ κριτὰς τῶν ἀνθρώπων, ὑπερτάτȣς διαιτητὰς τȣ τῶν κτισμάτων κλήρȣ, ϗ τῶν αὐτοῖς ὁμήρων ὑποκείμενα ἀποδεχομένη· τέλος δὲ τὴν φιλοσοφικὴν, τῶν εἰρημένων διαφέρȣσαν, ϗ τῷ πλήθει τυφλοῖς ἀσπαζομένην ὄμμασι· τὴν περὶ θεῶν πίςιν αὐτῶν παντὶ τῷ λαῷ μὴ κοινȣμένων τῶν φιλοσόφων, δοκȣντες οἱ τȣτων ἀρχαιότεροι ἔχειν αἵρεσιν τῆς μονάδος ϗ τῆς πνευματικότητος ὑψίςου

θεȣ

θεȣ̃ τινος, παντελείȣ, πάντων δημιȣργȣ̃, σοφȣ̃ ϗ ἠθικȣ̃ διοικητȣ̃ τȣ̃ παντὸς, τȣ́τȣ ὑποδεεςέρους ὑπετίθεντο, τὰς αὐτȣ̃ βȣλὰς ἐν τῷ κόσμῳ ξὺν ἀκριβείᾳ τελȣ̃ντας· σοφωτέρα ϗ λογικωτέρα δοκεῖ πως ὑπάρχειν ἥδε ἡ θεολογία, ἣν μόνȣς τȣ̀ς ὀργιάζοντας διδάσκοντες, ὡς μυςήριόν τι τῷ πλήθει ἐτήρȣν· ἀλλοιωθείσης δὲ ταύτης ἐσύςερον, ἅπαντα φυσικῶς ἑρμηνεύειν σπεύσαντες, ψυχρὸν αὐτίκα τὸ τῆς θείας ὑπάρξεως δόγμα κατέςησαν, ὡς μὴ ȣ̓́σης, κατὰ τὸ τȣ́των σύςημα, ταύτης ἀναγκαίας, ὅτι ϗ δίχ᾽ αὐτῆς ȣ̓δὲν ἧττον, ἦν ἂν, οἷον ἐςὶ, τὸ πᾶν.

Ἀνοιγεισῶν δ᾽ ἐν τῇ ἑλλάδι τῶν τῆς φιλοσοφίας ἀκαδημιῶν, ὡς πλεῖςα τῶν τῆς θεολογίας συςημάτων πάνυ ἀλλήλων διαφέροντα, ἀνέφυ· ἡ γὰρ τȣ́των ἑκάςης ἀρχὴ προέχειν τῶν ἄλλων ἔσπευδεν· ἐντεῦθεν αἱ κατὰ θεωρίαν αἱρέσεις, τὰ τῶν ζητημάτων ὑψηλώτατα, αἱ τῶν διαλέξεων πικρώταται, ϗ τῶν προτάσεων αἱ πυκνάκις ἀτοπώταται, αἷς τὰ τῶν πνευμάτων ὑπέρογκα ἐσχόλαζεν, ἁπάντων λόγον δȣ̃ναι, ϗ πάνθ᾽ ἑρμηνεύειν ἐπειγομένων, τῇ δ᾽ ἀπάτῃ, ἣν ἡ τȣ̃ λεὼ τυφλὴ δεισιδαιμονία εἰσεποιεῖτο, ϗ τὸ τῶν ἱερέων ὕποπτον κέρδος προΐςατο, ἐπεμβαίνειν ἢ κιςάπȣ θαῤῥȣ́ντων· τὸ γὰρ τȣ́των ςόμα, ἐπὶ τῆς ὑποθέσεως ταύτης, τὸ δέος κατέβυε· ταύτῃ ϗ ἐφ᾽ ᾧ μὴ σφᾶς αὐτȣ̀ς τῇ τȣ́των ἐπηρείᾳ ϗ καταδρομῇ ἐκτίθεσθαι, μικρȣ̃ ȣ̓δὲν ὅλως περὶ θεȣ̃ διελέγοντο, ὡς μέσον εὑρόντες, κατὰ τὰς αὐτῶν ἰδέας, ἄνευ τῆς τȣ́τȣ παρενθέσεως ἅπαντ᾽ ἀναπτύσσειν· φοιτῶντες δὲ παντα-

χȣ̃

χϐ ὑπὸ τῶν καθηγητῶν, ἢ τῶν περὶ τϐτϐς μαθητῶν, τὴν φιλοσοφίαν, ἀποδείξει, ἢ προλήψει διδάσκεσθαι, ϐδὲν ἄλλο κυρίως ἀπεδέχοντο, ἢ τὸ ταῖς ἀρχαῖς, αἷς ἐμυϐντο, σύμφωνον, ὅ, τι δὲ μὴ τοιϐτον, ὡς ψευδὲς ἀπεσείοντο· ϐσης ἤδη ἐντοιαύτῃ καταςάσει τῆς φιλοσοφίας, ἡ τϐ εὐαγγελικϐ κηρύγματος ἐπιςήμη διδάσκεσθαι ἤρξατο· ἡ τϐτϐ καινὴ ϗ ἁπλῆ διδασκαλία τῶν πρακτικῶν συνεπειῶν ἀρχὰς μὴ προβαλλομένη πρῶτον, ἢ εὐαρίθμϐς μὲν, γονίμϐς δὲ, ταῖς φιλοσοφικαῖς αἱρέσεσιν ϐδὲν ἀντιφατικὸν ἔδοξεν ἔχειν· ὅτι οἱ τϐ Ἰησϐ μαθηταὶ, τὰ τῶν τϐτου δογμάτων εὐαριθμα, ϗ ἅπαντα, δίχ' ἐξαιρέσεως, ϐδὲν ἀλλ' ἐζήτϐν, ἢ ἐπὶ τὴν τῆς ἀρετῆς πρᾶξιν, ϗ τὸν τῆς κακίας τέλεον δρασμὸν ἀποκαθιςᾶν τὸν ἄνθρωπον· αὔλῳ τινι Θεῷ πιςεύοντα, νοΐ παντελείῳ, δημιϐργῷ ϗ συντηρητῇ τϐ παντὸς, εὐεργέτῃ, νομοδότῃ, τῶν ἀνθρώπων κριτῇ, ᾧ τὰ τῆς κακίας ἀτυχίαις περιβάλλεται, διαλλάττεσθαι δ' αὐτῷ τϐς ταύτης ἑαυτϐς ἀπολύοντας, μόνη μέσον, ἡ ἀρετή. ὡς ἀπεςαλμένος εἰς ἀνθρώπϐς πρὸς αὐτϐ, ὤπται ἐκεῖνος, θαυματϐργικῇ κεκοσμημένος δυνάμει, δηλώσων τϐτοις, ὡς τὸν τῷ Θεῷ εὐαρεςήσοντα, τὸ κακὸν ἀποςραφησόμενον, ἄρχεσθαι δεῖ τϐ καλϐ· ἐν δ' οἱῳδήποτε τόπῳ, ἢ χρόνῳ, ἐκείνϐ ἀποςησόμενος, ἀνθέξεται τϐτϐ, ἤπϐ τῆς τε τῶν αὐτῷ πεπλημμελημένων ἀφέσεως, ϗ τῆς τῇ ἀρετῇ ἐνάποτε ταμιευμένης εὐδαιμονίας τεύξεται ἐν τε τῷ μετὰ τϐτον βίῳ, προοριωθέντι, ἵνα τῇ τε ἠθικϐ καλϐ γεύσει ϗ πράξει ἑαυτὸν συμμορφῇ· σῶμά τι τῶν πρὸς τὸν ὅρον τϐτον ὡρισμένων πρακτικῶν διδασκαλιῶν· πρᾶξιν, ἢ τοῖς τὴν

ἀπο-

ἀποςολὴν, ἵνα τὴν αὐτȣ̃ πολύτιμον ϰ̀ θείαν διδασκαλίαν τοῖς πᾶσι κηρύξωσιν, ἀναδεξαμένοις, θαυματουργικὴν δύναμιν, ἡ τὴν τῆς αὐτȣ̃ ἀποςολῆς θειότητα παρίςησι, τὸ ὕψιςον ὂν χαρισάμενον, τῆς ἀπάτης πάνυ πόῤῥωπȣ, τῇ δ᾽ ἀδόλῳ ἀρετῇ ϰ̀ μάλ᾽ ὡς ἔγγκιςα διετήρει· ταῖς τῶν διδαχῶν θετικαῖς ταύταις ϰ̀ τῶν ψήφων ἀποφατικαί τινες συνήφθησαν, ὡρισμέναι, ἵν᾽ ἐκ τῆς πλάνης, τῆς πολυθείας ϰ̀ τῶν μύθων εἰς λογικόν τινα θεϊσμὸν, κἀκ τῆς ἐν βεβήλῳ τινὶ λατρείᾳ, τοῖς ἤθεσιν ἐπιβλαβεῖ, καταχρήσεως, εἰς σώφρονα, πνευματικὴν, ϰ̀ τῶτε Θεῷ ϰ̀ τ᾽ ἀνθρώπῳ ἀξίαν λατρείαν τȣ́τȣς ἐπανάγωσι.

Δυσχερής τις ϰ̀ πάνυ ἀκανθώδης ἐπιςήμη, ἡ θεολογία, εἰς πολυαρίθμȣς, κατὰ σχολαςικȣ̀ς, διαιρȣμένη κλῶνας, ὡς ἐκ τῶν διαφόρων ὄψεων, ὑφ᾽ ἃς ἔτοι ταύτην θεωρȣ̃σι. Α. πρὸς τὴν αὐτῆς πηγὴν, ἧς ἡ γνῶσις ἀρύεται, ἡ θεολογία, ἤτοι φυσικὴ, τȣτ᾽ ἔςιν, ἧς τὴν γνῶσιν ποριζόμενοι, τὴν ἀλήθειαν μόνοις φυσικοῖς φωσὶ, τῇ ἁπασῶν τῶν ἐπιςημῶν μελέτῃ καλλιεργȣμένοις, δοκιμάζομεν, κἀνταῦθ᾽ ὁ ἀληθὴς θεϊσμός· ἡ ὑπερφυσικὴ, τῇ πρώτῃ φῶτα, ἁμόνη χαρίζεται ἡ ἀποκάλυψις, προςιθεμένη· ταύτην δ᾽, ἵνα ἐν τῇ αὐτῆς μένῃ καθαρότητι, ἐκ τȣ̃ εὐαγγκελίȣ χρὴ λαμβάνεσθαι· ἀλλ᾽ ὅσοι γ᾽ ἐν ταῖς αὐτῶν πραγματείαις ἐκτιθέναι ταύτην ἔσπευσαν, ἐν τῇ καθαρᾷ ταύτης πηγῇ ἑαυτὸν μηδεὶς ἀρισάμενος, ταύταις μᾶλλον, ἢ ἧττον τὰς τῶν τῆς ἐκκλησίας πατέρων δόξας, τȣ̀ς τῆς γραφῆς σχολιαςὰς, τȣ̀ς πνευματικȣ̀ς συγγραφεῖς ξυνῆψε·

πο-

πεδίον, αὕτη, ἐν ᾧ ἑαυτὲς ἀσκοῦσιν οἱ πολέμιοι·

Β. τῶν περὶ θεολογίας γραφόντων, οἱ μὲν διδάσκειν ἑαυτὲς ὁρίζεσιν, ὅ τέτοις ἀληθὲς δοκεῖ, ἢ γὲν, ὅ, οἷα τοιἒτον, ἔτοι θεωρεῖν βούλονται· τὸ τὴ ἐπιςήμην ταύτην ἔτως ἐκτιθέναι, τὴν θετικὴν καλεμένην θεολογίαν κατασκευάζει· οἱ δὲ σύςημά τι ἀνασκευάζοντες τῶν, ὅσοι ἄλλως, ἢ ἔτοι, σκέπτονται, ϗ περὶ τἒ ἑαυτῶν διαφερόμενοι, βέλονται, τὴν τἒ ἑαυτῶν συςήματος ἀλήθειαν δεικνύοντες, τὸ τῶν ἄλλων ἁπάντων ψευδὲς ἀποφαίνεσθαι. τὸ τῶν φιλονείων διδαχῶν τετί σῶμα, πολεμικὴ καλεῖται θεολογία.

Γ. τῶν θεολογέντων, οἱ μὲν ἅπαντα τὰ τῆς αὐτῶν ἐπιςήμης μέρη ἀλλήλοις, ἐς δύναμιν, ξυνδέεσιν, ἀλλήλων ἀρτώμενα καθιςῶντες, ϗ, κατὰ γεωμέτρας, διαιρέσεσιν, ὁρισμοῖς, ἀρχαῖς, συνεπείαις, χωρἒντες, ταῦτ' ἐπὶ λεπτἒ πολλαπλασιάζετι, σχηματιςικῶς αὐτὰ ἐκτιθέμενοι δίχα κάλλες, ἒ δεκτική, ἡ ὁμιλία αὕτη, ἣν οἱ μὲν σχολαςικὴν, οἱ δὲ συςηματικὴν, θεολογίαν καλἒσιν· εἰσὶ δ', οἱ τῇ ςενῇ ταύτῃ μεθόδῳ μὴ συςελλόμενοι, τῶν ὑποκειμένων ἕκαςον ἰδίᾳ διδάσκεσι φράσει ῥητορικῇ, ἤδη τ' θετικὴν ταύτην ὀνομάζοντες.

Δ. διεξελθὼν τῶν καθηγητῶν τις ἅπαντα, δίχ' ἐξαιρέσεως, τὰ τῆς ἐπιςήμης ταύτης θεμέλια, ἅπαντ' ἐξήτασε τὰ ζητήματα· τὰ δὲ τέτων ἐπιχειρήματα σημειώσας πάντα, τὰς

ἐγνωσ-

ἐγνωσμένας διαφόρους δόξας περὶ ἑκάστου τῶν ὑποκειμένων τούτων ἐξέθετο, τὰς μὲν, τὸ καθ᾽ αὐτὸν, ἀνασκευάσας, τὰς δὲ καὶ ἀποδείξας, ὅπερ ἀρτία ὁδὸς, ἢ σῶμα, τῆς θεολογίας ἀκούει ἡ πραγματεία· τῶν ἕνεκα τούτου διαφόροις χρησαμένων μεθόδοις, οἱ μὲν τῆς τῶν ἐδαφίων, οἷς χρῶνται, τάξεως ὁδηγὸν ἔσχον αὐτὴν τὴν τῆς θρησκείας ἱστορίαν, τῆς κατὰ τὴν γραφὴν δημιουργίας τοῦ κόσμου ἀρχόμενοι· οἱ δὲ ταῖς τῶν διαφόρων ἀποκαλύψεων δοθείσαις τοῖς πατριάρχαις, τῷ μωϋσῇ, τοῖς προφήταις, τῷ ἰησοῦ χριστῷ, μεθ᾽ οὓς καὶ τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ ἑπόμενοι, τὰς ἐκ τῆς χρονολογίας διαφόρους αἱρέσεις, τὰ σχίσματα, τὰς θεολογικὰς διαλέξεις πρὸς τάξιν καταλέγουσιν, ὧν χρονικὴν θεολογίαν καλεῖν τὴν ὁδὸν, οὐκ ἀδύνατον· διαιροῦντες δὲ ταύτην εἰς γενικ᾽ ἄττα κεφάλαια, ἐφ᾽ ἃ τῶν ζητημάτων εἰδικά τιν᾽ ἀνάγουσιν, ἐγγκυτέρω, ἢ πορρωτέρω ἐκείνων ἀρτώμενα, αὕτη, σχολαστικὴ θεολογία, τὰ γενικὰ καὶ εἰδικὰ ταῦτα κεφάλαια, κοινοὺς τόπους τῆς θεολογίας καλοῦσι· οἱ δὲ, καὶ ταῦτα γ᾽ οἱ προτεστάνται, ἅπαντα τὰ τοῦ δρόμου μέρη τῆς αὐτῶν θεολογίας ἐπὶ τὰ τοῦ συμβόλου διάφορα ἐδάφια, τὰς τῆς κυριακῆς προσευχῆς διαφόρους ἐρωτήσεις, καὶ τὰς τοῦ δεκαλόγου διαφόρους ἐντολὰς ἀναφέροντες, προηγουμένων ἐκθέσεών τινων τῆς ἁγίας γραφῆς ἄρχονται· αὕτη, ἡ τῶν κατηχισμῶν, εἴτ᾽ οὖν ἡ τῆς τοῦ πλήθους διδαχῆς κυρία μέθοδος.

Α῎λλοι τέλος, φιλοσοφικώτερον μεθοδικοὶ, βάσιν, τὴν φυσικὴν θεολογίαν ἀποδεχόμενοι, τῶν προτάσεων ἑκάστῃ, ἣν ἡ φιλοσοφία λόγῳ

δείκ-

δείκνυσιν, ὅσα διδάσκει ἡ ἀποκάλυψις, προσιθέασιν, ὃ ϗ σοφωτέρα μέθοδος· τῷ ταύτῃ ἑπομένῳ ἀτεχνῶς φιλοσόφῳ, ἑκάςῃ τῶν τῆς φυσικῆς θεολογίας προτάσεων ἀποδεικτικοῖς ἐπιχειρήμασιν, τῷ λόγῳ ἐξαγομένοις, δειχθήσεται, ἡ δὲ τῆς ἀποκαλύψεως σαφὴς μαρτυρία ἤδη ἀμφιβολλίαν ὀυδεμίαν ἀφήσι τῷ, ὃ μᾶλλον αὐτη, ἢ μόνον τὸ φυσικὸν φῶς ἡμᾶς διδάσκει, ἑκατέρας τὰς διδασκαλίας ὁρᾶν ἡμῖν παρεχομένη συμφώνους, ὃ τῆς αὐτῶν ἀληθείας, ἢ τοῦ ψεύδους, σημεῖον.

Παντὶ, ὅ, τι λόγῳ δείκνυται, ὀυκ ἔςιν ἀντιλέγειν, πλὴν ειμὴ ψευδεῖ προτάσει· παντὶ, ὅ, τι σαφέςατα διδάσκει ἡ ἀποκάλυψις, τὴν ἀποδεδειγμένην φιλοσοφικὴν κρίσιν, θετικῶς, ὀυκ ἔςιν ἀντιβαίνειν· εἴπερ ἄρα ἅτερον θατέρῳ τούτων ἀντιφάσκῃ, ἀπόδειξις, ἢ τὸ ἐν φιλοσοφίᾳ ἀποδεδειγμένον, τοιοῦτον μὴ υπάρχειν, ὡς ἀπατηλὴν ἀναπτύσσον πρότασιν, ἢ τὸ τῇ ἀποκαλύψει ἀποφαινόμενον, ἢ τέλος τὴν αὐτῷ διδομένην ἔννοιαν ἄλλως ἐκδέχεσθαι δέον.

Ἅπαν, ὅ, τι τὸ τῆς φυσικῆς θεολογίας σῶμα κατασκευάζει, ὃν, ὅπερ ἥτε κοινὴ αἴσθησις ϗ ὁ ὀρθὸς λόγος, περὶ θείου υποκειμένου, ϗ τῶν τούτου πρὸς ἡμᾶς σχέσεων, ἀνακαλύπτει, δυνατὸν, ὡς μεταφυσικὴν ἀπόδειξιν δεχόμενον τοῦτο, τῆς μεταφυσικῆς μέρος γίνεσθαι. ἀλλ' ὃ τὸ τῆς ἀποκαλυφθείσης θεολογίας σῶμα συγκροτεῖ, τοῦτὶ οὐκ ἂν ἀποδειχθείη, ὡς αὐτοῦ μόνη ἀπόδειξις, ἡ θεία μαρτυρία, ἅττε γινόμενον ἱςορικὸν, ᾧ τοὺς ἀποδεικτικοὺς ἁρμόζειν συλλογισ

μοὺς,

μὲς, ἐκ ἂν εἴη· διαβαλλομένε τὲ ἐγχειρήματος τέθ' ὁμοίως, ἢ ϗ τὲ τῶν θεολόγων, ὅσοι τῇ τε φυσικῇ θεολογίᾳ ϗ τῇ ἐξ ἀποκαλύψεως, χρῆσθαι, κατὰ τὴν τῶν ἀποδείξεων ἐπιςημονικὴν μέθοδον. ἐπείχθησαν, πρὸς ἁπάντων τῶν εὐφυεςάτων νόων, ἐπὶ τὴν τῶν διαλέκτων καὶ τῆς ἀρχαιότητος γνῶσιν, ϗ τὴν κριτικὴν τέχνην δέον καταφεύγειν, ἵνα τὸ τῆς ἀποκαλύψεως κῦρος βεβαιέμενοι, τὴν τῶν αὐτῆς ἐκθέσεων ἀληθῆ πήγωμεν σημασίαν, μεμνημένοι ἀεὶ, ὡς ἅπασα σημασία, ἣν δυνατὸν ταύτῃ διδόναι, τῷ κοινῷ σημαινομένῳ, ἢ ταῖς τῶν ἀληθειῶν ἀποδεδειγμέναις, ἀντιβαίνεσα, ἡ τῆς ἀποκαλύψεως ἀληθὴς σημασία ὑπάρχειν ἐδύναται.

Τῆς ἐπιςημονικῆς θεολογίας μέγα ἔλλειμα, οἱ ὑψηλοί τε ϗ βαθεῖς συλλογισμοὶ, ἐς τοῖς αὐτῶν διαφόροις ὑψηλοῖς ζητήμασι χαριζομένων τῶν θεολογέντων, οἱ σχολαςικοὶ ἐφ' ὕλας, τῆς ἡμῶν διανοίας κρείττες, τέτες αἶρεσιν, ὧν ἀποδέχεσθαι μὲν διαφόρες δόξας, δυνατὸν, ἀποδεικνύειν δ' ἣν τινὲν τέτων, ἀδύνατον· ὃ δεσποτικῶς ταύτας, οἷα ἀπταίςες, λύειν ἐδὲν ὅλως κωλύει τέτες, ὡς κἂν τοῖς τοιέτοις τῶν προβλημάτων, τὰς αὐτῶν κρίσεις, ἢ ϗ τὰς τῶν ἀναποδείκτων καλεμένας, ὑπογράφειν ἡμᾶς, αὐτὲς βελομένες, ϗ πάσας τὰς περὶ τέτων ἀκριβολογίας, ϗ ταῦτα αὐτάς γε τὰς τὲ αὐτῶν συςήματος ἀνωφελεςάτας, οἰκειοποιεῖσθαι, λόγον, ἐκτὸς τέτε, τῆς ἡμῶν συγκαταθέσεως, ἣν ἄλλως ἐπαντὶ ἐσιώδει χρὴ τηρεῖν, μηδένα ποιεμένες.

Ζητηθήσεταί τινι, τίποτε τὸ τῆς Θεολογίας ὀσιῶδες; ἢ ἄνευ Θρησκείαν ὀδεμίαν ἂν εἴχομεν, τουτ᾽ ἔστιν ὀκ ἂν εἰδείημεν, ὀυθ᾽ ὅπερ ἡμᾶς ἀπαιτῶν τὸ Θεῖον, ἀποδέχοιτο, ὀυθ᾽ ὅπερ, οἷα ἱκανὸν κινῶν, ἐξηγηθήσεσθαι πρὸς τὴν ἐκείνῳ ζητουμένην σπουδὴν παρ᾽ ἡμῶν τηρεῖσθαι, ἐλπίζειν δίδωσι.

Τὴν τῶν ὀσιωδῶν, ἢ μὴ τοιούτων, ἐδαφίων τῶν δὲ διαίρεσιν εὖ διαγινώσκειν, ἐυχῆς ἔργον· οὕτω γὰρ τὰ τῆς Θρησκείας, ἤγ᾽ ἐν τῷ αὐτῆς ὀσιώδει περιορίζοιτ᾽ ἂν, καὶ ἧς ἅπασιν ἀναγκαία ἡ κατάληψίς τε καὶ γνῶσις, ἢ ἂν μόνα καὶ τὸ μόνον ἀντικείμενον καὶ ὑποκείμενον ταῖς ἡμῶν διδαχαῖς, παραιτουμένων τὴν μὲν Θεολογίαν τοῖς σοφοῖς, ὅσοιγ᾽ ἐν τῷ καθ᾽ αὑτοὺς μυστικῷ ταμείῳ τοῖς τῶν ζητημάτων ματαίοις σχολάζειν φιλοῦσι, τῷ δὲ πλήθει, ὡγ᾽ αἱ τοιαῦται τῶν ζητήσεων ὀυδὲν ἀλλ᾽, ἢ βλάβος ἐπιφέρονται. μηδέποτε περὶ ταύτης διαλεγομένων.

## Τίς, ὁ τῆς Φιλοσοφίας σκοπός.

Τοιαύτης ὄυσης τῆς ἐν τῇ ὑγιεῖ Φιλοσοφίᾳ ἰδέας, τὸ ταύτης τέλος, οἷον; τ᾽ ἀσφαλὲς, καὶ τὸ ἐπὶ τουθ᾽ ἅπαντα τὰ αὐτῆς βήματα διευθύνειν ἀποδείξει· τ᾽ ἄρα τὸν φιλοσοφοῦντα χαρακτηρίζον, καὶ τοῦτον τοῦ κοινοῦ διακρῖνον, ἐστιν ἄνευ ταύτης μηδὲν ἀποδεχόμενον, ταῖς τῶν ἰδεῶν ἀπατηλαῖς μὴ ἀγαπῶν, ὅρους τοῦ βεβαίου, τοῦ πιθανοῦ, τ᾽ ἀμφιβόλλου πρὸς σταθμὴν αὐτὴν πηγνύμενον, λέξεσι μὴ στέργοντα, ὀυδ᾽ ἀναπτύσσοντά τι ταῖς τῶν ποιοτήτων ἀπορρήτοις, ὅσαι

αὐτὸ

αυτὸ τῦτο τ' ἀποτέλεσμα εἰς αἴτιον ἂν μεταποιοῖντο, ὡς τὴν τῆς αὐτῦ ἀγνοίας ὁμολογίαν μὴ αἰσχυνόμενον, ὁσάκις ἂν αὐτὸν ὅ, τε συλλογισμὸς ϗ ἡ πεῖρα μὴ ὁδηγοῖεν ἐπὶ τὸν τῶν πραγμάτων ἀληθῆ λόγον.

Α'τελεςάτη ἐπιςήμη ὖσα ἔθ' ἡ φιλοσοφία, ὐδέποτ' ἐπὶ τὴν αὐτῆς ἥξει τελειότητα. τὶς γὰρ ἁπάντων τῶν δυνατῶν λόγον διδόναι δύναιτο; τὴν γὰρ φιλοσοφικὴν, μαθηματικὴν ϗ ἐντελῆ γνῶσιν τῦτων μόνον τὸ, ὅ πάντ' ἐν μέτρῳ ϗ ἐν ςαθμῷ ἐποίησεν, ὂν κτᾶται· προσοχῇ γεμὴν ϗ λογισμῷ τὴν τῆς φύσεως ὑπερμεγέθη βίβλον μελετῶν ὁ ἄνθρωπος, κἂν ταύτῃ τῆς σοφίας ϗ τῶν τῦ αὐτῆς δημιυργῦ τελειοτήτων ἁπασῶν ἐρευνῶν τὰς ἀποδείξεις, ὐχ ἧττον ἀξιέπαινος. τῶν γὰρ τῦτυ φιλοσοφικῶν ζητημάτων, ὅσα πλείςας, ὠφελίμυς ϗ τελείας ἀνακαλύψεις τῷ τῶν ἀνθρώπων γένει παρέσχοντο, ὐ τὰ τυχόντ' αὐτὸ τῦτο ἀπώνατο.

Ο῞ς τὸν τῶν πλειόνων ὄντων ἀποχρῶντα λόγον ἀποδίδωσι, τῦτον εἰκὸς ϗ τῶν φιλοσοφάντων ὑπάρχειν τὸν μέγιςον· τοιῦτος πρὸς ἀκρίβειαν ὁ τῦτυ βαθμὸς, ὡς τῇ φιλοσοφίᾳ τὴν παιδείαν μηκέτι πρὸς αὐτῦ ξυγχέεσθαι· ὖσ' ἀναντιῤῥήτως ὠφέλιμος, ἡ γνῶσις τῶν ὄντων, τῆς τῦτων ἀναπτύξεως, ἧπυ ἡγύμενον ὐσιῶδες, αὐτη· ὐ τὸ πολλὰ ὁρᾶν ϗ ἁπλῶς ἀναγινώσκειν, ὐδὲ τῆς φιλοσοφίας, τῶν ἐπιςημῶν ϗ τεχνῶν τὴν γνῶσιν κτᾶσθαι, ὡς ἄπεπτόν τι χάος κατασκευαζόντων τῦτων πολλάκις, ποιεῖ τὸν φιλόσοφον, ἀλλὰ τὸ ςερεὰς ϗ ἀκλονήτυς ἔχειν ἀρχὰς,

χὰς, ϗ ἐπὶ πᾶσι σοφὴν μέθοδον, ἵνα τέτων τὸν ἀποχρῶντα λόγον ἀπονέμων, νομίμως καὶ τὰς συνεπείας αὐτῶν ἐξάγῃ.

Τὰ τῶν κωλυμάτων κυριώτερα, ὅσα τὰς τῆς φιλοσοφίας προσόδες διὰ πλεῖςα ἀνεβάλετο, δύω, τό, τε κῦρος ϗ τὸ συςηματικὸν πνεῦμα.

Α'λλοτρίοις ὀφθαλμοῖς ὁ ἀτεχνῶς φιλόσοφος ἐδέποθ' ὁρᾶν ἀξιοῖ, οἷα μὴ εἴκων, ἢ μόνῃ τῇ πρὸς τῆς σαφηνείας ἀποδείξει· ὅπως δὲ ξυμβαίνει, ἵν', ὅσοι φύσεώς γε δεξιᾶς, ἐν τῇ τῆς ἀληθείας ἐρεύνῃ, τῷ τῶν ἄλλων πνεύματι ὁδηγεῖσθαι μᾶλλον φιλᾶσιν, ἢ ὥγε τέτες τὸ θεῖον ἐκόσμησε, δυσχερὲς, κατανοεῖν· ἧπυ ἀπειράκις ἡδύτερον ϗ τιμιώτερον ἰδίοις ὁ δηγεῖσθαι ὀφθαλμοῖς, ἢ ἀλλοτρίοις· ὁ γὰρ ὑγιεςάτες τέτες κτώμενος, ἀποκλείειν, ἢ ἐκβάλλειν αὐτὲς, χειραγωγὸν εὑρήσειν πειθόμενος, ἐκ ἄν ποτε δέξαιτο· ὄντος μέντοι πάνυ γενικῦ τῦ ἔθες τῦδε, τὰς αὐτῦ διαφόρες λόγες ὁ μαλεμβράγχιος παρέχεται.

Α. ἡ φυσικὴ ἀμέλεια, τῇ μελέτῃ πονεῖν ἐκ εἰωθυία.

Β. τὸ τῆς μελέτης ἀνεπίδεκτον, ἐς ὅτις ἐμπέπτωκε, μὴ ἐκ νεότητος σχολάζων, ὅτε πάσης κλίσεώς τε ϗ κάμψεως δεκτικώτεραι, αἱ τῦ ἐγκεφάλε ἶνες.

Γ. ὁ βραχὺς ἔρως, δἰ ὃ τὰς τῶν ἀληθειῶν ἀφῃρημένας, ὅσαι πάντων θεμέλιος, ἀδύνατον γινώσκειν.

Δ. ἡ μωρὰ ματαιότης, ἣ σοφοὶ ἐφιέμεθα κηρύττεσθαι· οἱ πλείω καὶ μείζω τὴν μελέτην πορίζόμενοι, σοφοὶ καλοῦνται, μᾶλλον τῇ τῶν δοξῶν γνώσει χρώμενοι, ἢ τῇ τῆς φιλοσοφικῆς ἀληθείας, ἢ τῆς ἀνελίξεώς τε καὶ θεωρίας καρπὸς, ἵν᾽ ἐνδιηνεκεῖ ἐκπλήξει τὸ τῆς κοινότητος πνεῦμα διατηρῶσι.

Ε. τὸ ὑπερβάλλον θάμβος, ᾧ προκατειλήμμεθα ἐπὶ τοῖς πάλαι, οἰόμενοι, ὡς μᾶλλον πεφωτισμένοι ὄντοι, ἢ δυνατὸν ἡμᾶς αὐτοὺς ὑπάρχειν τοιούτους, ὡσεὶ μηδὲν ἔτ᾽ ἐλίπετο, ἐς ὅγ᾽ ἐκεῖνοι μὴ ἐπέδωκαν.

ς. οὐκ οἶδ᾽, οἷα τις αἰδὼς, μωρᾷ τινι κεκραμένη περιεργίᾳ, τὰ πόρρω ἀφεστῶτα, τὰ μᾶλλον ἀρχαῖα, τ᾽ ἄλλοθεν παραγινόμενα, καὶ μάλιστα τὰς τῶν βίβλων σκοτεινοτάτας, κινεῖ πάνυ θαυμάζειν· οὕτω θαυμαζομένου πάλαι τῇ αὐτοῦ ἀσαφείᾳ τοῦ ἡρακλείτου, τὰ τῶν νομισμάτων παλαιὰ προθύμως ἤδη ζητεῖται, εἰ καὶ τῷ ἰῷ διέφθαρται· τηρουμένων μεγίστῃ προσοχῇ, τοῦτε περὶ τὸν διογένη λύχνου καὶ τῶν τοῦ ἐμπεδοκλέους σανδαλίων, ἡ τούτων ἀρχαιότης, τιμὴ τῷ κτωμένῳ· τῇ τῶν ῥαβίνων ἀναγνώσει στεργόντων ἄλλων, ὡς ξένῃ, διεφθαρμένῃ καὶ σκοτεινῇ γεγραφότων διαλέκτῳ, αἱ τῶν δοξῶν πρεσβύτεραι, ὡς μᾶλλον ἀφεστηκυῖαι, περὶ πλείονος ποιοῦνται· ἧττον δὲ, εἰ τὴν τῆς αὐτοῦ βασιλείας ἱστορίαν γε-

γρα-

γραφεν ὁ νεμβρότης, ἣν ἂν ἡ ἄριςος πολιτικὴ, ἐχ ἧττον αἱ τῶν ἐπιςημῶν λοιπαὶ ταύτῃ ἂν ἐμπεριείχοντο· ὡς τὸν θ' ὅμηρον ϗ βιργγκίλιον ἐντελεςάτην τὴν τῆς φύσεως γνῶσιν κτᾶσθαι, τέτες εὑρίσκεσιν· εὐλαβεῖσθαι δεῖ, φασὶ, τὴν ἀρχαιότητα· τί; ὁ ἀριςοτέλης, ὁ πλάτων, ὁ ἐπίκερος, οἱ κολοσσοὶ ὗτοι ἠπάτηνται; μηδὲν ὅλως λογιζόμενοι, ὡς, οἱοίπερ, ἡμεῖς αὐτοὶ, ϗ ὗτοι ἄνθρωποι, ϗ ἡμῖν ταυτοειδεῖς· ὐδὲ τὸν, ἐν ᾧ πεφύκαμεν, χρόνον, πλείω, ἢ χίλια, ἔτη ἀνδρυνθέντα, ϗ πλείω ϗ μείζω τὴν πεῖραν ἔχοντα, ἀνάγκη ϗ μᾶλλον κεφωτισμένον ὑπάρχειν· ὐθ' ὡς ἡ τῦ κόσμυ γηραλαιότης τε ϗ πεῖρα τὴν ἀλήθειαν ἀνακαλύπτειν δίδωσι.

Τῶν καθ' ἡμᾶς καλλιεργημένον εὐφυές τι τῶν πνευμάτων, ϗ, ἥ φησιν ὁ κύριος φοντενέλος, συγκείμενον ἐξ ἁπάντων τῶν κατὰ τοὺς παρωχηκότας αἰῶνας, τῦ ἐν ἅπασι τέτοις καλλιεργηθέντος ὐδὲν ὅλως διενήνοχεν· ὗτως ὁ ἐς ἡμᾶς ἀπ' ἀρχῆς ζῶν ἄνθρωπος, νήπιον ἦν, ὡς μὴ σχολάσας, ἢ τοῖς πρὸς τὸ ζῆν αὐτῷ μᾶλλον ἀναγκαίοις· νέος, ὅθ' ἅλις τοῖς κατὰ φαντασίαν, οἷα, ἧτε ποιητικὴ ϗ ῥητορικὴ, ἐπιδεδωκὼς ὐχ ἧττον ϗ συλλογίζεσθ' ἐπεχείρει, ἐλάσσονι μέντοι ςερεότητι, ἢ πυρὶ· παραγγείλας δ' ἐς ἄνδρας ἤδη, μείζονι δυνάμει ϗ φωτὶ, εἴπερ ποτὲ, ἤδη ϗ συλλογίζεται· ὅδ' αὐτὸς ἐς γῆρας, ὡς εἰπεῖν, ὐδέποθ' ἥξει, ὡς ὐχ ἧττον δεκτικὸς ἀεὶ, ὢν ἡ αὐτῦ νεότης, δεξιὰ, ϗ ἀεὶ μᾶλλον ϗ μᾶλλον τὰ τῇ τ' ἀνδρὸς ἡλικίᾳ ἀνήκοντα ἐπιδόσεων, τῦτ' ἔςιν, ἵνα τὴν ἀληγορίαν ἀφῶ, μεταβαλῦσιν ὐδέποθ' οἱ αἶνοι, ϗ αἱ τῶν

ὀρθῶν πνευμάτων, ὅσα ϰ) οἷα ποτ' ἂν ἀλλήλα διαδέξωνται, ὑγιεῖς θεωρίαι ἀλλήλαις ἀεὶ συναφθήσονται.

Τῶν τῇ ἀρχαιότητι σωζομένων γελοίων ἀπαλλάττειν ἡμᾶς ἔδει τὰς ἀκλονήτες ϰ) κριτικὰς ἐνθυμήσεις ταύτας· εἰ ὁ ἐν ἡμῖν λόγος, ὅς τῇ ὅτως ἡμῖν ἐμφύτῳ ματαιότητι μικρὲ δεῖν ϰ) ἀπέσβη, αἴρειν ἡμῶν τὴν ὅτω κακῶς νοεμένην ταπεινότητα ἀνπίδεκτος ἦν, ὡς κατὰ νόμες τῇ τ' ἀνθρώπε ἀξίᾳ τὴν τοσαύτην μεγίςην τελειότητα μὴ ἀπεκδέχεσθαι τῦτον, ἡ γῦν πεῖρα, πείθειν ἅλις ἱκανὴ, ὡς ὅδὲν ὅτω τὴν τῶν πραγμάτων ἐπίδοσιν ἐκώλυσεν, ὅδὲ συνέςειλε τὰ πνεύματα, ὡς τὸ περὶ τὸς πάλαι ἄλογον θάμβος· ὑποτάξαντες γὰρ αὐτὸς, φησὶν ὁ ῥηθεὶς καθηγητὴς, τῷ τ' ἀριςοτέλες κράτει, τὴν φίλην ἀλήθειαν ὅδέποτ' ἐν τῇ αὐτῆς φύσει, ἀλλ' ἐν τοῖς τότω γεγραμμένοις αἰνίγμασιν ἐξεζήτουν· ταύτῃ ϰ) ὅχ ὅτι ὅδεμίαν ἐποιεῖτό πως ἡ φιλοσοφία τὴν ἐπίδοσιν, ἀλλὰ ϰ) πᾶν τὄναντίον ἐς τὴν τῦ γρίφε ϰ) τῶν ἀκαταλήπτων ἰδεῶν ἄβυσον ἐμπέπτωκεν, ἧς ἐξάγειν αὐτὴν, ἅπαντας ἐρυθροῖς ἱδρῶσιν ἐχρῆν ἀγωνίζεσθαι· ἀληθῆ φιλοσοφῦντα μηδένα ἀποδὸς ἡμῖν ὁ ἀριςοτέλης, κὄδ' εὐαρίθμοις, τοιότοις γενέσθαι δυναμένοις, εἰ τότοις ξυνεχωρεῖτο, ἐμποδὼν ἐγένετο· τὸ δὲ μέγιςον, παρεισδῦσαν ἅπαξ ἐν ἀνθρωποὶς τὴν τῦ τοιὄδ' εἴδες φαντασίαν, ἔςιν ἐπέχειν διὰ πλείςου· ἐπανελθεῖν ὅν αὐτὴν, αἰῶνας ὅλες παρωχεκέναι ἐδέησε, ϰ) ταῦτα γνωσθέντος τῦ γελοίε, εἴποτε ϰ), ἀντ' ἀριςοτέλες, καρτέσιος προήδρευεν, ὅκ ἂν ἦν μεῖον τ' ἀτόπημα.

Εἰ τὸ τῇ ἀρχαιότητι ὑπερυψιωθὲν τοῦτο σέβας, τοσαύτην ὀλέθριον ἐπῆγε τὴν ἐπίρῥοιαν, ὅσην ἔτ' ὀλεθριωτέραν χρὴ νομίζειν, ἣν οἱ πάλαι σχολιασαὶ πεποίηνται; τίνα καλλή, ὁ αὐτὸς καθηγητὴς φησὶν, οὐκ εὐδαίμονα τὸ οὕτω ζωηρότερον καὶ ἀπαλώτερον τοῦτο πάθος τοῖς αὐτῶν ἐρασαῖς, ἢ ὁ τῶν ἑλλήνων, ἢ λατίνων τις τῷ αὐτοῦ αἰδεσίμω ἑρμηνεῖ, οὐκ ἐμπνεῖν ᾤοντο; σχολιάζειν τὸν ἀρισοτέλη, τὸν τῆς φύσεως δαιμόνιον νοῦν ἔσιν ἑρμηνεύειν· τοῖς δὲ τῷ πλάτωνι ἀσχολουμένοις, τοῦτον θεῖον δεῖ ἡγεῖσθαι. τὸν γὰρ ἀνθρώπων βραχείας πραγματείας σχολιάζοντα, οὐκ ἔσι μὴ ἰλυγγιᾶν ἐν ἀπορίᾳ. ὡς ἀνδρῶν οὔσας ὅλων θείων, ὅσοι τοῦ κατ' αὐτοὺς αἰῶνας, αὐτὸ τὸ μόνον θαῦμα· ταῦτα καὶ περὶ ὕλης, ἣν οὗτοιγ' ἐδίδασκον, μᾶλλον ὡραίας καὶ ὑψηλῆς, καὶ γινώσκειν ἀναγκαίας· ἀλλὰ μετὰ Καρτεσίους, Νεύθωνας, Λεϊβνιτίους καὶ Ουολφίους, τῇ φιλοσοφίᾳ τὰς μαθηματικὰς ἁρμόσαντας, τὰ μέγισα ἐξακριβωθεὶς, ὁ τοῦ συλλογίζεσθαι τρόπος, τελελείωται.

Ζ. τῇ τῆς ἀληθείας προόδῳ οὐδὲν ἧττον ἐπιβλαβῆ τὰ τοῦ συςηματικοῦ πνεύματος· συςηματικὸν δὲ πνεῦμα νοῶ, οὐ τὸ τὰς ἀληθείας ἀλλήλαις ξυνδέον, ἵνα τὰς ἀποδείξεις ποιῆται· τοῦτο γὰρ ἂν εἴη, τ' ἀληθὲς φιλοσοφικὸν· ἀλλ' ὅγε σχέδια καταγράφον, συςήματα τοῦ παντὸς οἰκοδομεῖ, οἷς εἶτα, πρὸς χάριν, ἢ βίαν, τούτοις ἁρμόζειν σπεύδει τὰ φαινόμενα· τούτου δ' ἀξίας οὐδ' εὐαρίθμους εὑρήσει τις σκέψεις ἐν τῷ δευτέρῳ τόμῳ τῆς οὐρανίου ἱσορίας, κατὰ τὸν κύριον ἀββᾶν πλήσχιον, ᾧ πάνυ προαγαγόντι ταύτας ἑκάςῃ κρίσει τούτων ἀπαντᾶν, καὶ δυσχε-

ρὲς ἂν εἴη· ὃδ' ἀσφαλὲς ϗ μᾶλλον ἀξιέπαινον, ὁ τῆς τῶν ἐν παρυσίοις ἐπισημῶν ἀκαδημίας σκοπὸς, ὅς ἐςιν, ὁρᾶν, παρατηρεῖν, ἐν τοῖς αὐτῆς καταλόγοις τὰς παρατηρήσεις ϗ πείρας σημειȣ̃ν, ϗ τοῖς μεθ' αὐτὴν τὰ τῆς φροντίδος παραλείπειν, τέλειόν τι κατασκευάζειν σύςημα, ἱκανὴν τὴν περὶ τȣ́τȣ ὕλην συναγαγȣ̃σιν· ἀλλ' εἰ ϗ ποτε τοιόσδ' ἀφίκοιτο χρόνος, ȣ̃τος γεμὴν ἔτι ϗ πάνω πόῤῥω.

Τ' ἄρ' ȣ̃τως ἀντικείμενον τῇ τῆς ἀληθείας προόδῳ ποιȣ̃ν τὸ συςηματικὸν πνεῦμα, τȣ̃τό τοι πέφυκεν, ὡς τȣ̀ς ἐξευρεῖν τι τῶν συςημάτων, ὃ πιθανότητος ἔχεται, δοκȣ̃ντας, ἐκβάλλειν τῆς ἀπάτης ταύτης, ἀμήχανον· τὰ γὰρ ὁπωσȣ̃ν αὐτοῖς τȣ̃το βεβαιȣ̃ντα ξὺν ἔρωτι διατηρȣ̃σι κατέχοντες, τὰς ἐκ τȣ̃ ἐναντίȣ προτεινομένας αὐτῷ ἀνθιςάσεις, ἢ τȣ̃το διαιρέσει τῇ τυχȣ́σῃ ἀνασκευαζȣ́σας, ȣ̓δόλως μικρȣ̃ διαγινώσκοντες, ὡς μόνῃ τῇ τῆς αὐτῶν πραγματείας θεωρίᾳ ϗ ὑπολήψει, ἧς ἀπολαύσειν ἐλπίζȣσι, γαννύμενοι, κȣ̓δ' ἄλλο τι σκεπτόμενοι, ἢ τὴν αὐτοῖς πιθανὰς δόξας παριςῶσαν εἰκόνα τῆς ἀληθείας, ἧς πρὸ ὀφθαλμῶν αὐτοῖς παγείσης, τὰ ταύτης ἄλλα πρόσωπα, ὅσα τὸ ἐν αὐτῇ ψεῦδος ἀνακαλύπτει, ςερεᾷ θεωρίᾳ ϗ περιέργῳ νοΐ μελετῶσιν ȣ̓δέποτε.

Πρόσθες τȣ́τοις τάς τε προλήψεις ϗ τὰ πάθη, ὧν αἱ μὲν προκαταλαμβάνȣσαι μέρος τοῦ πνεύματος, τὸ λοιπὸν ἅπαν διαφθείρȣσι, τὰ δὲ πολυειδῶς ξυγχέοντα τὰς ἡμῶν ἰδέας, ἅπαντα μικρȣ̃ δεῖν, ὅσα γ' ἐν ταύταις εὑρίσκειν ἐφιέμε-

με-

μεθα, τ' ἀντικείμενα ὁρᾶν ἀεὶ παρέχεται, καὶ ταῦθ', ὅσα περὶ ἀληθείας αὐτῆς ἔχομεν, ὅτι πάνυ ἔνθερμα τυγχάνει.

## Περὶ ἔρωτος Φιλοσοφίας.

Υ'ποκειμένε ὁμοίως τῇ αὐτῇ ἀτοπίᾳ τοῦ ταύτης ἔρωτος, ἢ ϗ ὁ περὶ τῶν θείων τυφλὸς ζῆλος, ἀνακαινίζειν ἔδει τὰ ἤθη ϗ τὰ πάθη ἐκῤῥιζῦν, ὅτι πλειςάκις καταχρώμενος οὗτος, ϗ τὰ ἐν ἡμῖν πάθη τρέφων, παρασύρειν πῶς μᾶλλον ὡρισμένως, ἐφ' ὃ ἤδη πάνυ κλίνομεν, τῇ τῆς φύσεως ϗ κράσεως δυνάμει, ἱκανός· τὴν τῦ σοφῦ ςαθερὰν μεγαλοψυχίαν πνεόντων διακαῶς. κἂν ταῖς τῦ πνεύματος ἐσωτερικαῖς περικλειομένων δυνάμεσιν, ἐπάναγκες, ὃ τῇ τε τῦ ἐπικτήτυ ϗ τῶν ἄλλων ςωϊκῶν φιλοσοφίᾳ, ξυμβήσεσθαι ϗ τῇ ἡμετέρᾳ· ἐπὶ γὰρ τῷ μόνυς ἑαυτὺς φιλεῖν ψιλώτατα, ἤδε μεταβαλεῖ, χωρύσης τῆς τῶν ἡμετέρων συλλογισμῶν ἀκριβείας ἄχρι τῦ ϗ πάσης ἀρετῆς ἑαυτὺς ἀπογυμνῦντας, τῆς τῶν ἐν τῷ κοινῷ βίῳ χάριτος ἀποςερεῖν· τῶν ὐδαμινῶν ϗ ῥευςῶν ἀγαθῶν, τῦτε πλύτυ καὶ τῆς δόξης, μελέτῃ ἑαυτὺς ἀπομακρύνοντες, ὐδὲν ἀλλ' ἴσως τελῦμεν, ἢ τῇ αὐτῶν φυσικῇ νωχελείᾳ ἕπεσθαι· τὰς τῦ κόσμυ ταραχὰς ϗ τὰς τῶν πραγμάτων λεπτολογίας μισῦντες ἴσως, ὐδὲν ἄλλο ζητῦμεν, ἢ εὐλογοφανεῖς προφάσεις, ὅπως τύτων ἑαυτὺς ἀφαιρεῖν ἔχωμεν, τὴν αὐτῶν ἡδονὴν τῆς ἀμελείας ἡκιςάπυ προτιμῶντες.

Τοῖς πᾶσιδῆλον, ὡς, ἐσῶν τῶν παντὸς αἰῶνός τε ϗ γένες ἐργαστιῶν, ἀλλήλαις ἀεὶ συμμόρφων, τῶν ἀρχῶν τέτων ϗ τῆς κοινῆς ὀδε ἡ τῶν ἀνθρώπων φύσις μέχρι ϗ νῦν ἐκ ἀπέςη· ἡ φιλοδοξία, ἡ φιλαργυρία, ἡ φιλαυτία, ἡ ματαιότης, ἡ φιλία, ἡ γενναιότης, τὸ φιλόπατρι, ἀνέκαθεν ἦσαν, ϗ ἔτι εἰσὶν αἱ πάντων τῶν ἀνθρωπείων ἐγχειρημάτων πηγαὶ, ϗ τὰ πασῶν τῶν κατ' αὐτὲς ἐνεργειῶν ἐλατήρια· εἰδέναι βέλει τὰ φρονήματα, τὰς κλίσεις ϗ τὸν βίον τῶνθ' ἑλλήνων ϗ ῥωμάνων; τὴν κρᾶσιν ϗ τὴν πολιτείαν τῶντ' ἄγλων ϗ γάλων σπεδάσας, τὰς περὶ τέτης παρατηρήσεις ἐπ' ἐκείνες ἕξεις μετάγειν, ἐπάνυ τι ἀπατώμενος, ὅτι καινὸν, ἢ εἰδικόν τι περὶ ἐκείνων ἡ ἱςορία ἐ διδάσκει· ὅτως ἀληθὲς, ὡς ἀεὶ ϗ πανταχε ταυτὸν τ' ἀνθρώπειον γένος. τἐναντίον δὲ, ἡ τῆς ἱςορίας πρώτη ὠφέλεια, ἐςι τὰς τῆς ἀνθρωπείε φύσεως ςαθερὰς ϗ καθόλε ἀρχὰς ἀνακαλύπτειν, ἐν ἁπάσῃ καταςάσει ϗ γνώσει τε βίε θεωρεμένης· αἱ τῶν πολέμων, προδοσιῶν, διχονοιῶν ϗ ἀποςασιῶν διηγήσεις αὗται, τοσαῦται συναγωγαὶ τῆς πείρας, ὅσαι τὰς τῆς αὐτῶν διδασκαλίας ἀρχὰς τῇ τε ἠθικῇ ϗ τῷ ἠθικῷ φιλοσόφῳ ἱκαναὶ ἀποκαθιςᾶν, ὡς οἵ τε φυσικευόμενοι καὶ οἱ φυσικοὶ τὴν τῶν φυτῶν, τῶν ὀρυκτῶν ϗ τῶν ἄλλων ὑποκειμένων φύσιν γινώσκειν διδάσκονται· τὸ ὕδωρ, ἡ γῆ, ϗ τ' ἄλλα ςοιχεῖα πρὸς ἀριςοτέλες ϗ ἱπποκράτες ἐξετασθέντα, ἐδὲν μᾶλλον τοῖς καθ' ἡμᾶς ἐξομοιεῖται, ἢ οἱ πρὸς πολυβίε ϗ τακίτου καταγραφόμενοι ἄνθρωποι, τοῖς νῦν βιεσί τε ϗ ὁρωμένοις· εἰ τῶν ὁδοιπορέντων μακρόθεν ἐπανιώντις, γειτνιῶντάς τινας ἡμῖν ἱςόρει, πάντῃ

διαφόρους τῶν, οὓς γινώσκομεν, εἴτ' οὖν ἀφιλοδό-
ξους, ἀφιλαργύρους, ἀνεκδικήτους, χάριν μὴ εὑ-
ρίσκοντας, ἢ ἐν φιλίᾳ, τὴν γενναιότητα ϗ ἀ-
φιέρωσιν περὶ τῆς κοινῆς ὠφελείας τούτοις προσ-
θέμενος, οὕτως ὑπόπτους τούτους ἡμῖν ἂν ἐποίει,
ὡσεὶ κενταύρων ϗ δρακόντων ἡ τούτου διήγησις
ἔγεμεν.

Ἡ τὸν ἐπιδόντα σκεπτικισμὸν κυριωτέρα ϗ
μᾶλλον καταστρέφουσα ἀνθίστασις, τοιαύτη τις,
ὡς, ὅσωπερ ἂν ὅλαις αὐτοῦ δυνάμεσι ϗ νεανικό-
τησιν οὗτος ἐδράζοιτο, ἐπὶ διαμένουσάν τινα ὠφέ-
λειαν αὐτὸν ἐπανήκειν, τῶν ἀμηχάνων· ἐρωτά-
σθω, τίς, ἡ κατ' αὐτὸν πρόθεσις; ἅπασι τοῖς
αὐτοῦ περιέργοις τῶν ζητημάτων τί τὸ προκείμε-
νον; ἀπορῶν, ὅ, τι ἀπαντᾷν, οὐχ ἕξει· ὁ τὸ
τοῦ κοπερνίκου, ϗ ὁ τὸ τοῦ πτολεμαίου σύστημα δι-
δάσκων, τῶν τῆς ἀστρονομίας εἰδικῶν δογμάτων
ἑκάτερος προΐσταται, σταθερὰν ϗ διαμένουσαν ἀπό-
δειξιν τοῖς αὐτῶν ἀκροαταῖς χαρίσεσθαι ἐλπί-
ζοντες· οἱ δὲ στωϊκοὶ ϗ ἐπικούρειοι οὐχ ὅπως διαρ-
κεῖν δυναμένας ἀρχάς, ἀλλά, παρὰ τοῦτο, ϗ τῇ
πολιτικῇ ϗ ἠθικῇ ἐπιρρεούσας δραστικώτατα προ-
βάλλονται, ὅτε λόγον τῆς αὐτῶν φιλοσοφίας
οἱ πυρρωνικοὶ διδόναι οὐδύνανται, οὐθ' ὡς διαμένου-
σάν τινα ἐπίρροιαν αὕτη ἔχει τ' ἀνθρωπείῳ πνεύ-
ματι, οὐθ' ὡς, εἰ ϗ ταύτην τοιαύτην εἶχεν, ἦν
ὠφέλιμος· ξυγχωρητέον δέ, τοὐναντίον, εἴγε
δυνατόν τι ξυγχωρεῖν αὐτοῖς, ὡς, εἰ καθόλου ϗ
σταθερῶς ἐκράτουν ἐν τῷ κόσμῳ αἱ ταύτης ἀρχαί,
ἐπήγαγον ἂν τῇ ἀνθρωπείῳ ζωῇ τὸν ἔσχατον
ὄλεθρον· πάσης γὰρ συνουσίας ϗ ἐνεργείας εἴρ-
γουσαι τὸν ἄνθρωπον, τῇ ὁλικῇ ληθαργίᾳ τοῦ-

τον ἂν ἐνέθαπτον, ἐς' ἂν αἱ τῆς φύσεως χρεῖαι, ἃς ἤδ' ἐπιτελεῖν μὴ ἔχοι, τῇ τȣτ' ἀθλίᾳ ὑπάρξει πέρας ἐπιθῶνται· τῆς δ' ὅτως ἐπωδύνȣ καταςροφῆς, ἀληθὲς, μηδὲν ὑπάρχειν τὸ δέος, ὡς τῶν ἀρχῶν τȣτων κρατȣσης τῆς φύσεως· εἰδὲ ϗ δυνατὸν, ἵνα παριȣσαν ἔκπληξιν, ἢ πρόσκαιρον ταραχὴν ἑαυτῷ, ἢ τοῖς ἄλλοις ἐμβάλῃ ὁ πυῤῥωνισμὸς, ἀλλὰ τὸ τῆς αὐτȣ ζωῆς πρῶτον καὶ μᾶλλον τεττριμμένον ξυμβὰν, τὸ τὰς αὐτȣ ἀμφιβολλίας ϗ λεπτολογίας ἐφ' ἑκάςῃ πράξει, ἢ θεωρίᾳ, διασκεδάζον, τȣτον ϗ τȣς τῶν φιλοσόφων λοιπȣς, ὅσȣς τὰ τῶν ζητημάτων φιλοσοφικὰ μηδὲν ὅλως παρεμποδίζει, ἐν τῇ αὐτῇ καταςάσει ἐάσει· ὡς ἐξ ὀνειράτων τοίνυν ἤδη ἐξεγειρόμενος ὅτος, πρῶτον αὐτὸς ἑαυτȣ καταγελάσει, ὁμολογῶν, ἁπάσας τὰς ἀνθιςάσεις ταύτας μηδὲν ἀλλ' ὑπάρχειν, ἢ ψυχαγωγίαν τινα, οἷα τῶν ἀποτελεσμάτων ȣδὲν ἀλλ' ἐχȣσας, ἢ τὴν τῶν ἀνθρώπων, ὅσοι ἐνεργεῖν, συλλογίζεσθαι, πιςεύειν ὀφείλȣσι, ἄτοπον ἀντίφασιν ἐς φῶς ἐξάγειν, εἰ ϗ αἱ τȣτων πυκνώτεραι ζητήσεις ἱκανόν τι διδάσκειν περὶ τῆς τῶν πράξεων τȣτων ἀρχῆς, ἢ λύειν τινα τῶν ἀνθιςάσεων, ἃς ἐπὶ ταύταις δυνατὸν κατασκευάζειν, μὴ δύναιντο.

## Περὶ σώματος Φυσικȣ ϗ μεταΦυσικȣ.

Α'παν, ὅ, τι ἐκτατὸν ϗ ἀδιάβατον, τῇ δ' αὐτȣ φύσει μόνως παθητικὸν, ὡς μὴ ὅπως τῇ κινήσει, ἢ ἠρεμίᾳ, ἀδιάφορον, ἀλλὰ δὴ ϗ παντοίȣ σχήματος ϗ εἴδȣς δεκτικὸν, τοῦτο ἐςὶ σῶμα,

Αἰσθήσεσιν ἡ τῶν σωμάτων ὕπαρξις ἀνακαλύπτεται· ἐπεὶ ὅ, τε τῆς φύσεως δημιουργὸς, τούτου χάριν, ἡμῖν αὐτὰς ταύτας ἐδωρήσατο, καὶ αὐτὰ ταῦτ' ἄλλοθεν γινώσκειν, ἢ τὰς αὐτῶν ποιότητας κρίνειν, ἀμήχανον.

Ὑπὲρ τὰ τούτων ὅρια ἐκτείνειν αὐτὰς μὴ βουλομένοις, ἔστι διὰ τούτων ἀσφαλῆ γνῶσιν πορίζεσθαι· εὖ γὰρ διατιθεσμένων τῶν τ' ἀνθρώπου ὀργάνων, τοῖς ἐπὶ ταῦτ' ἐνεργοῦσι τῶν σωμάτων προσέχοντος, ἔστι τὴν αὐτοῦ ψυχὴν διαφόρους ἰδέας δι' αὐτῶν εἰς ἑαυτὴν ἐναποταμιευειν, ὅσαι τούτοις ἐνεῖναί τι, τὴν τοῦ ἐνεργεῖν τε καὶ ἀνθίστασθαι δύναμιν ἔχον, διδάσκουσαι, τῶν τοῦ σώματος ἰδιοτήτων πάντῃ διαφέρουσιν· ἐνυπαρχουσῶν γὰρ ἐκείνων τῇ διανοίᾳ, ταύτης ἐκτὸς αὗται διαμένουσιν, οὐδὲν ἄλλ', ἢ ἀφορμὴ, μᾶλλον δ' αἰτία, τῇ αὐτῶν παραστάσει τὰς ἰδέας διεγείρεσθαι.

Τοῖς τῶν αἰσθήσεων ὀργάνοις διχῇ ἐνεργεῖ τὰ σώματα, ἤτοι ἐμμέσως, ἢ ἀμέσως.

Α. ἀμέσως μὲν τῇ ἀφῇ, ἤτοι τούτων ἁπτομένῃ, ἢ ταύτῃ αὐτῶν ἐπικειμένων τε καὶ ἁπτομένων. Β. τὸν τῶν εὐχύλων σωμάτων χυμὸν, φέρε, τὸν τοῦ οἴνου γινώσκομεν, ὅτε, προσφερομένων ἡμῶν αὐτὸν τῷ στόματι, οὗτος τοῖς τε τῆς γλώττης καὶ τοῦ ὑπερῴου, ὀργάνων ὄντων τῆς γεύσεως, νευρώδεσι μαστοῖς ἀμέσως ἐνεργεῖ. Γ. ἡ τῶν ὀδμηρῶν αἴσθησις, ἐκ τῶν εὐωδῶν μορίων ἐγγίνεται ἡμῖν, ὅσα τῶν εὐωδῶν σωμάτων χωριζόμενα, κἂν τῇ ἀτμοσφαίρᾳ ἀνιπτάμενα, πνοῇ

τ' ἀέρος ἄχρι ϗ ῥινὸς ἀφικνεῖται, τὴν ὡρισμένην, ὅπως τὴν τέτων αἴσθησιν συνάγῃ ἡ ψυχὴ, φλεγματώδη μεμβράνην νύττοντα. Δ. τὰ μὴ ἀμέσως τοῖς τῶν αἰσθήσεων ὀργάνοις προσβάλλοντα, τῇ αὐτῶν διαφόρῳ ἀποςάσει, ὅδεν ἧττον ἐπὶ τέτοις ἐνεργεῖ τῶν μορίων λεπτοῖς τισι, τέτων ἀμέσως ἀποχωριζομένοις, ἢ δι' ἄλλων σωμάτων, ἐφ' ἃ ϗ διευθύνεται, ἐπὶ τὰ ἡμέτερα τῶν ὀργάνων παραπεμπομένοις· ὅτω τὰ τῶν σωμάτων φωτεινὰ, οἷάπερ, ὅ, τε ἥλιος ϗ ἡ φλοξ, ἡμῶν ἀφιςάμενα, τὰς αὐτῶν προακοντιζομένας ἀκτῖνας, ἐπὶ τὰς ἡμετέρας ὀφθαλμὲς ἀμέσως ἐπιςέλλετι· πολλάκις γεμὴν αὗται μὴ ἐπ' εὐθείας πρὸς τέτες διευθυνόμεναι, ἀλλ' ἐπὶ τὰ τῶν σωμάτων σκιώδη ϗ ἀντανακλαςικὰ προσπίπτεσαι, τῇ, ἧπερ ὑπόκεινται, ἀντανακλάσει ἐπ' αὐτὲς τέτες παραγίνονται, καταλύεσαι δὲ παρὰ τῷ ἀμφιβληςροειδεῖ, τὸ τῆς ὄψεως ὄργανον ἐκεῖ διατιθέασι, τῆς τῶν ἀντικειμένων ὁράσεως ἡμῖν μεσιτεύεσαι· διχῶς ὅτως ἐπὶ τὴν τῶν φωτεινῶν ϗ σκιωδῶν, οἷα τοιέτων θεωρεμένων, γνῶσιν ἀφικνήμεθα. Ε. τὰ τῶν ἐν ἡμῖν ὀργάνων ἀφιςάμενα, ἐπὶ ταυθ' ὡσαύτως ἐνεργεῖ παρενθέσει διαφόρων ἄλλων, μεταξὺ τέτων ἐνεργέντων ϗ τῶν, ἃ διατιθέασιν, ἡμετέρων ὀργάνων· ὅτω τὰ τέτων ἠχώδη, τῶν ἐν ἡμῖν ὤτων ἀπέχοντα, ἐπὶ τὸ τῆς ἀκοῆς ὄργανον ὅδεν ἧττον διὰ τ' ἀέρος, ἢ ὁτινοσῦν ἄλλε τῶν ῥευςῶν, ἐνεργεῖ.

Τὰ τῶν σωμάτωνγειτνιῶντα, ἢ πόρρω πε τυγχάνοντα, τοιῷδε ποικίλῳ τρόπῳ δυνατὸν ἡμῖν ἀεὶ γινώσκειν· τῇ γὰρ τῶν διαφόρων ὀργά-

νων

νων τέτων πεντάδι τὸν ἄνθρωπον τὸ θεῖον ἐκόσμησεν, ἵνα διὰ ταύτης, ὡς αὐτῷ πάντῃ οἰκείας, τὴν ἐκείνων ὕπαρξιν ἐπίςαιτο· ἥτε γὰρ πεῖνα ϗ τὸ δίψος τὰς τῶν ἐκτὸς ποιότητας κρίνειν μὲν ὔ, ἀναγγκέλλειν δὲ μόνον τὰς τῦ ἰδίυ σώματος χρείας, αὐτῷ διδόασιν.

Α῾παν, ὅ,τι ἐνυπάρχει τῷ σώματι, ὃ τῶν εἰρημένων πέντε ὀργάνων διατίθέναί τι, οἰκεῖον, ϗ τὴν τῆς αὐτῦ παραςάσεως ἰδέαν εὐθὺς τῇ ψυχῇ ἐνδιεγείρειν, ποιότης, ἢ ἰδιότης καλεῖται· ἡ σκληρότης, ἧς, ἁπτόμενοι, ἢ σιδήρυ τμῆμα πιέζοντες. αἰσθανόμεθα, τὸ ψῦχος, ὃ πειρώμεθα, τῇ αὐτῶν χειρὶ πάγυ τμῆμα ἐπιθέμενοι, ἡ πικρία, ἧς ἡ χολὴ παρέχεται τὴν αἴσθησιν, ἐμβαλλομένη τῷ ςόματι, κτ. ἰδιότητες τύτων τυγχάνυσι.

Ε῾ρευνῃ τῶν σωμάτων, ἁπάσας τὰς, ὅσας ἐν τύτοις καθορῶμεν, ἰδιότητας συνάγοντες, πλείυς τύτων ὡς ἅπασιν ἀνηκύσας, σημειῦμεν, οἷα ἀεί τε ϗ ἐν διαφόροις τῶν καταςάσεων, ἐφ᾽ ἃς δυνατὸν ταῦτα διήκειν, τύτοις ςαθερῶς ὀπηδύσας, γενικάς, ἢ καθόλυ, ταύτας ὀνομάζοντες, ἵνα τῶν ἄλλων διακρίνωνται, ἐκείνων κατηγορύμενα καλῦμεν.

Ταῖς δὲ τοῖς σώμασι μὴ ἀνηκύσαις, ἢ ἔν τισι τῶν περιςάσεων, εἴτ᾽ ἐν τοῖς μὲν, τοῖς δ᾽ ὔ, τὸ τῶν ἰδιοτήτων, ποιοτήτων, ἢ ξυμβεβηκότων ὄνομα δίδοται.

Α῾παν-

Ἅπαντα τὰ κατηγορȣ́μενα, αἱ οἱαιδήποτ' ἰδιότητες, τοῖς, οἷς ἀνήκȣσι, σώμασι, ϗ ἅγε συνιςῶσιν, ἐμπεριέχονται, ȣ̓μὴν δ' οἷα τοσαῦται διάφοροι ȣ̓σίαι, ὑφιςάμεναι, ἢ ὑφίςασθαι ἐν μέρει δυνάμεναι, ϗ τῷ αὐτῶν ἄθροισμά τι τὴν τȣ͂, ὥπερ ἔνεισιν, ἔκτασιν συγκροτȣ͂σαι, ἀλλ' ὡς ἑνὶ ϗ ταὐτῷ ὑποκειμένῳ, ὃ ȣ̓σία καλεῖται, ἔμφυτοι· καθ' αὐτὴν ἄρα θεωρȣμένη, τίποτ' ȣ̓σία; ἐναργῶς τε ϗ διακεκριμένως ταύτην κατανοεῖν μὴ ἔχοντες, (ἀμέσως γὰρ ϗ παρ' αὐτῆς ἐπὶ τῶν τῆς αἰσθήσεως ὀργάνων τινὶ ȣ̓δεμία τῶν ȣ̓σιῶν ἐνεργεῖ, ὡς πέρασιν ἐμπεριειλημμένη, ἃ τὴν τȣ͂ σώματος ἐπιφάνειαν περατοῖ), εἰ ϗ ὑπάρχειν ȣ̓σίας ἐν τῇ φύσει οἴδαμεν, ὅτι αἱ, ἃς γ' ἐν τοῖς σώμασιν ἀνακαλύπτομεν ἰδιότητες πάνυ τι ἀλλήλων διαφέρȣσι, τὸν γεμὴν σύνδεσμον, ὃς ταύτας ἀλλήλας ξυνάπτειν ἔχοι, πάντῃ ἀγνοȣ͂μεν· ἀλλὰ γὰρ, εἰ ϗ μεταξὺ, φέρε, τῆς ἐκτάσεως ϗ τῆς ἐν τῇ ἀδρανίᾳ δυνάμεως, τȣ͂ σχήματος ϗ τῆς βαρύτητος, τȣ͂ κινητȣ͂ ϗ τ' ἀδιαβάτȣ, ȣ̓δένα τοιȣ͂τον ὅλως ἀνακαλύπτομεν, ȣ̓χ ἧττον γεμὴν ἐπιςάμεθα, ὡς ἅπασαι αὗται ἐν τ' αὐτῷ ὑποκειμένῳ ἐνȣ͂νται· ἐξ ȣ̔ προφανῶς ἕπεται, ὑποςηρίγματός τι εἶδος, ὃ ταύτας ἁπάσας, ὅτῳ ποτ' ἂν ἀλλήλων διαφέρωσι, ξυνάπτει, ἢ ὤν, τȣ̓λάχιςον, βάσιν, ἢ περιοχὴν, αὐταῖς δεῖν τȣ͂θ' ὑπάρχειν.

Ταῖς καθόλȣ ἰδιότησι, ϗ ἑπομένως τοῖς τῶν σωμάτων κατηγορȣμένοις, ἐνάριθμοι, ἡ ἔκτασις, τὸ σχῆμα, ὁ ἀφορισμὸς, εἴτ' ȣ̓ν τὸ πανταχόθεν πεπερατῶσθαι, ἡ θέσις, ἤτοι τὸ κεῖσθαί πȣ, ἡ ςερεότης, ἡ ἀνδρανια, τὸ κινητὸν,

ἡ

ἡ ἠρεμία, ἡ βαρύτης, ἡ ἑλκυστικὴ δύναμις, ἡ ὤθησις, ἡ διαμονή, καὶ τέλος ἡ δημιουργία, ὧν ὅ, τιοῦν τούτων, οἷόν ποτ' ἂν εἶδος ᾖ, μέγα, ἢ μικρὸν, ὁμογενὲς, ἢ σύνθετον, στερεὸν, ἢ ῥευστὸν, ὥσπερ ἡ τούτων ἁπασῶν συνδρομὴ οὐκ ἐμφαίνεται, ἄμοιρον ἄχρι τήμερον οὐχ εὕρηται· ἢ καὶ οὐχ ἧττον ἀναμφισβήτητον, ὡς τούτων μόνην τινὰ ἀφαιρεῖσθαί τινος ἐκείνων οἵῳ δήποτε τρόπῳ, τῶν ἀμηχάνων.

Τοῖς τῶν, περὶ ὧν εἴρηται, κατηγορουμένων διαφόροις συντάττεται πλείω ἄττα, αὔξησιν, ἢ μείωσιν, πάσχοντα οὐδεμίαν, ὡς ἐν παντὶ καιρῷ καὶ περιστάσει ἀεὶ ταυτά· τοιαῦτα δ', ἡ ἔκτασις, ἡ στερεότης καὶ ἡ ἀδράνεια· μετροῦσα, φέρε, ποδιαία κυβικὴ ἔκτασις, τὴν σώματός τινος στερεότητα, ἡ αὐτὴ ἀεὶ διαμένει, οἷόν ποτ' ἂν ᾖ τοῦτο σχήματος, ἢ ὁπωσποτ' ἂν καὶ διαιρεθῇ· οὐκέτι δὲ τοιαῦται καὶ ἅπασαι αἱ τῶν σωμάτων καθόλου ἰδιότητες· πλείους γὰρ τούτων δίδονται, αἵπερ εἰ καὶ ἀεὶ ποτ' αὐτοῖς ἔνεισιν, οἵαποτ' ἂν ἐνῇ περιστάσει, οὐσιώδη μεταβολὴν μὴ πάσχοντα, αὐξήσεως γεμὴν, ἢ μειώσεως, οὐδὲν ἧττον αὗται δεκτικαὶ, κατὰ τὰς τῶν περὶ ταύτας διαστημάτων διαφόρους σχέσεις· τοιαῦται, φέρε, ἡ βαρύτης, ἡ ἑλκυστικὴ καὶ ὠθιστικὴ δύναμις· τὰς μὲν οἷα πρώτας, θεωροῦντες, τὰς λοιπὰς δευτέρας καλοῦμεν· κἀκείνων μὲν, ἡ ἔκτασις, ἡ ἀνθίστασις καὶ τὸ κινητὸν, αἱ δὲ τούτων πηγάζουσαι, ἃς καὶ δευτέρας ὀνομάζομεν, τὸ σχηματιστικὸν, τ' ἀδιάβατον, τὸ διαιρετὸν καὶ ἡ κίνησις.

Ταῖς τῶν σωμάτων ἰδιότησιν ἐνάριθμοι ἔτι, ἡ ἠλεκτρικότης, ἡ σκιερότης, ἡ διαφάνεια, ἡ ῥευστότης, ἡ σαθερότης, ἡ χρωματιστικότης, ἡ θερμότης, ἡ ψυχρότης, ἡ εὐχυλότης, ἡ ἀχυλότης, ἡ εὐωδεία, ἡ δυσωδεία, τὸ ἠχῶδες, τ' ἀνηχῶδες, αἷς προστίθεται ἡ ἐλαστικότης, ἁπαλότης, τραχύτης, κεφότης, κτ, ἔτω τοῖς σώμασιν ἀνήκεσαι πᾶσαι, ὡς ταύταις αὐτὰ κοσμεῖσθαι, ἢ ἀποκοσμεῖσθαι, τῇ ἐσίᾳ μηδὲν παραμειέμενα, ἐ δόλως ἀδύνατον.

Τῶν διαφόρων ἰδιοτήτων πεφύκασιν ἔτι καὶ ἅς, οἷα γενικὰς, θεωρεῖν πως δυνατὸν, τοῖς σώμασι, παρ' ὅσον ταῦτ' ἔν τινι καταστάσει, ἀνηκέσας· ταύτας δ' ὁ κύριος μαεπερτέιος ᾤετο, κἐδ' ἀνευλόγε, δεῖν τῶν ἄλλων διακρίνειν, οἷαι, φέρε, ἡ τοῖς ἄλλοις τῶν σωμάτων μεταδοτικὴ κινήσεως δύναμις, ᾗ πάντα χαίρει τὰ κινέμενα· ἡ διαίρεσις, ἥπερ, εἰ καὶ πᾶσι τοῖς ὁπωσὲν ἐκτατοῖς, ὡς ἐκπλειόνων συγκειμένοις μερῶν, ἀνέκει, ἐ μὴν δ' ἔτι καὶ τοῖς τῶν μορίων στοιχειώδεσιν, οἷς ξυντίθετ' ἐκεῖνα· τὸ πορῶδες, σχέσιν ἔχον πρὸς τὰ σώματα, ὅσα διαλειμμάτων εὐπορεῖ, ἐκέτ' ἀλλ' ἐν καὶ πρὸς τὰ ἐπ' ἀκριβὲς στερεὰ τῶν τῆς ὕλης στοιχείων. ὁμοίως ἡ τῦ δέχεσθαί τε καὶ κατέχειν ἐν αὐτοῖς τὰ μέρη χρένον τινα τὴν πυρώδη καὶ φωτοειδῆ ὕλην δύναμις, τοῖς τῶν σωμάτων ἐκτατοῖς ἀνατίθεται, εἰ καὶ μὴ τοῖς τέτων στοιχείοις· οἱ καθ' ἡμᾶς φυσικευόμενοι ἅπαντα τὰ τῶν σωμάτων μεγάλα ἀτμοσφαίραν λεπτῆς ὕλης ἀμφ' αὐτὰ ἔχειν ὑπειλήφασιν, ὧν ἡ τῆς δόξης ἀρχὴ ταῖς τῶν παρατηρήσεων ἑπομέναις ὀφείλεται· σημειῦντες γὰρ ἔτοι, τὸ μὲν τ' ἀνθρώ-

πε

πȣ σῶμα ἀνεπαισθήτῳ ἐκπνοῇ τινι συνεχῶς πȣριβάλλεσθαι, ἁπάσης τῆς τȣ̃δ' ἕξεως ἐξατμιζομένῃ, τὰ δὲ λείψανα περὶ αὐτὰ σκεδάζειν μιάσματα, τῶν διεφθορότων μερῶν αἱ ῥόμενα, καὶ τὰ φυτὰ ὀδμηροῖς περικυκλȣ̃σθαι τῶν μορίων, ἀτμοσφαίραν ἐκτάσεώς τινος ἀμφ' αὐτὰ συνισώντων, καὶ ἅπαντα τέλος ἑλκτικῇ τινι καὶ ὠθιστικῇ χαίρειν δυνάμει, ἅπασι τοῖς περὶ τὴν τȣ́των ἐπιφάνειαν παριςαμένῃ, τὰς δ' ἑλκυστικὰς καὶ ὠθηςικὰς τῶν δυνάμεων τȣ́των παράγεσθαι ἐκ περιέχοντός τινος ῥευςȣ̃, ȣ̃ τὰ τῶν μορίων λεπτότατα πάντα κραδαντικῇ καὶ πάνυ βιαςικῇ κινήσει πεποίκιςαι, δοξάζȣσιν· ἰδέα, ἣν ȣ̓́πω ἔτι ςερεᾷ βεβηκεία ἀποδείξει, ὡς ἀγνοȣ̃σιν, ἐφ' ὅτω ἅπασ' αἱ, εἴτ' ἑλκυςικαὶ, εἴτ' ὠθηςικαὶ, δυνάμεις ἑδράζονται, καὶ εἴγε πράγματι ἅπασιν ἔνεισι τοῖς σώμασι, καὶ ταῦτα τοῖς ἀτμοσφαίραις μὴ περιβαλλομένοις· ἀδυνατȣ́ντων γὰρ τῶν τῆς ὕλης ἐλαχίςων μορίων ἀφιπτᾶν τῆς αὐτῶν ȣ̓σίας βραχύτερα ἑαυτῶν, τὰ ταύτης λεπτότατα πρὸς λεπτοτέρου, ἢ κατ' αὐτὰ, ῥευςȣ̃ περιέχεσθαι, ȣ̓δὲν ἧττον ἀμήχανον· ἡ τῶν, ὡς ἠλεκτρικὰ, θεωρȣ́ντων ἅπαντα τὰ σώματα δόξα, μᾶλλον, ἢ κατὰ τὴν ἡγȣμένην, ȣ̓ κρατύνεται· ἡ γὰρ ἠλεκτρικὴ δύναμις τοῖς ἐκτάσεώς τινος σώμασι δύναιτ' ἂν, ὡς τὰ πολλὰ, ἁρμόζειν, ȣ̓χὶ δὲ καὶ τοῖς ἐν τῇ ὕλῃ βραχυτάτοις τῶν μορίων. ἄλλως τε μηδὲ τῆς πείρας πω ὁρισαμένης, ἅπασιν ἀεὶ τὴν δύναμιν ταύτην ἀνήκειν, καίτοι ςαθερῶς ἁρμόζȣσαν τοῖς πλείοσι.

Διαφερȣσῶν ἀλλήλων τῶν ἐν τοῖς σώμασι ποιοτήτων συνθέσει τῇ τȣ̃ μείζονος, ἢ ἐλάττονος, ἀριθμȣ̃ τῶν διαφόρων ἑτερογενῶν μορίων, ἢ ϗ ταὔτ᾽ ἔθ᾽ ὡσαύτως ἀλλήλων, εἴτε τῷ ἀριθμῷ, εἴτε ϗ τῇ, ᾗ ἀνήκει, διαφόρῳ τάξει, εἴτε καὶ τῇ αὐτῶν πρὸς ἄλληλα διαθέσει, διαφέρει, οἱ τῶν διαφόρων σχημάτων ὄγκοι, ϗ ἅπασαι αἱ διαφοραὶ, ὧν ἐν ῥιπῇ ὀφθαλμȣ̃ δυνατὸν δράττεσθαι, ἐντεῦθεν ἤδη προκύπτȣσι· ϗ γὰρ ȣ̓χ ὅπως φυτὰ, ἢ φύλλα, ἐνδρυμῶνι, ἀλλ᾽ ȣ̓δ᾽ ἀνθρώπȣς, ἢ ζῶα, δύω ἐν τῇ φύσει ȣ̓χ εὕρηται, πάντῃ ἐοικότα, ὡς ἀλλήλων μὴ διακρίνεσθαι, ὃ πάλαι ϗ οἱ ςωϊκοὶ, κατὰ κικέρωνα ϗ πλίνιον, ὡς ἄριϛ᾽ ἐσκέψαντο.

Τῆς τῶν ταυτοταγῶν μερῶν ἐπ᾽ ἀλλήλοις πολυτρόπȣ σωρείας, πάντῃ διαφόρȣ κατασκευῆς σώματα παράγεται· τὸ διαυγὲς ὕδωρ, ὃ τῶν ἁπλῶν τι δοκεῖ, ἐκ ταυτοταγῶν μερῶν σύνθετον, ἐνδοχείῳ συναγόμενον, ȣ̓δὲν ἄλλο, ἢ βαρύτι ῥευςόν· μεταβάλλον δ᾽ ἐς ἀτμȣ̀ς οἱᾳδήποτε μηχανῇ, πυκνήν τινα ϗ ψυχρὰν ἐν τ᾽ ἀέρι παρίςησιν ἐξάτμησιν, ἢ μᾶλλον ὕψȣ̃ αἰρομένη, ἐς νέφος μεταποιεῖται· ἑνȣ́μενα μὲν ἀλλήλοις πλείω ἄττα τῶν μερῶν τῶν δε ϗ καταπίπτοντα, τὴν βροχὴν συγκροτεῖ. ξυναπτόμενα δ᾽ ὑπὸ μικροτάτων ἐπιμηκῶν νηματίων εἶδος, τὴν χιόνα· παγȣ́μενα δὲ τῷ, ᾧ πειρᾶται, μεγίςῳ ψύχει, ϗ τῇ ἀτμοσφαίρᾳ ἐποχȣ́μενα, τὰς τȣ̃ ὕδατος ςαγόνας, ὧν δραττομένȣ τȣ̃ ψύχȣς, εἰς χάλαζαν αὗται μεταπήγνυνται· ἀναλυόμεναι ἅπασαι αἱ τῶνδε τῶν ȣ̓σιῶν διάφοροι, τὸ αὐτῶν πρῶτον εἶδος ἀναβάλλονται, ἐς ὕδωρ μεταβάλλȣ-

λυσαι· ὅθεν τῶν ἀπλυςέρων τύτων τις, ἣν γινώσκομὲν διάφορα εἴδη ϗ σχήματα ἐπιδέχεται, κατὰ τὴν μεταβολὴν, ἢ τῇ τῶν μερῶν τῶν δε διαθέσει ξυμβαίνει.

Διαφερόντων ἁπάντων τῶν σωμάτων, ὅσα ἐπὶ τό τῆς φύσεως τριτὸν γένος ἀνάγεται, ὐσιωδῶς μὲν ὔ, κατὰ συμβεβηκὸς δὲ μόνον, τὸ ὀρυκτὸν, ἤτοι, τὸ λιθῶδες, βάσις τῶν λοιπῶν. ὡς μὴ ὅπως ἡ γῆ, ἀλλ᾽ ἔτι δεῖ ϗ αὐτὸ τὸ ὕδωρ, ϗ τῶν ὐσιῶν πλείυς ἄλλαι, ὅσαι ταύτῃ ἀνήκυσιν, αὐτῆς ἐξατμιζόμενα, ἀρχὴ ϗ μέσον τῇ τῶν φυτικῶν αὐξήσει γίνεται· τρεφόςτων δ᾽ αὐτῶν τύτων τὰ ζῶα, τριβόμενά τε ϗ λεπτυνόμενα τ᾽ αὐτῶν διάφορα μέρη, εἰς τὰ τῦ ζώυ μεταβάλλει, ὖ φθειρόμενόν τε ϗ ἀναλυόμενον τὸ πτῶμα, ἐς γῆν ϗ ὕδωρ μεταποιεῖται, ϗ ἑπομένως ἐς ὀροκτὸν ἔτ᾽ αὖθις ἐπανήκει· τὰ φυτικὰ, ὅσα τῇ τῆς γῆς ἐπιφανείᾳ σήπεται, ἢ καίεται, εἰς τέφραν, γῆν ϗ ὕδωρ τρέπεται.

Πᾶσ᾽ ἄρα μεταβολὴ, ἣν δυςατὸν ξυμβαίνειν τοῖς σώμασι, τῷ μεγέθει, τῷ σχήματι, τῇ τῶν μερῶν τάξει, τῇ συναφείᾳ, τῷ τόπῳ, ὃν ταῦτα καταλαμβάνει, τῇ βαρύτητι, τῇ ἑλκυςικῇ ϗ κινητικῇ δυνάμει βέβηκεν.

ΟΥ' μετρίυς ἄχρι τήμερον οἱ φιλοσοφῦντες τὺς ἱδρῶτας κατέχεον, ἐφ᾽ ᾧ, εἴπως οἷόν τε, τρανῶς διαγινώσκειν, ἐφ᾽ ὅτῳ ἡ τῶν σωμάτων φύσις, εἴτ᾽ ὖν ἡ τύτων ὐσία, τὴν αὐτῆς ἕδραν ἴσχει· ἡ μέντοι τῦ προβλήματος τύτυ λύσις τῆς τῶν ὅρων, οἳ τῦτ᾽ ἐκτιθέασι, σημασίας ἤρ-

γηται· εἰ διὰ τοῦ ὅρου, φύσις, ὃ τὸ πρᾶγμα συγκροτεῖ ϗ τοῦτο τοιοῦτον καθίστησι, νοῶμεν, εἴτ᾽ οὖν τὴν ἀρχὴν, ἧς ἅπασ᾽ αἱ τούτου ἰδιότητες πηγάζουσιν, αὐτῷ τούτῳ ἀνήκουσαι, οἰκεῖον καθιστῶσαν, ἅπανθ᾽, ὅσα παράγει, προβάλλειν ἀποτελέσματα, ϗ δεκτικὸν ἁπασῶν τῶν, ὅσων ἐπιδέχεται, εἰδοποιήσεων, ἡ τούτου ἤδη οὐσία, αὐτῷ μόνῳ ἰδία τυγχάνει, τῶν λοιπῶν ἑκάστου τὴν αὐτῷ εἰδικὴν ϗ τῆς παντὸς ἄλλου ἑτεροειδοῦς διακεκριμένην ἔχοντος· ἡ ἄρα τοῦ χρυσοῦ, τῇ ἐννοίᾳ ταύτῃ, τῆς τ᾽ ἀργύρου, ἢ ξύλου, διάφορος· ταύτῃ ϗ ὁ ῥίζειν, ἐφ᾽ ὅτῳ ἡ τοῦ σώματος οὐσία ἑδράζεται, οὐκ ἂν ποτέ τις σχήσοι· τὸ γὰρ τὸν χρυσὸν συνιστῶν, ϗ τοῦτον παντὸς ἄλλου διαφορίζον, εἴτ᾽ οὖν τις, ἡ τῶν τούτου μερῶν σύστασις, τ᾽ αὐτῶν μέγεθος, τὸ σχῆμα, ἡ πρὸς ἄλληλα διάθεσις, ϗ ἑνὶ λόγῳ, ὅσαι διάφοροι τῶν ἀρχῶν ἐπὶ τὴν τούτου κατασκευὴν εἰσίασι, ϗ ἑπομένως, ὅθεν τ᾽ αὐτοῦ χρῶμα, τὸ εὐάγωγον, ἡ εἰδικὴ βαρύτης, τὸ λεῖον, τὸ ἁπαλὸν, ϗ ἅπασαι αἱ τῶν ἰδιοτήτων λοιπαὶ, ὅσας ἐν τούτῳ σημειοῦμεν, ἤρτηται, οὐδεὶς πω ἔτι ϗ νῦν οἶδεν· ἃ δὲ περὶ οὐσίας τῆς τούτου φαμὲν, ταὐτὰ ϗ περὶ τῆς παντὸς ἄλλου ῥητέον.

Οἱ τῶν φιλοσοφούντων ἐνδοξότεροι, διὰ τοῦ ὅρου, φύσις, ὃ τὸ ὑλικὸν ὂν συνιστᾷ, ϗ τοῦτο παντὸς ἄλλου, ὃ μὴ τοιοῦτον, διακρίνει, νοοῦσιν, εἴτ᾽ οὖν ὅπερ ἡ ἰδέα τὴν τῆς ὕλης συνεισάγει, ϗ ὅπερ ἅπαξ ὀλλυμένου, ὑφίστασθ᾽ ἔτι ϗ τὴν ὕλην ἀδύνατον· ζητοῦσι μὲν, ἐφ᾽ ὅτῳ ἡ τῆς ὕλης οὐσία ἑδράζεται, πρὸς θυμοῦ αὐτοῖς οὐδὲν ἄλλ᾽ ἐγένετο, ἢ εὑρεῖν τὸ ἐν τῇ τοῦ σώματος ἰδέᾳ

πρώ-

πρώτως καθορώμενον, ϗ ὅπερ ᾗ ἂν βάσις ϗ θεμέλιος ἁπασῶν τῶν, αἷς τῦτο χαίρει, ἰδιοτήτων· ἀνελίττοντες ἂν τὰς διαφόρες ταύτας ἰδιότητας, ἃς δυνατὸν ἀφαιρέσει χωρίζειν τῆς ἐκείνε ἰδέας, μηδὲν ὅλως παραμειεμένης, ᾠήθησαν τέλος, ὡς μόνη τοιαύτη ἰδιότης, ἣν τῆς αὐτῦ ἰδέας, ἥκιςα ὀλλυμένης, ἀφαιρεῖν, ἀμήχανον, ἡ ἔκτασις πέφυκε· ταύτῃ κἀντεῦθεν συνῆξαν τέως, ὡς τὸ τὴν τῆς ὕλης ἐσίαν συνιςῶν, ἥδε ϗ μόνη ὑπάρχει· ἔτω ξυνημμένης τῆς κατὰ ταύτην ἰδέας τῇ τῆς ὕλης, ὡς, τιθεμένης μὲν τῆς ἐκτάσεως, τίθεται ϗ τὸ ὑλικὸν σῶμα, αἰρομένης δὲ, ϗ τῦθ', ὡς τοιῦτον θεωρέμενον, αἴρεται.

Α. οἵας ποτ' ἂν ᾖ ἀγχινοίας ἡ δόξα αὕτη, ϗ ὅσε ποτ' ἂν ὕψες οἱ ταύτην κρατύνοντες συλλογισμοὶ, δυσχερειῶν πλῆθος ἐκ ἀπήλλακται· τῷόντι γὰρ, ἵνα τὴν τῆς ὕλης ἐσίαν ἡ ἔκτασις συνιςᾷ, τὴν τῆς ὕλης ἰδέαν θεωρῦσι, παρίςασθαι πρώτην ταύτην τὴν ἰδιότητα τῷ νοΐ, ἐκ ἀπόχρη, ἀλλ', ἐκτὸς τέτε, ϗ ἅπαν, ὅπερ, οἷα, ἐκτατῦ, ἀντιλαμβανόμεθα, ὑλικὸν ἐπιχρεὼν ὑπάρχειν, ὃ προδήλως ψευδές· ἀντιλαμβάνομαι γὰρ, φέρε, διαςήματός τινος, ἐκτάσεως, μεταξὺ τῶν, ὅσαπερ ἀλλήλων ἀφίςαται, τῦτο δ', ἢ αὐτη, ἐχ ὑλικά· ἐδὲ γὰρ, οἷα τοιέτων, τέτων ἀντιλαμβάνομαι.

Β. ἐχρῆν μὴ ἁρμόζειν, ἢ μόνῃ τῇ ὕλῃ, τὴν ἔκτασιν, ὅπερ ἐδὲν ἧττον ψευδές· οἱωδήποτε γὰρ αὐτὴ διαςήματι ἁρμόζει.

Γ. τέλος δ', οἷα ἀρχὴν ϗ θεμέλιον ἁπάντων τῶν κατηγορημένων ϗ ἰδιοτήτων, ὅσαπερ ἐν τῇ φύσει ἀνακαλύπτομεν, προσῆκε ταύτην θεωρεῖσθαι, ἀλλ' ἐν τῇ ὕλῃ τῶν ἰδιοτήτων ὀκ ἐναρίθμοι, ἃς τῆς ἀρχῆς ταύτης πηγάζειν, ἀμήχανον.

Ο' συλλογισμὸς, ὥπερ ἀποδεικνύειν οἱ φιλοσοφοῦντες σπεύδουσιν, ὡς τὴν τῆς ὕλης ὀσίαν ἡ ἔκτασις συνίςησι, πάνυ πόῤῥω τοῦ τοῦ τελείου, δι' οὗ ὁρίζοιτ' ἂν τὸ ζήτημα. εὑρεῖν γὰρ, εὐφυεῖ ὑποθέσει, ὡς τῶν ἰδιοτότων τοιαύτη τις ἐςὶν, ἡ τῇ διανοίᾳ πρώτως παριςαμένη, τὴν, ἧγε αὕτη ἀνήκει, ὑπόςασιν θεωρούσῃ, ϗ ἀφαιρέσει τῶν ἄλλων, ὅσαι ταύτῃ ἁρμόζουσι, τὸ καθ' αὑτὸ ὑφιςάμενον, ϗ αὐτῆς ἰδέαν τινα λεῖπον, κανονικώτατα συνάγειν διὰ τῶνδε, ὡς ἥδε τὴν τῆς ὑποςάσεως ὀσίαν, περὶ ἧς τὸ ζήτημα, συνίςησιν, ὀκ ἔνεςιν· ὁμολογῶν γὰρ, ὡς τῷ νοΐ πασῶν τῶν ἄλλων, πλὴν τῆς ἐκτάσεως, τὸ σῶμ' ἀπογυμνῶ, συγχωρῶν, φημὶ, ὡς μόνη ἡ τῆς ἰδιότητος ταύτης ἰδέα τὴν τῆς ὕλης χορηγεῖν δυνήσεται, συλλογισμὸν ἀντικαθίςημι τὸν ἴσον, ᾧ ῥᾷςον ἀποδεικνύειν, ὡς ϗ πᾶσα ἄλλη τούτων τὴν ἐκείνης ὀσίαν συνιςᾶν ἐπίσης ἕξει· τωὸντι δὲ θῶμεν, ὡς, κλείων τοὺς ὀφθαλμοὺς, ϗ τῇ χειρὶ βαρείαν σφαίραν ἐπιτιθέμενος, πρῶτον διὰ τῆς ἐν αὐτῇ βαρύτητος, σῶμά τι ἔχειν ἐπὶ ταύτης αἰσθήσομαι, ϗ ἐσαεὶ ἐρῶ, ὡς τοῦθ' ὑφέςηκεν, ἐφ' ὅσον ἂν τῆς ἐν αὐτῇ βαρύτητος αἰσθάνωμαι. θῶμεν αὖ σὺν τοῖς μηχανικοῖς, ἅπασαν τὴν ταύτης βαρύτητα ἐπὶ τὸ ἐν αὐτῇ κέντρον ἐφ' ἓν ἀθροίζεσθαι, ἀφιςῶντες αὐτῆς ἤδη πάσας τὰς

ἄλ-

ἄλλας, ὅσας αὐτῇ δυνατὸν ἀνήκειν, πλὴν τῆς βαρύτητος, τὴν τῦ σώματος ἰδέαν ὐδὲν ἧττον ἔτι τηρήσομεν· τῆς γὰρ, ἣν ἐκείνη ποιεῖται τῇ χειρὶ, πιέσεως ἔτ' αἰσθήσομαι· ἐπεὶ ἐντεῦθεν, ὡς ἐπὶ τῆς ὑποθέσεως ταύτης, τὸ τῷ νοΐ πρώτως παριςάμενον, καὶ τῶν ἄλλων ἀνεξαρτήτως ὑφιςάμενον, τῇ δὲ διανοίᾳ τὴν τῦ σώματος ἰδέαν ποιῦν ἐμφύεσθαι, ἡ βαρύτης τυγχάνει. ἰδέα, ἣν, ἀναιρυμένης τῆς ἐν τῇ ἀνάχεῖζας ὑποθέσει βαρύτητος, παυτόμεθα ἔχοντες· οἷόντ' ἄρα συνάγειν διὰ τῦ συλλογισμῦ τύτυ, ὡς ἡ τῆς ὕλης ὐσία τῇ ταύτης βαρύτητι βέβηκεν, ὃ πρότασις, πάντῃ ψευδὴς, ὡς τὴν ταύτης ἀλήθειαν ὐκ ἄντις ἀποδεικνύειν δύναιτο, τὰς πλείυς τῶν ταύτης ἰδιοτήτων, οἷαίπερ, ἡ ἔκτασις, ἡ ςερεότης, ἡ ἀδράνια, τὴν αὐτῶν ἀρχὴν τῇ βαρύτητι, καταvοῶν, μὴ ὀφείλειν· ταυτά τοι καὶ τὸ ψευδὲς τῦ συλλογισμῦ, τῦ ὁρίζοντος, ὡς ἡ τῆς ὕλης ὐσία ἐρείδεται τῇ ἐκτάσει, ἐντεῦθεν συνάγει· καὶ περὶ ἁπασῶν ἄρα τῶν ἄλλων γενικῶν ἰδιοτήτων τῦ σώματος ἔςι κατὰ ταυτὰ συλλογίζεσθαι. Β. ἀποδέδεικται ἤδη, ὡς ὐχ ὅπως τῇ ὕλῃ, ἀλλὰ καὶ τῷ διαςήματι, ἀνήκει ἡ ἔκτασις. Γ. ἡ ςερεότης, ἡ ἀδράνια, ἡ κινητότης, καὶ πλείυς ἄλλαι τῶν ἰδιοτήτων, ὅσαι τῇ ὕλῃ ἁρμόζυσιν, ὐκουν ἧπυ τῆς ἐκτάσεως ἤρτηνται, ὅπερ ἀπαρχιτήτως ἀναγκαῖον ἦν, ἐφ' ᾧ τις, ἣ ὐσίαν τῆς ὕλης ταύτην θεωρεῖν δύναται, κατὰ τὴν τῶν μαθηματικῶν μέθοδον, οἳ τῆς τῦ τριγώνυ καὶ κύκλυ φύσεως ἁπάσας τὰς, ἃς ἐν τοῖς σχήμασι τοῖς δε ἀνακαλύπτυσιν, ἰδιότητας ἀρτῶσιν·

Αἱ τῶν δοξῶν λοιπαὶ, ὅσαι τὴν τῆς ὕλης ȣσίαν ἑδράζȣσιν, ἐπὶ τῇ τῆς ςερεότητος ἐκτάσει, τῇ τῆς ἀδρανίας δυνάμει, τῇ τῶν μερῶν πληθύϊ, κτ. ταῖς αὐταῖς δυσχερείαις ὑπόκεινται· πηγάζειν γὰρ, ἢ ἀρτᾶσθαι, τὰς τῆς ὕλης λοιπὰς ἰδιότητας τῶν, ἐφ᾽ αἷς βȣ́λοντ᾽ ἐρείδειν τὴν ταύτης ȣ̓σίαν, ἀμήχανον.

Οὕτως ἄρα, εἴτε τὸ τὴν ȣ̓σίαν τῶν σωμάτων συνιςῶν, μία τις ϗ μόνη εἴη ἀρχὴ, εἴτε ϗ τῆς πλειόνων συνδρομῆς ἡ τȣ́των φύσις ἤρτηται, ὁμολογεῖν δεῖ, τȣ́τȣ τὴν ἡμῶν διάνοιαν μηδόλως ἐφικνεῖσθαι, ὡς, ἐφ᾽ ὅτω ἡ τῆς ὕλης ȣ̓σία ἕδρασαι, τοῖς ὅλοις ἀπορȣ́ντων· ὥσης ἄρα μυςηρίȣ τῆς αὐτῶν φύσεως, κατανοεῖν, ὅπως πλείȣς τῶν ἰδιοτήτων, ἃς ἐν τȣ́τοις ἀνακαλύπτομεν, ἅμα ὑπάρχειν δύνανται, ἢ ὅςις ὁ σύνδεσμος, ὃς ταύτας ξυνδεῖ, ἢ ὅπως αἵδ᾽ ἐν αὐτοῖς ὑφίςανται, ϗ τῶν πάντῃ ἀνεφίκτων.

Αἱ ἰδέαι, ἃς μέχρι τȣ̃δε περὶ σωμάτων ἐπορίσαντο οἱ ἄνθρωποι, πάνυ ςενοῖς τῶν ὁρίων ἐμπεριέχονται· ἄλλως γὰρ, ἢ αἰσθήσεσιν, ἐξετάζοντας, ταῦτα γινώσκειν, ϗ ἑπομένως τὰς αὐτῶν ἐννοίας ὑπὸ τὰς τȣ́των ἐπιφανείας διαβιβάζειν, ἐν τῇ αὐτῶν ἐσωτερικῇ οἰκοδομῇ τε ϗ κατασκευῇ ὑπεισδύοντας, ἀδύνατον· τῳόντι δὲ, ἡ ὅρασις ȣ̓δὲν πλέον, ἢ τὰς αὐτῶν ἐπιφανείας ϗ τὸ τȣ́των ἔξωθεν παριςάμενον, ἀνακαλύπτει. ἡ ἀφὴ μόνην τὴν αὐτῶν ἐπιφάνειαν ἀντικείμενον ἔχει· ἤτε γεῦσις ϗ ἡ ὄσφρησις τὸ ἑαυτῶν ἐλατήριον περαιτέρω ταύτης ȣ̓κ ἐκτείνȣσι· τί δ᾽ ἡ τȣ́των ἐπιφάνεια ἑαυτῇ ἐμπεριέχει; τίς ἡ τ᾽ ἀτό-

τόμȣ ἐσωτερικὴ κατασκευή; ϗ ὅ,τι αἱ τοῖς ἡμετέροις ζητήμασι παριςάμεναι ἐπιφάνειαι ἑαυταῖς ἐμπεριέχȣσι; εἴη ἄν, ὃ, τὴν τȣ͂ σώματος ȣ̓σίαν συγκροτȣ͂ν, τὴν τȣ͂θ᾽ ὕπαρξιν κατασκευάζει; ἀποφαίνεσθαί τι περὶ τȣ́των, τῶν ἀμηχάνων· ἰδέαν γὰρ τȣ͂ τȣ́τῳ ἐμπεριεχομένȣ ἔχειν, ȣ̓κ ἔνεςιν· ὁ γὰρ τῆς φύσεως δημιȣργὸς τῇ ἡμῶν αὐτῶν διανοίᾳ ȣ̓χ ὑποβάλλει, πλὴν εἰ μὴ μόνον τὸ ἔξωθεν, εἴτ᾽ ȣ͂ν εἶμοι ȣ̔́τω λέγειν ἐφεῖται, ȣ̓δὲν ἄλλο ξυγχωρεῖ, ἢ μόνον τὸν περὶ ταῦτα φλοιὸν ἐπίςασθαι, ὃς ἅπασαν τὴν ἐκείνȣ ȣ̓σίαν ἑαυτῷ ἐμπεριειλίει, τῶν ἡμετέρων ἰδεῶν βραχύ τι ὑπὲρ τȣ͂τον μὴ δυναμένων ἄλλως ἐκτείνεσθαι, ἢ συλλογισμῷ, ὃν περὶ τῶν φαινομένων, ὅσα τοῖς ἡμετέροις παρίςαται ζητήμασι, δυνατὸν ἡμᾶς ποιεῖσθαι· τὴν ἐσωτερικὴν ὑφὴν, τὴν κατασκευὴν, τὸ ὑπὸ τὴν ἐπιφάνειαν, ἢ τὴν αὐτῶν ἐξωτερικὴν ȣ̓σίαν περατοῖ, ἐνδομυχȣ͂ν, ἐρεῖ τις, διαφέρον τι τȣ͂ ἐπὶ τῇ τȣ́των ἐπιφανείᾳ φαινομένȣ τυγχάνειν; προπετής γε ϗ ἀθεμελίωτος ἡ πρότασις· τὸ γὰρ ἔσωθεν αὐτῶν τῶν ἡμετέρων ἐννοιῶν πάντη ἀφῄρηται· χωρὶς δὲ τȣ́των, ὑπάρχειν ἱκανὴν τῇ τȣ͂ σώματος κρίσει τὴν τῆς ἐπιφανείας γνῶσιν ἀνέφικτον· ὡς ἡ μὲν διχῇ διαςατὸν, τὸ δὲ τριχῇ· περατȣ́σης ἐκείνης ϗ περιγραφȣ́σης, τὰς τȣ́τȣ περιεχομένȣ ϗ περιγραφομένȣ διαςάσεις πρὸς τῶν ἐκείνης κατασκευάζεσθαι, ἀμήχανον· ὡς τȣ́των περιεχȣσῶν, περιεχομένων δ᾽ ἐκείνων. εἰ ȣ͂ν τῶν τȣ́τȣ διαςάσεων πρὸς τῶν ἐκείνης κατασκευάζεσθαι, ἀδύνατον· ἔτι δὲ, αὐξȣ́σης διαιρέσει τῆς τȣ́τȣ ἐπιφανείας, ἡ αὐτȣ͂ ςερεότης ςαθερῶς ἡ αὐτὴ διαμένει.

Ἀποδεικνύειν, κατά τινας τῶν φιλοσοφούντων, ὡς ὑπάρχει σώματα, ἀδύνατον· ὅρα γὰρ, φασὶ, τἀπιχειρήματα, οἷς κατανοεῖν τουτὶ ῥᾷστον.

Γινώσκοντες πρῶτον, ὡς ἔχομεν αἰσθήματα, εἶτα δ' ὡς αὐτὰ ταῦθ' ἡμῶν οὐ δόλως ἤρτηται, συνάγειν ἐντεῦθεν δυνάμεθα, ὡς τὴν τούτων ἀπόλυτον αἰτίαν, τὴν ταῦτ' ἐν ἡμῖν παράγουσαν, οὐχ ἡμᾶς αὐτοὺς, ἀλλ' ἄλλην τινα δέον ὑπάρχειν· εἰδότες ὁμοίως, ὡς μὴ μόνοι ἡμεῖς αὐτοὶ ὑπάρχομεν, ἀλλὰ καὶ ἕτερ' ἄττα, κρίνομεν, ὡς τὰ τῶν ἐν ἡμῖν αἰσθημάτων αἴτια εἰσὶν, ὅσα πράγματι ἐκτὸς ἡμῶν ὑφέστηκε, τοῖς τῷ νοΐ παριςαμένοις ὅμοια, ταύτῃ ἄρα καὶ ὑπάρχει σώματα· διϊσχυριζόμενος ὁ καθηγητὴς Κλάρκιος, ὡς ὁ συλλογισμὸς οὗτος, οὐχ ὁ τῆς τοῦ ὑλικοῦ κόσμου ὑπάρξεως ἀποχρῶν λόγος, προςίθησιν, ὡς ἅπασαι αἱ ἀποδείξεις, ὅσας δυνατὸν ἔχειν, τῷ ἀπιθάνῳ ἐρείδονται, ξυγχωρεῖν τὸ θεῖον, τὰς, ἃς ποιούμεθα, τῶν ὄντων κρίσεις, ἁπάσας ψευδεῖς τυγχάνειν· φάσκουσι δ' ἐκείνοις, ὡς, εἰμὴ ἦν σώματα, τὸ θεῖον, ὃ τὰ τούτων φαινόμενα παρίστησιν ἡμῖν, εἶπετ' ἂν ἡμᾶς ἀπατᾷν· ὅ, τι τούτοις οὗτος ἀπαντᾷ, ὅρα. "ἀπατᾷν „ ἡμᾶς τὸ θεῖον, πρόδηλον, ὡς ἀδύνατον· καὶ „ γὰρ ἐν ἑκάςῃ ἂν ἠπάτα ςιγμῇ, εἰμὴ ἦν σώ„ ματα. ὑπάρχει ἄρα, σώματα· ἀποφάσ„ κειν μέντοι τὴν τούτου ἐλάσσονα, κατά τινας, „ πάνυ πρόχειρον.

Τῷόντι δὲ, εἰ καὶ δυνατὸν ἦν ὑπάρχειν ὡσαύτως ἐκτὸς τοῦ νοῦ σώματα, εἴτ' ἂν ςερεὰς, ἰσ-

χη-

χηματισμένας, κτ. ὑποςάσεις, ϗ ταῦτα ταῖς, ἃς ἔχομεν, ἰδέαις τῶν ἐκτὸς ἀνάλογα, πῶς ἂν αὐτὰ διὰ τέτων γινώσκειν δυναίμεθα; τὴν τέτων γνῶσιν, ἤτοι αἰσθήσεσιν, ἢ λόγω, ἐχρῆν ἔχειν· ἀλλ' ἐκείναις μόνην τὴν τῶν ἐν ἡμῖν αἰσθημάτων ϗ ἰδεῶν γνῶσιν ἔχομεν, ἅπερ ἐδόλως ἡμῖν ἀποδείκνυσιν, ὡς αὐτὰ ταῦτα ἐκτὸς τῦ νῦ, οἵων ϗ ἀντιλαμβανόμεθα, ὑφίςαται· εἴπερ ἄρα τὴν τῶν ἐκτὸς ὕπαρξιν ἐγινώσκομεν, ἐχρῆν ἡμᾶς βεβαιῦν, μετὰ τὴν τῶν αἰσθήσεων ἀντίληψιν, τὸν λόγον αὐτὸν· ἀλλὰ τὴν τέτων ὕπαρξιν ἐκτὸς τῦ νῦ πῶς ἕτος ἀποδείξει- μεταξὺ γὰρ τῶν ἡμετέρων ἰδεῶν ϗ τῆς ὕλης ὑπάρχειν συνάφειαν τινα, ϗ αὐτοὶ ἔτοι οἱ ταύτης προςάται, τῦτ' ἀποφάσκυσι· δι' ἑκατέρων ἄρα τέτων ὁμολογῦσι τῷ ὄντι, (ϗ τῦτ' ἀπόδειξις, σαφὴς αὐτοῖς, ὃ ϗ τοῖς ἐνυπνιαζομένοις, φρενητιῶσι, μαινομένοις ϗ ἐξεςηκόσι), ὡς, εἰ ϗ μηδὲν ὑπῆρχε τῶν ἐκτὸς, ὅσα ταύταις ὅμοια, ἁπάταις γεμὴν ταῖς, ἃς ἔχομεν, ἰδέαις δυνατὸν διατίθεσθαι· κἀντεῦθεν ἔτι πρόδηλον, ὡς ἡ τῶν ἐκτὸς ὑπόθεσις πρὸς παραγωγὴν τῶν ἐν ἡμῖν ἰδεῶν, οὐκ ἀναγκαία· εἴπερ ἄρα κρίνειν, ὡς ὑπάρχει σώματα, ἄλογον, τῦθ' ἡμέτερον ἔλλειμα, ὅτι τὸ θεῖον τὴν αὐτῶν κρίσιν αἰωρεῖν, οἷα μέσον, ἡμῖν ἐχαρίσατο. ὅρα ἔτι, ὅτι, περὶ τέτυ ἐν ταῖς τῆς ἀνθρωπίνης γνώσεως ἀρχαῖς, ἀπαντᾷ ὁ βερκλέγος.

„ Τὴν τῶν ἐκτὸς σωμάτων ὕπαρξιν ξυγχω-
„ ρύντων ἡμῶν τοῖς ὑλίςαις, ϗ ἔτοι αὐτοὶ, κατ'
„ αὐτὺς, ὅπως παράγονται αἱ ἰδέαι, ἐδέν τι
„ μᾶλλον εἴσονται· ὅπως γὰρ δυνατὸν τῷ νοῒ

„ ἐνερ-

„ ἐνεργεῖν σῶμά τι, ἢ τούτῳ ἰδέαν τινὰ ἐντυποῦν,
„ καὶ οὗτοι αὐτοὶ ὁμολογοῦσιν, ὡς κατανοεῖν, ἀμή-
„ χανον· τὴν ἄρα τῶν ἰδεῶν καὶ αἰσθημάτων πα-
„ ραγωγὴν ἐν τῷ ἡμετέρῳ νῷ ὑπάρχειν τὸν λό-
„ γον, ᾧ τὰ σώματα, ἢ τὰς σωματικὰς ὑπο-
„ στάσεις, ὑποτιθέμεθα, ἀδύνατον· ὡς μηδὲν
„ ἧττον ἐν ταύτῃ, ἢ τῇ ἀντικειμένῃ ὑποθέσει,
„ τοῦτ᾽ ἀνερμήνευτον. διὰ βραχέων, εἰ καὶ εἴχο-
„ μεν ἐξωτερικὰ σώματα, γινώσκειν μέντοι, ὅ-
„ πως ταῦτα γινώσκομεν, ἦν ἂν ἀδύνατον· καὶ
„ εἴγε μηδὲν ὅλως τούτων εἴχομεν. ἀλλὰ, διὰ
„ τὸν αὐτὸν λόγον, δυνατὸν ἦν λογίζεσθαι,
„ ὡς ταῦθ᾽, ἅπερ ἤδη ἔχομεν, ὑπάρχει.

„ Ἀνελίττειν ἐνταῦθα βραχύ τι τὰς αἰτίας,
„ αἷς τὴν τῶν ὑλικῶν ὑποστάσεων ὕπαρξιν ὑπο-
„ τιθέναι βιαζόμεθα, οὐκ ἀνωφελές· παύσας
„ γὰρ οὕτω ταύτας, καὶ βαθμηδὸν αἱρομένας ὁ-
„ ρῶντες, τῆς ἀληθείας ἡμᾶς ἀφαιρούσας, ταύ-
„ τας παραιτεῖσθαι σχήσομεν· οἰομένοις δὴ πρῶ-
„ τον, τὸ χρῶμα, τὸ σχῆμα, τὴν κίνησιν, καὶ
„ τὰς λοιπὰς τῶν αἰσθητῶν ποιοτήτον πράγματι
„ ἐκτὸς τοῦ νοῦ ὑφίστασθαι, ταύτῃ καὶ τῶν ὑποστά-
„ σεων, ἢ τῶν μὴ συλλογιζομένων ὑποκείμενόν
„ τι, ἐν ᾧ αὗται ὑφεστήκασιν, ἀναγκαῖον δο-
„ κεῖ ὑποτίθεσθαι· κατανοεῖν γὰρ, ὡς παρ᾽ αὐ-
„ τῶν αὗται ὑπάρχουσιν, οὐχ οἷόν τε· πειθόμε-
„ νοι δ᾽ εἶτα, τὰ χρώματα, τοὺς ἤχους, καὶ τὰς
„ δευτέρας καὶ αἰσθητικὰς λοιπὰς τῶν ποιοτήτων
„ τὴν αὐτῶν ὕπαρξιν ἐκτὸς τῆς διανοίας μὴ ἔ-
„ χειν, ἐκεῖνο τούτων ἐκδύομεν, μόνον τὰς πρώ-
„ τας, οἷα, τὸ σχῆμα, ἡ κίνησις, κτ. ἃς ἀεὶ

ἐκ-

„ ἐκτὸς τῦ νῦ ὑφίςασθαι, ϰ̀ ἑπομένως ὑλικῦ
„ τινος δεῖσθαι τῶν ὑποςηριγμάτων, ἐννοῦμεν,
„ τῦτω παραλείποντες· ἐπεὶ δ᾽. ἀδύνατον, (ὁ
„ βερκλείυιος ἀεὶ διαλέγεται), ἵν᾽ αὐτῶν τις
„ ἄλλως ὑπάρχῃ, ἢ ἐν τῷ νῷ, ὅς αὐτῶν ἀν-
„ τιλαμβάνεται, ἕπεται, ὑποτιθέναι τὴν τῆς
„ ὕλης ὕπαρξιν, μηδένα λόγον ἔχειν.

Οἱ μὲν, κατὰ βερκλέυιον, ἰσχυρώτεροι λόγοι, ὗτοι· προςίθησι δ᾽ ὁ Λεϊβνίτιος, τὰς τῶν σωμάτων ἰδιότητας, τοιαύτας, οἵων ἀντιλαμβανόμεθα, ἐξετάζυσιν, ἀντίφασιν ἡμῖν ἄυται δοκῦσι περιέχειν· ἔροιτο γὰρ ἄντις, πόθεν ξυντίθεται ταῦτα; ζητήτωσαν, οἷαν ἄν ποτε καὶ βὔλωντ᾽ ἀπάντησιν τῷ ζητήματι, ἄλλην, ἢ τὴν, ὡς πὰρ ἐλασσόνων ἄλλων, ὐχ εὑρήσυσιν· ἀλλ᾽ ἠδ᾽ ὐκ ἀπάντησις, ὡς λειπομένης ἀεὶ τῆς ἀυτῆς δυσχερείας· ὅ, τι, ἔροιτ᾽ ἄντις ἀυθις, ὃ τὸ σύνθετον σῶμα κατασκευάζει; δοκεῖ δ᾽, ὡς ἐφ᾽ ὃ μηκέτι σῶμα, ἐχρῆν ἀφικνεῖσθαι, ϰ̀ ὅμως, ὃ τὸ ὁρώμενον συγκροτεῖ, ὑπάρχειν· ἀλλ᾽ ὅπως δυνατὸν τῦτο; τὴν αὐτὴν ἀνθίςασιν ϰ̀ περὶ τῆς ἐν τῇ σκληρότητι αἰτίας, ἣ τ᾽ ἀδιαβάτῳ πλησιεςέρα, δυνατὸν ποιεῖσθαι· αἱ τῶν ἰδιοτήτων δύω ἆυται, καθὰ δὴ ϰ̀ ἡ τῆς ὕλης κίνησίς τε ϰ̀ διαίρεσις τῶν δυσκολιῶν ὐ ταῖς τυχῦσαις ὑπόκεινται· τὴν γεμὴν τῶν σωμάτων ὕπαρξιν, ὡς πρὸς τὰ ἐν ἡμῖν αἰσθήματα, δοξάζειν, τοιαύτη τις, ῥοπὴ, ὡς τὸν ταύτην, ὖσαν ἴσως, τῶν ἐπιχειρημάτων τὸ ἰσχυρώτατον, ᾧ δύναιτ᾽ ἄντις ἐκείνην ἀποδεικνύειν, πρὸς θεῦ ἡμῖν ἐγγίνεσθαι, τῶν ἀνοήτων ὑπάρχειν, μὴ ἐνδόντα· ἤτω τὴν τύτων ὕπαρξιν ἐς ἀληθῆ ἀμφιβολίαν ὐδεὶς πώποτ᾽

ποτ' ἀνεκαλέσατο· ἡ μὲν τȣ̃ Βερκλευίȣ δόξα, ἥδε ἐν τῇ πραγματείᾳ, ἧς ἡ ὑπόσχεσις, διάλογοι Χίλȣ πρὸς Φιλόνοον, ἐκκειμένη, ἐς τὴν γαλίδα παρ' ἀγχινȣςάτȣ, ὑψηλȣ̃ ϗ βαθέως τινος μεταφυσικȣ̃ μεθηρμήνευται· ἐν δὲ τῶν διαλόγων τῶνδε τινι, ἐς τὰ μάλις' εὐφυὴς, ἄμπελός τις καθορᾶται, ἔνθα τῶν βρεφυλλίων τι, τὴν αὐτȣ̃ εἰκόνα ἐν κατόπτρῳ θεώμενον, καταλαβεῖν ταύτην σπεύδει, πραγματικόν τι ἐν αὐτῷ ὁρᾷν οἰόμενον· δοκȣ̃ντι δὲ μετὰ τȣ̃το γελᾷν ϗ σκώπτειν αὐτὸ τῶν φιλοσοφȣ́ντων τινι, ἐπὶ τὰ κάτω ἐκείνης, ἀντικρȣ́σαι αὐτῷ ἀναγινώσκονται αἱ λέξεις αἵδε, τί γελᾷς; περὶ σȣ̃ τὰ τȣ̃ μύθȣ.

Τὸ τȣ̃ καθηγητȣ̃ βερκλευίȣ πρῶτον ϗ μόνον κυρίως ἐπιχείρημα, περὶ ὃ ἅπασα ςρέφει ἡ, περὶ ἧς ὁ λόγος, πραγματεία, τοιȣ̃τον ἔτι τυγχάνει. „ȣ̓́σης τῆς ἐν ἡμῖν ψυχῆς πνεύματος, τῶνδ', ἃς περὶ τῶν ἀντικειμένων κατασκευάζομεν, ἰδεῶν ȣ̓δεμίαν ἐχȣσῶν τȣ́τοις τὴν κοινωνίαν, ἢ ἀναλογίαν, ἕπεται, παράγεσθαι τȣ́των ταύτας, ἀμήχανον· τὸ γὰρ ἰδέας τινος ἀντικείμενον, ἀδύνατον ὑπάρχειν ἄλλο τι, πλὴν εἰ μὴ ἄλλην τινα ἰδέαν, ϗ ταύτην ȣ̓θ' ὑλικήν· ȣ̈́τω τὸ τῆς, ἣν ἔχομεν, ἰδέας τῶν σωμάτων ἀντικείμενον, ταυτὸν τῇ ἐν τῷ θείῳ ἰδέᾳ τȣ́των, ȣ̓δεμίαν αὐτοῖς φερȣ́σῃ τὴν ὁμοιότητα, ȣ̓δ' ὅλως ὁμοιȣ̃σθαί τι ἐξȣ́σῃ· ὅρα, ὅπως πάντῃ γυμνὸν ὁρῶμεν τὸν Μαλεμβραγχισμὸν, ἢ τȣλάχισον, παρ' ὀλίγον ὡς ἐγγιςα· ἁπάσας αὐτȣ̃ τὰς δυνάμεις ἐκκενοῖ ὁ καθηγητὴς ȣ̈́τος, τὴν κατ' αὐτὸν δόξαν τῆς τȣ́τȣ πάνυ διαφερȣ́σαν ἀποδείξων,

καὶ

καίπερ ἔτω βραχὺ τῆς ἐκείνε διάφορον, ὡς τὸν τῦτο κατοψόμενον, ἀνάγκη πάνυ μεταφυσικὸν τυγχάνειν· περὶ τε καθ' αὑτὸν συςήματος ϗ τῆς νοερᾶς ἐκτάσεως, ἐσωτερικῶς πεπεισμένος ὁ πατὴρ Μαλεμβράγχιος, ςαθερώτατα πέπειςαι, ὡς ἀπόδειξιν τῆς τῶν σωμάτων ὑπάρξεως ἐδεμίαν ὅλως ἔχομεν, διεξοδικώτατόν τι τῶν ἐδαφίων ἐν τῇ αὐτε πραγματείᾳ ξυνθέμενος, ἵν' αὐτο τετ' ἀποδείξῃ· ἀληθὲς, ἃς τὰ τῆς ἀνθιςάσεως, ἣν τῆς Περὶ τὴν ἀποκάλυψιν πραγματικότητος ἐξάγει, βραχύ τι τέτω ἐνοχλεῖ, ϗ ὁμολογητέον, ὡς μικρε ϗ ἐνοχλήσει· εἰμὴ γὰρ ἀποδέδεικται, φησὶν, ὑπάρχειν σώματα, ἐδὲ χριςὸν αὐτὸν ἀφικέσθαι, ἢ θαυματεργῆσαι, κτ. τοιῷδ' ὄχλῳ τῆς δυσκολίας ταύτης ἑαυτὸν ἔτος ἀπαλλάτ]ει· ἀλλ' εἰ κἂν ταῖς ἀρχαῖς, ἃς αὐτῷ παρεῖχεν εἰσποιεῖσθαι, κακοδαίμων, ἡ αὐτε φαντασία, ταῖς γεμὴν, ἃς ἐπέφερεν, ἐπαγωγαῖς πάνυ συνετομένη, ὡς ἔτω πάνυ πόῤῥω αὐτὸν ἀγαγῦσα, ἔνθα ἐδ' αὐτὸς ἔτος πώποτ' ἠβέλετο· αἱ τῆς θρησκείας ἀρχαὶ, ἐφ' ἃς διέβη, ἰσχυρότεραί τε ϗ ςερεώτεραι, ἢ καθ' ἅπασαν τὴν αὐτε φιλοσοφίαν, ἔσαι, ἐπὶ τὸ τε βαράθρου χεῖλος αὐτὸν ἤδη ἐπέσχον. ἕρκος ἄρα τοῖς φιλοσοφῦσιν αἱ τῆς θρησκείας ἀλήθειαι· ἀλλ' οἱ ταύτας γε ξυμβελευόμενοι, ὑπὲρ τὰ, ὅσα τέτοις αὗται τιθέασιν, ὅρια ἐκ ἅλλονται, ἐδὲ τέτων ἀποπλανᾶσθαι ῥίπτεσι τὰς κύβες.

Ἑτέραν δ' ἐδὲν ἧττον, ἢ κατὰ τὴν τῆς ἀποκαλύψεως, δυσχερῆ δυσκολίαν προτείνει ὁ βερκλέυιος, τὴν τῆς δημιεργίας, ἧς τὸ τῆς Γενέσεως πρῶτον κεφάλαιον ἅπασαν τὴν ἱςορίαν

πε-

περιγράφει· εἰμηδὲν ὑπάρχει σῶμα, τίποτ᾽ ἄρ᾽ ἡ γῆ, ὁ ἥλιος, τὰ ζῶα, ὅσα τὸ θεῖον ἐδημιούργησε; ξὺν πόνῳ ϗ πάνυ μικρᾷ ἐκβάσει ἑαυτὸν ἧτος ταύτης ἀπολύει. ὡς ὀπάσης τῆς αὐτῦ μεταφυσικῆς θεωρίας καρπὸς, ἀντίφασις, εἴτ᾽ ἦν τῶν βασιμωτάτων ἀληθειῶν μετακίνησις· καταχρᾶσθαι τῇ ὑποθέσει τῇδε τὰς ὄτως εὐφυεῖς τῶν νόων, πάνυ ξένον· πῶς ἂν σπυδάζων, δύναιτ᾽ ἄντις ζητεῖν, εἰ ὑπάρχει σώματα; τά, ὧν πειρώμεθα. αἰσθήματα τοσαύτης τετύχηκε δυνάμεως, ὥσεὶ ϗ πράγματι ἐκεῖνα ὑφέςηκεν, ὑπάρχει ἄρα σώματα· τῶν γὰρ αὐτῶν ἀποτελεσμάτων αἴτια, ταυτά· ἀλλ᾽ ἡμεῖς, φασὶ, τὴν τύτων ὐσίαν, ἢ ὅπως αἴτια ταῦτα τῶν ἐν ἡμῖν αἰσθημάτων, ὐ κατανοῦμεν· ἀλλὰ κρεῖττον κατανοεῖς αὐτὸς τὴν τῆς σαυτῦ ψυχῆς ὐσίαν, τὴν δημιυργίαν, τὴν αἰωνιότητα, τὴν συμφωνίαν τῆς τετ᾽ ἀνθρώπυ ἐλευθερίας ϗ τῆς τῦ θεῦ σοφίας, τῆς αὐτῦ δικαιοσύνης ϗ τῆς προπατωρικῆς ἁμαρτίας, ϗ τῶν ἀληθειῶν ὐκ εὐαρίθμυς ἄλλας, περὶ ὧν, ἀναντιῤῥήτοις ἐρειδομένων ἐπιχειρήμασιν, ἡμῖν διςάξειν ὐκ ἐφεῖται; σιωπῶν ἄρα, τὸν τῶν σαυτῦ ἐναργεςάτων ϗ σαφεςάτων ἐννοιῶν ἀριθμὸν, ὥσπερεὶ τύτων ἤδη ἀφθονίαν εἶχες, μειῦν ὑψηλοῖς τῶν σοφισμάτων μὴ ζήτει.

Ἐξετέθη, εἰ ϗ διὰ βραχέων, ἐν προοιμίοις, ὅπως ἡμῖν ἀποδεικνύει τὰ αἰσθήματα, ὡς σώματα ὑπάρχει· ἑδράζονται πρὸ πάντων αἱ ἀποδείξεις αὗται τῇ τῶν αἰσθημάτων ξυμφωνίᾳ, τῷ τύτων ἀριθμῷ, τοῖς τῶν ἀποτελεσμάτων ἀθελήτοις, ὅσα ἐν ἡμῖν ταῦτα παράγει, παρατιθεμένων ταῖς ἐν ἡμῖν ἑκυσίαις τῶν ἐνθυ-

μήσεων ἐπ' αὐτοῖς τέτοις τοῖς αἰσθήμασιν· ἀλλ' ὅπως ἐξιέσα ἑαυτῆς, ἵν' ὅτως εἴπω, ἡ ἡμετέρα ψυχή, ἐπὶ τὰ σώματα ἥκει; πῶς ἄντις ἐκθῇ ταυτηνὶ τὴν διάβασιν; τὅτο ἔργον, ἐνταῦθα πόνος.

*. Αἱ τῶν σωμάτων διάφεροι ποιότητες διάφορα τέτοις παρέχονται ϗ τὰ ὀνόματα, ὅτω τὰ μὲν, πυκνὰ, τὰ δὲ, ῥευςὰ, τὰ δ' ἐλαςικὰ, ἁπαλὰ, σκληρὰ, σκιερὰ, διαφανῆ, εὐκαμπῆ, ἀναλυτὰ, θραυςὰ, κτ.

## Περὶ ὕλης μεταφυσικῆς ϗ φυσικῆς.

Διαφόρης ὅσας τὰς τῆς λέξεως, ὕλη, σημασίας, ϗ μᾶλλον, ἢ ἧττον, ἐπεκτεινομένας, ἥκιςα χρὴ ταύτας ξυγχέειν· τῇ ταύτης γενικωτέρα ἐκδοχῇ τὴν ἑκάςε τῶν ὄντων ὅσίαν, ἀφαιρέσει θεωρημένην, ὡς ἁπάντων τῶν τ' αὐτὴν εἰδοποιέντων ϗ τῶν τὅ ὄντος τρόπων χωριζομένην, δηλοῖ αὕτη, καθ' ἣν ἔτι ϗ οἱ περὶ ἀριςοτέλη φασὶν, ὡς ἕκαςων τῶν ὄντων ὕλην ϗ εἶδος ἔχει· ἐν ἑκάςῳ γὰρ τέτων πρῶτον μὲν ὅσίαν τινα τωόντι, τῶν δυνάμεών τε ϗ ποιοτήτων, ἃς ταύτης καταφάσκομεν, οἷά τι ὑποςήριγμα, νοῦντες, εἶτα δ', ὡς τοιαῦτα κατηγορέμενα, ποιότητας, δυνάμεις ἔχεσαν, ταύτην, ἀφαιρέσει θεωρεμένην, ὑπάρχειν, φαμὲν, τὴν ὕλην. εἶδος δὲ, τὰ καταγορέμενα, τὰς ποιότητας, δυνάμεις, ὅχ ἧττον ἀφαιρέσει ϗ αὐτὰ ταῦτα θεωρέμενα· διαλεγόμενοι, περὶ ὕλης ϗ εἴδες, τοιαύτῃ σημασίᾳ, τὴν προσοχὴν ταύτην ὅκ ἀεὶ

τούτοις ποιώμεθα, ὡς μηδὲν ἄλλ' ἐκτιθεμένοις, ἢ ἀφῃρημένας ἰδέας. αἷς τῇ αὐτοῦ ὑπάρξει οὐδὲν ἀνταποκρίνεται· ὡς οὖν ἄνευ οὐσίας, ποιοτήτων, δυνάμεων, ἰδιοτήτων, κατηγορουμένων, ἀδύνατος ἡ ὕλη, εἴτ' οὖν ἡ οἱαδήποτ' οὐσία, ὑφίστασθαι, οὕτως ὑπάρχειν ἐν μέρει τὸ εἶδος οὐκ ἂν ἀνάσχοιτο, ὡς οὐκ ὂν ἄλλο τι τοῦτόγε, ἢ ὁ αὐτῆς γοῦν ταύτης τῆς ὑφισταμένης οὐσίας ὡρισμένος τρόπος· ἅπαν γὰρ, ὅ,τι ὑπάρχῃ, τρόπῳ ὑπάρχει, ὁ δὲ τοῦ ὑπάρχειν τρόπος, αὐτὸ τοῦτο τυγχάνει τὸ εἶδος· τὸ γὰρ μὴ τρόπον τοῦ ὑπάρχειν ἔχον, οὐδ' ὑπάρχει τῷ ὄντι· πιθανὸν, τοὔνομα, ὕλη. τῇ ἐννοίᾳ ταύτῃ ἐξειλῆφθαι τοῖς ἁγίοις πατράσι, φάσκουσιν, ὕλη, τὸ θεῖον, προσιθεμένοις ἅμα, καὶ ἀσώματον· οὕτως ἄρ' ἁπάσαις ταῖς τοῦ οἱουδήποτε γένους τῶν ὄντων οὐσίαις ἀνήκει ἡ λέξις, ὕλη.

Ὅ,τι οὖν τῶν ὑποκειμένων, ἢ τὸ τοῦ σωματικοῦ πόνου, ἢ τὸ τῶν νοερῶν ἐνθυμημάτων ἐνεργοῦντός τινος, ἢ τὸ, ἐφ' ὃ τὰς αὐτοῦ δυνάμεις τοῦτο γυμνάζει, τοὔνομα, ὕλη ὡσαύτως δηλοῖ· ἣ καὶ κοινῇ φαμὲν, ἡ τοῦ ἔργου ὕλη, ἡ τῆς διαλέξεως, ἢ ἡ τῶν γραμμάτων, κτ.

Στενωτέρᾳ δὲ καὶ μᾶλλον φιλοσοφικῇ ἐκδοχῇ τοὔνομα, ὕλη, τὴν οὐσίαν ἐξ ἧς ἅπαντα συντίθεται τὰ σώματα, ὑπεμφαίνει. οὐσίαν, ἧς οὐσιώδης καὶ κοινὴ ἰδιότης ὁ τωῦν τῶν ἐν τούτοις μερῶν, ἡ ἔκτασις, τ' ἀδιάβατον, τὸ σχηματιστικὸν, τὸ κινητὸν καὶ τ' ἀδρανές· ἐφ' ὅντινουν βαθμὸν ἀναλύοιτ' ἄν τι ἐκείνων, ἐφ' ὁπαοῦν ἐπανάγητ' ἂν τῶν μερῶν. ἐς τ' ἐπὶ τὸ μηδὲν ἄλλ'

ὑπάρ-

ὑπάρχειν, ἢ ἄτομα, δυνάμει δευτέρας αἰτίας ἀδιαίρετα, ἀγομένων, τὰ στοιχεῖα ταῦτα τῶν ἰδιοτήτων τούτων τινὸς ἄνευ κατανοεῖν, ἀμήχανον· ὡς, εἰ καὶ βραχύτητι τῇ αὐτῶν τὰς ἡμῶν αἰσθήσεις διαπέφευγεν, ἡγεμὴν διάνοια, ἢ ταῦτα θεωρεῖ, ἐναργῶς ὁρᾷ, ὡς ἄνευ ἐκτάσεως, ἀδιαβατότητος, ἀσχηματιστέτητος, ἀκινητότητος, ἀδρανότητος, ὑφίσασθαι ταῦτα, εἴτ' οὖν τῶν στοιχείων ἕκαστον καταλαμβάνειν ταὐτὸ διάστημα, ὃ καὶ ἕτερόν τι, μηδόλως τοῦτ' ἐκτοπίζον, ἀνέφικτον· τούτων ἕκαστον τῶν γραμμῶν ὡρισμέναις, αἳ πανταχόθεν τουτὶ περατοῦσι, πεπερατῶσθαι· ὅ,τι οὖν αὐτῶν ἐκ τόπου ἐς τόπον μεταβαίνειν δύνασθαι, διαφορὰ τοῦ διαστήματος μέρη διῆκον· κατάστασιν καὶ τόπον οὐδὲν αὐτῶν μεταβάλλειν, ὅ,τι μὴ βιαζόμενον ἐνεργείᾳ τῶν ἐκτός τινος, ἢ τοῦτο ἐκείνῳ ἀνθίσταται, καὶ πάντ' ἐν τῇ αὐτῇ καταστάσει διαμένειν, ἐν ᾗ καὶ τέθειται, ἐς ἂν καινή τις τῶν ἐκτός τινος ἐνέργεια διαφόρως ταῦτ' εἰδοποιήσῃ· τῶν πέντε οὐσιωδῶν καὶ κοινῶν ἰδιοτήτων τῶν δ' ἅπασαι αἱ τῆς ὕλης δεύτεραι πηγάζουσιν, ἢ κἀκ τῶν τοῖς στοιχείοις οὐσιωδῶν ἰδιοτήτων ἅπασαι τῶν σωμάτων, ὅσαγ' ἐκ τούτων συντίθεται· ὁ γὰρ τῶν συνθέτου τινὸς ἰδιοτήτων λόγος ταῖς τῶν, οἷς σύγκειται, στοιχείων ἰδιότησιν ἐνυπάρχει· ἐκτατά, ἀδιάβατα, ἐσχηματισμένα, κινητὰ καὶ ἀδρανῆ ὑπάρχει τὰ σώματα, ὅτι καὶ τῶν ἐν τούτοις στοιχείων ἕκαστον ἑκάστην τούτων ἑαυτῷ ἐμπεριέχει.

Ἐπὶ τὰς ἁπασῶν τῶν τῆς ὕλης ἰδιοτήτων ἀκριβολογίας οὐχωρήσομεν· ἤδη γὰρ ἐν τῷ περὶ σώματος ἐδαφίῳ αὗται ἐξετέθησαν· οὐδ' ἀ-

πάσας τὰς λεπτολογίας, δἰ ὧν τὴν ταύτης ἐσωτερικὴν ἐσίαν, περὶ ἧς ἐν τοῖς ςοιχείοις εἰρείσεται, γινώσκειν ἐφίενται οἱ ταῖς φρεσὶ νηπιάζοντες, τοῖς ἀναγνώςαις προσάγειν ςησόμεθα, ἀτ' ἀποχρῶν ὧδε σημειῦν, μὴ πλεονάκις ταὐτὰ ἐπαναλαμβάνοντας, ὡς τὴν τῶν ὑποςατικῶν ὄντων πρώτην ἐσίαν οἱ φύσει θνητοὶ ἐδέποτε καταλήψονται· τὴν ὕλην ἐκ ἄλλως ἴσμεν, πλὴν εἰμὴ ἐκ τῶν αὐτῆς ἀποτελεσμάτων, εἴτ' ἐν τῶν, ἅςγ' ἡμῖν αὐτοῖς ποιεῖται, θλίψεων· ἀλλ' αἱ πρὸς αἴσθησιν θλίψεις αὗται, τ' ἀποτελέσμαθ', ἅπερ ὁρῶμεν, ἐδὲν ἄλλ', ἢ τὰς τῶν σωμάτων ἰδιότητας διδάσκεσιν, ἐκέ τι δὲ ϗ τὴν ἐν τέτοις ἐσίαν· ταύτῃ κἀκ τῶν ἀποτελεσμάτων, ὅσα πρὸς ἁπάντων τῶν σωμάτων παράγεται, ἔπεςιν ὁρίζειν, ὡς,

Ὕλη ἐςὶν, ἐκτατὴ, ἀδιάβατος, σχηματιςὴ, κινητὴ ϗ ἀδρανής τις ἐσία.

Τῶν δὴ ταύτης ἰδιοτήτων ἰῶνδε, τὴν ἔκτασιν ϗ τ' ἀδιάβατον διακρίνοντας, ὡς ἀρχοειδεῖς τε ϗ θεμελιώδεις, θεωρεῖν ἐςὶ ταύτας· ἀντιλαμβάνεσθαι γὰρ τῶν ἐν τοῖς σώμασι ςοιχείων ἄνευ τέτων, ἀπολύτως ἀδύνατον· εἰ γὰρ ἀνέκτατα ταῦτα, ἤπε ἐδὲ διάςημά τι καταλαμβάνει· ὅτι ὅσα δήποτε τ' ἀριθμῷ ἀλλήλοις ἂν ἐπισωῤευθῇ, ἐκτατόν τι ἡ τέτων ἐπισώῤευσις, εἴτ' ἐν ἕνωσις, ἐδέποτε παράξει· δύω γὰρ ἀνέκτατα ὁλοσχερές τι τῇ αὐτῶν ἑνώσει ἐδέποτε συςήσεσι· χίλια, ἢ δέκα χιλιάδες μιλλιόνων, ἐδὲν ἧι μεῖζον ὅλως συγκροτήσεσιν, ὅπερ ἀποφάσκοντι ἧινι, ἄσμενος ἄντις αὐτῷ ἀπαντήσοι, ὡς χίλιοι τῶν

ἀομ-

ἀομμάτων ὄψονται, ὅτε τούτων οὐδεὶς ὁρᾷ· ὡσαύτως ὄντων διαβατῶν τῶν στοιχείων τῶν δε, θάτερον τὸν τοῦ ἑτέρου τόπον καταλήψεται, τοῦθ᾽ ἥκιστ᾽ ἐκτοπίζον, καὶ τρίτον τι τῶν δυοῖν ἄλλων· χιλιὰς τούτων ἐννεακοσίοις ἐννενήκοντα ἐννέα ἄλλοις συναπτομένη, τὴν αὐτὴν τούτοις χώραν ἐφέξει, ταῦτ᾽ οὐδαμῶς ἐκτοπίζουσα, καὶ ἅπαντα τὰ ὑφιστάμενα σημεῖα εἰς ἄλληλα διαβήσονται, ἄλληλα μηδέποτ᾽ ἐκτοπίζοντα, οὐδὲ διάστημά τι ὅλως καταλαμβάνοντα· καὶ τέλος μὴ μεταδιδόντος θατέρου τῷ ἑτέρῳ κινήσεώς τινος, ἐνέργειαν, ἢ ἀντενέργειαν, πρὸς ἄλληλα τὰ σώματα εἶχεν ἂν οὐδεμίαν.

Οὖσαν ἄρ᾽ οὐσιωδῶς ἐκτατὴν καὶ ἀδιάβατον τὴν ὕλην, ταύτην ἄλλως κατανοεῖν οὐκ ἂν δυναίμεθα· ὅθεν ἕπεται, ὡς μεταβαίνειν ἄτομόν τι ταύτης ἐκ τοῦ, ὃν καταλαμβάνει, τόπου ἐπὶ τὸν, ὃν ἕτερόν τι, τοῦτο μὴ ἐκτοπίζον, οὐδὲ τὴν αὐτοῦ μεταβάλλον κατάστασιν, ἢ μεταδίδον αὐτῷ κινήσεως, ἢ τὸν, ὃν κατελάμβανε, τόπον ἀφίησιν, ἐφ᾽ ᾧ ἕτερόν τινα καταλαμβάνειν, ἀδύνατον.

Μεταβολὴν καταστάσεως, ἢ ἐνέργειαν, εἰ ταύτην οὕτω καλεῖν θέλει, μὴ οὐσιωδῶς τε καὶ ὁλοσχερῶς ὑφισταμένην ἐν κινήσει, εἴτε τοῦ ὄγκου, εἴτε τῶν μερῶν, ἐν τῇ ὕλῃ οὐδεμίαν γινώσκομεν. ἡ μὲν ἐκείνου κίνησις ἐν τῇ τοῦ ὅλου σώματος μεταθέσει ἀφ᾽ ἑνὸς ἐφ᾽ ἕτερον τόπον ὑφέστηκεν· ὡς ἐν κυλίσει διηκούσης ἐλεφαντείου σφαίρας ἀφ᾽ ἑτέρας ἐπὶ τὴν ἑτέραν ἄκραν τῆς, ἐφ᾽ ἧ σφαιρίζουσι, τραπέζης, τόπον δὲ καὶ σχέσιν πρὸς τὰ περὶ αὐτὴν ὁλοσχερῶς ματαβαλλούσης, τὰ, οἷς

ἤδε σύγκειται, μέρη σχέσιν τὴν πρὸς ἄλλα οὐδαμῶς μεταβάλλει. ἡ δὲ τούτων χώραν ἔχει, ὅτε τὰ, οἷς τὸ σῶμα ξυντίθεται, μέρη, παρὰ τὴν, ἣν ἔχει πρὸς τὰ περὶ αὐτὸ, σχέσιν τοῦ ὅλου, τὴν πρὸς ἄλληλα μεταβάλλει. ὡς ὅτε μολύβδου σφαῖρα ἀναλύοιτο, τὰ δὲ σώματός τινος μέρη βράζοι, ἢ σήποιτο· τούτων γε τοι ἑκάτερα ἀλλήλαις ὡς τὰ πολλὰ ξυνάπτονται· οὕτω περιπατοῦντος, χωροῦν διὰ διαστήματος ἅπαν τοὐμὸν σῶμα, τὰς πρὸς τὰ περὶ αὐτὸ διάφορα τῶν σωμάτων σχέσεις ἀμείβει, ἅμα δ' ἰσορροπούντων μοι τῶν βραχιόνων, ἐναλλὰξ ἀποκινοῦνταί μου οἱ πόδες, ῥεμβομένων μοι πανταχόθεν τῶν ὀφθαλμῶν, ἐν ταῖς ἀρτηρίαις καὶ φλεψὶ κυκλοφορεῖ μοι τὸ αἷμα, καὶ τῆς ἀναπνοῆς τῶν μερῶν ἐξατμίζεται οὐκ εὐάριθμα, κτ. ἵν' ἡ τῶν μερῶν κίνησις χώραν ἔχῃ, τούτοις δεῖ τὰ ἐκτατὰ συγκεῖσθαι, ἀλλήλων δυναμένοις χωρίζεσθαι· εἰ γὰρ τὰ τμήματος ὕλης, ἥν, οἷα κινουμένην, θεωροῦμεν, μέρη οὐδεμίαν ἔχῃ τὴν διαίρεσιν, κίνησιν ἄλλην, παρὰ τὴν τοῦ ὄγκου, τοῦ μὴ μεταβάλλοντος, ἢ τὰς τῶν σχέσεων ἐξωτερικὰς, οὐκέτι δὲ καὶ τὴν τοῦ ταύτης τμήματος τούτου ἐσωτερικὴν κατάστασιν, ἔχειν οὐκ ἂν εἴη· ἡ τοῦ ὄγκου κίνησις ἤδε μεταβολὴν. ἢ οἱανδήποτ' ἀλλοίωσιν, φέρε, τ' ἀτόμου οὐδεμίαν ἀπεργάζεται. εἰ γὰρ, διαιρετὸν ἔτ' ἐχρῆν τοῦτο τυγχάνειν, καὶ πράγματι διῄρειτ' ἂν εἰς μέρη, θάτερον, παρὰ θάτερον, ὑφιστάμενα, καὶ ἄτομόν τι ἤδη, ἢ στοιχεῖον, τῆς ὕλης οὐκ ἂν ἦν· ἄτομον γὰρ οὐδὲν ἀλλ' ἢ τὸ μεταφυσικῶς ἀδαίρετον, εἰ καὶ δυνατὸν ἐπ' ἄπειρον τῇ φαντασίᾳ διαιρεῖσθαι.

Οὐκέ

Οὐκέτι μέντοι καὶ περὶ κινητότητος τ' αὐτὰ, ὅσα περὶ ἐκτάσεώς τε καὶ ἀδιαβάτου· ἄνευ γὰρ τῶν δυεῖν τούτων, οὐχ ὅπως σῶμα, ἀλλ' οὐδ' ἄτομον. οὐκ ἂν δυναίμεθα κατανοεῖν· ὅτε, μηδέποτε κινούμενόν τι τῶν σωμάτων θεώμενοι, εἰ κινητὸν, τοῦ λόγε, οὐκ ἂν ἐγινώσκομεν· τὰ δὲ τούτου πέρατα μὴ ὁρῶντες, εἴγ' ἐσχηματισμένον αὐτὸ, οὐκ ἂν ἠπιστάμεθα· καὶ ἔτι τῆς αὐτοῦ ἀνθιστάσεως μὴ πειρώμενοι, ὃ κινεῖν, ἢ κινούμενον κωλύειν ἐσπεύδομεν, ἵνα τοῦτο ἐπὶ τὴν, ἣν ἠρεμίαν καλοῦμεν, κατάστασιν στῶμεν, οὐκ ἂν ὅλως τὴν τούτου ὑφορώμεθ' ἀδράνειαν, διδούσης γε μὴν τῆς πείρας καθορᾷν, ὡς ἅπαντα τὰ τῆς ὕλης μέρη, κινήσεως, σχήματος καὶ ἀνθιστάσεως ἁπάσῃ μεταβολῇ τῆς καταστάσεως, καὶ τούτων δίχα τινος ἐξαιρέσεως, δεκτικὰ, τῇ τῶν πραγμάτων ἐναργείᾳ λέγειν ἂν ἠναγκαζόμεθα, ὡς ὕλη ἐστὶν, ἐκτατὴ, ἀδιάβατος, κινητὴ, σχηματιστὴ καὶ ἀδρανὴς τις οὐσία, εἴτ' οὖν διὰ τῶν τριῶν υστάτων, δεκτικὴ κινεῖσθαι, διάφορα σχήματα δέχεσθαι, καὶ πάσῃ μεταβολῇ, ἣν ἂν τῇ ταύτης πραγματικῇ καταστάσει ἐπάγειν βούλοιτό τις, ἀνθίστασθαι· ὅσῳ μᾶλλον τοῖς ἐκ τῆς πείρας καινοῖς ἀποτελέσμασι φωτιζόμεθα, τοσούτῳ μᾶλλον ἐν τῇ ὕλῃ τῶν ἰδιοτήτων νέας τινας ἀνακαλύπτομεν, οἷαίπερ, ἡ διαίρεσις, ἡ ἑλκτικὴ δύναμις, ἡ βαρύτης, ἡ ἐλαστικότης, τὰ χρώματα, τὸ διαφανὲς, τὸ σκιερὸν, ἡ πυκνότης, ἡ ἀραιότης, ἡ θερμότης, ἡ ψυχρότης, ἡ στερεότης, ἡ ῥευστότης, ἡ δεκτικότης, ἡ ἀνεπιδεκτικότης τοῦ τοῖς ἄλλοις μέρεσι τῆς ὕλης ἐνοῦσθαι, ἡ φλογιστικότης, κτ. οἷς προσέχοντες, τῶν προτεθεισῶν πέντε πρώτων τροπιασμοὺς, εἴτ' οὖν εἰδοποιήσεις τυγχάνειν

ἀπα-

ἁπάσας ταύτας εὑρήσομεν· τέλος, οἵασποτ᾽ ἂν ποιοῖτό τις ζητήσεις, εὕρῃ ἂν, ὡς ἁπάσῃ ὕλῃ, ᾗ τίσποτ᾽ ἂν ᾖ, ὐδεμία ἄλλη ἐνέργεια, ἢ ἡ, περὶ ἧς εἴρηται, κίνησις, ὅτι ἅπασαι αἱ τῆς καταςάσεως κ̀ τῶν σχέσεων, ὧν ἐκείνη πειρᾶται, μεταβολαὶ ἐπὶ τὴν τῦ ὄγκυ, ἢ τῶν τύτυ μερῶν, κίνησιν περατῦνται· κ̀ ἡ μὲν ἐκείνυ τὴν τῦ σώματος κατάςασιν ὐ μεταβάλλει, ἡ δὲ τύτων ὐκ ἐγχωρεῖ, ὅ,τι μὴ τοῖς αὐτῶν ἀδιαβάτοις, τοῖς, θατέρῳ, παρὰ θάτερον, κἀντεῦθεν φυσικῶς διαιρετοῖς, ὑφιςαμένοις, πρὸς ὧν ἑκάςυ τὴν σχέσιν ἡ ἀτομικὴ κίνησις, κίνησις ὄγκυ, μεταβολὴν, ἐσωτερικὴν ἀλλοίωσιν ἐν τ᾽ ἀτόμῳ παράγειν ὐκ ἔχυσα, ἀλλ᾽ ἐν τῇ ςοιχείῳ, ἢ ἀτόμυ, καταςάσει αὐτὸ τῦτο ἐῶσα· πᾶσ᾽ ἄρ᾽ ἐνέργεια, ἢ μὴ κυρίως διὰ τῆς κινήσεως ὑπάρξει, ὐδ᾽ ἑρμηνευθήσεται διὰ ταύτης, ὐδὲ τῇ ὕλῃ δυνατὸν ὅλως ἀπονέμεσθαί τινι, τῶν προτάσεων κεχαρισμέναις, ἢ παντὸς ὀρθῦ τε κ̀ θεμελιώδυς λόγυ ψιλαῖς, ἀρκεῖσθαι μὴ βυλομένῳ. ἆρ᾽ οὐ τῦτο, ὃ τὺς νῦν ἁρμόζειν τῇ ὕλῃ σπεύδοντας πρὸς τρόπυ ἐλέγχει;

Τὴν κινητότητα, εἴτ᾽ ὖν τὴν τῦ κινεῖσθαι δεκτικότητα, κοινήν τε κ̀ ὐσιώδη τῇ ὕλῃ ἰδιότητα εἰπεῖν, ὐκ ἔςιν ὐσιώδη ταύτῃ τὴν πραγματικὴν κίνησιν λέγειν· καθὰ κ̀ εἴ τις λέγοι τὴν ὕλην ἀδρανῆ, ἤτοι διατεθειμένην ἐμμένειν τῇ καταςάσει, ἐν ᾗ ταύτην τιθέμεθα, κ̀ ἑπομένως τῇ ἠρεμίᾳ, ὅτ᾽ αὐτὴν ἅπαξ κωλύσαιμεν, οὐκ ἔςι φάναι ὐσιώδη αὐτῇ τὴν πραγματικὴν ἠρεμίαν· πρῶτον πᾶσις ὁμολογεῖ, ὡς ὐχ ἧττον δυνατὸν ἐν ἀκριβεςάτῃ ἠρεμίᾳ τὴν ὕλην κατανοεῖν,

νοεῖν, ἢ καὶ ἐνκινήσει· ἡ ἄρα κίνησις καὶ ἠρεμία, ταύτῃ ἐδαμῶ ἐσιώδεις· ἐμὴν ἔτι καὶ περὶ τῆς κινητότητος ὡσαύτως· παριςᾶν γὰρ τὴν ὕλην, ἢ ἀνεπίδεκτον κινήσεως, ὡς ἔχεσάν τι ἐν αὐτῇ, ὃ τὴν κίνησιν παραιτέμενον, ἀδύνατον αὐτὴν ταύτῃ ἀποκαθιςᾷ, οἷα δήποτε χρώμενος δυνάμει, ὅπως ἐκ τε, ὃν καταλαμβάνει, τόπε ἐπὶ τὸν, ὃν ἔπω ἔτι κατέλαβε. μεταβῇ, ἀδυνατῶ· ἡ ἄρα τε κινεῖσθαι, ἢ ἠρεμεῖν, δεκτικότης, τῇ ὕλῃ ἐσιώδης ἰδιότης, ἧς ἄνευ ταύτην κατανοεῖν, ἀμήχανον.

Ε᾿νῆσης τῇ ὕλῃ ἐσιώδες τῆς κινητότητος, ἐκ ἔςι λόγον ἔχον, ὡς εἴρηται, συνάγειν, ταύτην ὑπάρχειν ἄνευκινήσεως, ἢ ἠρεμίας, μὴ δύδασθαι· μὴ ἐσιώδη αὐτῇ τὴν ἠρεμίαν εἶναι, οὐδεὶς ἂν ἀρνηθείη· τὰ γὰρ περὶ ἡμᾶς σώματα ἀεὶ ἐνκινήσει ὁρῶμεν· ἀντιτείνοντος, ὡς ἐσιώδης τῇ ὕλῃ ἡ κίνησις, καὶ ἐν ἠρεμίᾳ ὑπάρχειν, ἐ τῆς καθ᾿ αὐτὴν φύσεως, ὁ μὲν ὄχλος ἧπε τῆς προτάσεως ταύτης καταγελάσει, τὴν ὁ σημέραι πεῖραν καταλέγων, πανταχόθεν αὐτῶ ταῦτ᾿ ἐν ἠρεμίᾳ δεικνῦσαν· ὁ δὲ φυσικὸς, ὃς τοῖς αὐτε ἀπιςεῖ ὀφθαλοῖς, αἰσθήσεται, ὡς ἀπατᾶν δύναιτ᾿ ἂν τὸ φαινόμενον· ταύτῃ καὶ περιεργότερον ἐρευνῶν, κατανοήσει, ἅπαντα τὰ σώματα, ὅσαγ᾿ ἔςιν εἰδέναι, τελάχιςον, κατὰ τὲς ὄγκες, ἐνκινήσει τυγχάνειν, ἢ τάσιν ἐπὶ ταύτην ἔχειν, ἢ καὶ παραχωρήσοι ἂν, ἐφ᾿ ᾧ διάφορα τῶν τε διαςήματος σημείων διήκειν, μείζονός τινος δυνάμεως αὐτὰ μὴ εἰργέσης· ἅπαν σῶμα, ὅπερ ἐν οἷα δήποθ᾿ ἠρεμίᾳ ὑπάρχειν δοκοίη, πρὶν, ἢ τ᾿ αὐτε αἴρειν ὑποςήριγμα, μὴ βαςαζόμενον, πεσεῖται.

Ὡρισμένην τινα κίνησιν, ἢ τάσιν ἐπὶ ταύτην ἐνυπάρχειν ἅπασι τοῖς γινωσκομένοις τῶν σωμάτων, ἐντεῦθεν ἧττον δῆλον· ἐπεὶ γὰρ ἐκ διαλειμμάτων αὐτὴν γίνεσθαί τε καὶ σίζειν, δυνατὸν, ἐκ τούτου σαφὲς αὖθις, ὡς αὐτὴ καθ' αὑτὴν τῇ ὕλῃ οὐκ οὐσιώδης ἡ κίνησις· τοιάνδε γὰρ ὑπάρχειν ταύτην αὐτῇ, ὑποτιθὲν ἐχρῆν ἔχουσαν ἐν αὐτῇ ἀρχὴν ἐνεργείας, ἣ τὴν αὐτῆς οὐσίαν συνίστησι, καὶ ἧς ἄνευ ὑπάρχειν οὐ δύναται. τὴν δὲ τῆς κινήσεως ἀρχὴν ὑπάρχειν ἄλλην, παρὰ τὴν τῆς διανοίας βούλησιν, οὐχ οἷόν τε· τίς δ' ἐρεῖ, ὡς οὐσιώδης τῇ ὕλῃ ἡ διάνοια, δίχα νοῦ, διανοίας καὶ θελήσεως μηδόλως ὑφισταμένη; ἀλλὰ μὴ ἐνούσης οὐσιώδους ταύτῃ τῆς διανοίας, τὸν τῆς καθ' αὑτὴν κινήσεως λόγον οὐκ ἔχει ἐν ἑαυτῇ, οἷάπερ ἐκτὸς τοῦτον δεχομένη, ὡς μεταδιδομένης αὐτῇ τῆς κινήσεως· ἐξετάζοντι δ' αὐτὸ τὸ πρᾶγμα, πρόδηλον αὐτίκα, ὡς πᾶσα κίνησις, ἢ ἐγγίνεται τῇ ὕλῃ, μεταδιδομένη, καὶ πρὸς ξένης αἰτίας παραγόμενον ἐν αὐτῇ ἀποτέλεσμα· πᾶσα δὲ μεταδιδομένη κίνησις, δίχα μεταδόσεως καὶ τῆς περὶ τὴν αἰτίαν ἐνεργείας χώραν οὐκ ἂν ἔχοι· συμβεβηκὸς ἄρ' ἀποτέλεσμα, οὔτ' ἀναγκαῖον, οὔτ' οὐσιῶδες τῷ ὄντι, ὃ τούτου πειρᾶται· οὐκ ἄρα τῇ τούτου φύσει οὐσιώδης ἡ κίνησις· ὡς ὑπάρχειν αὐτὸ ἐν κινήσει, ἢ ἠρεμίᾳ, παρ' αὐτοῦ μὲν οὔ, αἰτίᾳ δ' ἐκτὸς αὐτοῦ· αὐτὴ ἡ τῆς κινήσεως, ᾗ πᾶσα ἐγνωσμένη ὕλη ὑπόκειται, φύσις, καινήν τινα δίδωσιν ἀπόδειξιν τοῦ, ὅγ' ἐνταῦθα βεβαιοῦται· πᾶσα κίνησις, ἐν ᾗ πᾶσα ὕλη ὑπάρχειν παρατετήρειται, ἢ γοῦν τάσις, ἵν' ἐπὶ μόνην τινα καὶ ἑνιαίαν διεύθυνσιν πρὸς ἐκείνης αὐτη κινῆται, ἐ-

πὶ

πὶ πεπηγός τι καὶ ὡρισμένον κέντρον, οἷον τὸ τῆς γῆς, αὐτὴν διευθύνει· ἐκείνην δ', ἢ ταύτην, καλοῦσι βαρύτητα· ὑπάρχειν αἰτίαν ἐκείνῃ τὴν ὠθητικὴν, ἢ ἑλκτικὴν, δύναμιν, ἐν ταῦθ' ἡμῖν ὀλίγου μέλλει· ἅπαντα γὰρ, ὅσα ἔγνωσται, σώματα, ἄλλην, ἢ αὐτὴν ταύτην, διαμένουσαν τάσιν, ἀληθὲς, ὡς οὐκ οἶδεν· ἐπεὶ δ' οὐδὲν ἐνυπάρχει τῇ τῆς ὕλης οὐσίᾳ, ὅπερ ἀναγκαίαν τὴν τάσιν ταύτην πρὸς κοινόν τι κέντρον καθίστησιν, ἤδε, ἢ καὶ πᾶσα ἄλλη, κίνησις, ἐξωτερικῆς αἰτίας ἀποτέλεσμα τῇ ὕλῃ· εἴγε. ὅτι πᾶσα ἐγνωσμένη ὕλη πρὸς τὴν γῆν βαρύνει, δυνατὸν ἦν τὴν πράγματός τινος ἀνάγκην συνάγειν, τοῦθ' ἢ τῆς τάσεως ταύτης ἀνάγκη, ὂν, ἣν ἂν τῇ ὕλῃ οὐσιῶδες, ὡς τοῦτ' ἄνευ αὐτὴν κατανοεῖν, ἀμήχανον· ἀλλὰ τίς οὕτως ἀφυὴς, κατανοεῖν τοῦ κέντρου ἐπειγόμενον ἀφίςασθαι, μόριόν τι τῆς ὕλης, ταύτην δ' ἀνέκτατον καὶ διαβατὴν ὑπάρχειν; ἀλλ' ὅγε οὐκ ἄν τις ὅλως ξυνίῃ, τοῦτ' ἐςὶν, ὡς τῶν σωμάτων τι, ἢ τούτου μόριον, ἐν ᾧ οὐδεμίαν ἄλλην ἐνεργειαν ἀνακαλύπτειν δύναιτ' ἂν, εἰμὴ τὴν τῷ ὄγκῳ, ἢ τῷ μορίῳ, μεταδιδομένην κίνησιν, ἣν αὐτὰ ταῦτ' ἀεὶ ἔξωθεν δέχεται, θέλησιν, πρόθεσιν, μὴ μόνον ἑαυτὸ κινεῖν, ἀλλὰ καὶ πρὸς ὡρισμένον κέντρον, πλὴν παντὸς ἄλλου ὅρου, ἔχει· ἐκ τούτων πάντων συνάγεται, μὴ οὐσιώδη τῇ ὕλῃ τυγχάνειν τὴν κίνησιν, ἀλλὰ μεταβολὴν τῆς περὶ ταύτην καταςάσεως, ἐν αὐτῇ παραγομένην πρὸς αἰτίας, ἢ ταύτης διαφέρει, ὡς παρ' αὐτῆς ἡ ὕλη οὐδεμίαν ἔχουσα ἐνέργειαν, οὐδὲ τῆς ἐνεργείας ἄρχεται, οἷα μηδέποτ' ἐνεργητικὸν, ἀλλ' ὀργανικὸν μόνον, αἴτιον οὖσα· ἡ ἄρ' ὕλη, σχέσει, τῇ πρὸς ἁπάσας τὰς, ἅς γε πάσχει,

μετα-

μεταβολὰς τῆς κατ' αυτὴν κατασάσεως, αἰτίας ἤρτηται, ἢ ταύτης διενήνοχεν, ὡς παρ' αὐτῆς ἐνέργειαν, ἢ κίνησιν, μὴ ἔχεσα.

Ἐκδὺς τῶν καθ' ἡμᾶς καθηγητῶν τις πραγματείαν τινα, σύςημα φύσεως ἐπιγραφομένην, ἐσιωδῶς ἐνεργητικὴν ϗ ἐν κινήσει τυγχάνειν τὴν ὕλην, ἀποδεικνύειν ἐπείγεται, τὴν αἰτίαν, ἢ τὴν ἀρχὴν, ἐν ταῖς ἐσιωδεςέραις τῶν τῆς ὕλης ἰδιοτήτων ζητῶν, ὧν ἄνευ τὴν ταύτης ἰδέαν κατασκευάζειν, ἐχ οἷόν τε· διὰ τέτων γὰρ ἐσιωδῶς ἐν ἐνεργείᾳ τε ϗ κινήσει αὐτη· ἐξεταζομένων ἀλλ' ἐν ἰδίᾳ, τέτων τις, ἔτ' ἀναγκαίαν ἀποδίδωσι τὴν κίνησιν, ἔθ' ὑφίςαθαι ταύτην ποιεῖ· ἐ γὰρ αὐτῆς πηγὴ, ἡ ἔκτασις· τὸ δὲ διάςημα, ὃν ἐχ ἧττον ἔκτασις, ὡσαύτως ἀκίνητον· ἡ γὰρ ταύτης ἰδέα τὴν τῆς κινήσεως ἐκ ἐμπεριέχει· τὸ σχῆμα ὡσαύτως μετὰ τῆς κινήσεως σχέσιν ἔχον ἐδεμίαν, εἰδοποιεῖν ϗ μεταβάλλειν τἕτο ταύτην, ἀδύνατον· εἰ ϗ μὴ κίνησιν τὴν αὐτὴν τῇ τῆς σφαίρας ἔχῃ κύβος τις, ἐν μέντοι τῷ κενῷ ἰσοταχῶς πίπτει ἑκάτερα· τὸ μὲν χρῶμα, οἷα ποιότης τἕ σώματος λαμβανόμενον, ἐδὲν ἀλλ', ἢ διάθεσις τῶν τῆς ἐπιφανείας μορίων, κινήσεως ἀναίτιον· ἡ δὲ τῶν μερῶν διαίρεσις, ἀποτέλεσμα, ἐκ αἰτία, ταύτης· ἡ κινητότης δυνατὴν καθιςῶσα τὴν κίνησιν, εἰς ἔργον γεμὴν ταύτην ἐκ ἄγει· πολλἕ γε ϗ δέεσα ἡ ἀδράνια τὴν κίνησιν παράγειν, ταυτης ϗ κώλυμά τι γίνεται, τἕ σώματος ἠρεμἕντος· δυνατὴν ποιοῦν τ' ἀδιάβατον τὴν κίνησιν, τἕτο μόνον δυνατὴν ϗ τὴν τῷ σώματι μεταδιδομένην τῇ ἑτέρε προσβολῇ καθίςησιν, ἀλλ' ἐχὶ ϗ πρὸς αὐτἕ κινεῖσθαι

ποιεῖ

ποιεῖ τὸ σῶμα, ὂν οὐδὲν ἧττον ἀδιάβατον, ἠρεμοῦν, ἢ παραχωροῦν ὠθήσει· ἡ βαρύτης, οὐκ ἄλλο, ἢ τῆς κινήσεως διεύθυνσις, τρόπος τὶς, κέντρον ὑποτιθεμένη· ἥδ' ἄρ ὑπάρξει μὲν οὔ, ἀλλ' ἢ ἐν συστήματι, κέντρον ποριζομένῳ.

Καίτοι πλεῖστα περὶ ἐνεργείας ϗ ἀντενεργείας ϗ τῶν τῆς ὕλης ἀνεπαισθήτων μορίων διαλεγομένου τοῦδε, αὗται γε μὴν οὐδὲν ἄλλο, ἢ κίνησίς τις τῶν θατέρου, παρὰ θάτερον, ὑφισταμένων μερῶν, ἐξωτερικῆς αἰτίας οὖσαι ἀποτέλεσμα· πᾶσα γὰρ κίνησις, ϗ κατ' αὐτόν γε τοῦτον, μεταδιδομένη κατάστασις, ϗ ἑπομένως ξυμβεβηκὸς, ϗ οὐκ ἀναγκαία· ἰδιότητας τέλος οὗτος ἐν τῇ ὕλῃ ὑποτίθησιν, ἃς οὐδόλως ἐπιστάμεθα. ἀλλ' αὗται, ἤτοι τῶν, ἃς γινώσκομεν, ἠρτημέναι, ἢ μή· ἠρτημένων μὲν ϗ ἀκολουθίαν τινα σωζουσῶν, ἐκ τούτων ἀναφύεσθαι τὴν κίνησιν, ἀδύνατον, ἢ τεθεάμεθα· μὴ ἠρτημέναι δὲ, ξυμβεβηκότα, ὡς πρὸς τὰς ἰδιότητας, ἃς οὐσιώδεις τῇ ὕλῃ ἑωράκαμεν, πεφύκασι· κἀντεῦθεν ξυμβεβηκότα ϗ τὰ περὶ ταύτας ἀποτελέσματα, ἢ ϗ αὗται, ἐξ ὧν ἡ τῇ ὕλῃ οὐσιώδης ἀνάγκη τῆς κινήσεως οὐδέποτε προκύψει· οὐκ ἄρ οὐσιώδης τῇ ὕλῃ ἔθ' ἡ κίνησις, ὡς ἔξωθεν ταύτῃ ξυμβαίνουσα, αὐτὴν δεχομένῃ πρὸς αἰτίας, ἥπερ αὐτῆς διαφέρει· καλεῖν τοίνυν αὐτὴν ἀναγκαίαν, ἀλόγως ϗ πᾶσι τοῖς, ὅσα περὶ ὕλης ἔγνωσται, ἀντικειμένως ἐστὶν ἀντιφάσκειν.

Παθητικὴ ὑπόστασις ἄρ ἡ ὕλη, τῇ αὐτῆς καταστάσει ἠρτημένη αἰτίας, ἣ ταύτης διαφέρει, ψιλὸν ὀργανικῶς ἐνεργοῦν, ξυμβεβηκός τι ὂν,

παρ.

παρ᾽ ἑαυτῆ τὴν αὐτῆ ὕπαρξιν μὴ γινώσκον, ἢ δοξάζουσιν οἱ ταύτης προςάται, οἵ καίπερ ἐπιςάμενοι, ὡς ἀναγκαῖόν ὄν τι δογματίζειν, παρ᾽ αὐτῆ ὑφιςάμενον, τοῦτο τὴν φύσιν ὑπάρχειν βούλονται, εἴτ᾽ οὖν τὴν ὕλην καὶ τὴν κίνησιν, ἤτοι τὴν ὕλην οὐσιωδῶς ἐνεργητικὴν καὶ ἐν κινήσει· τριῶν δ᾽ οὐσῶν τῶν κατὰ τούτης προτάσεων, ἡ μὲν, ὡς παρ᾽ ἑαυτῆς ἐνεργητικὴ, ἡ ὕλη, καὶ οὐσιωδῶς ἐν κινήσει, ἧς τὸ ψεῦδος ἡμῖν δέδεικται· ἡ δὲ, ὡς οὖσα ἐνεργητικὴ καὶ ἐν κινήσει, δημιουργεῖν τὸν κόσμον τόνδ᾽ ἔσχεν, ὃ ταυτὸν καὶ λέγειν αὐτὴν δεκτικὴν συλλογίζεσθαι, κρίνειν, αἱρεῖσθαι, ἐθέλειν, αἰσθάνεσθαι· ἀλλ᾽ εἴδομεν, οὐδεμίαν ἄλλην ἔχειν αὐτὴν δεκτικότητα, ἢ τὴν τοῦ τίθεσθαι ἐν κινήσει· ἡ δὲ τέλος, ὡς αὕτη, τὸ αἰώνιον, τ᾽ ἀνεξάρτητον, τὸ παρ᾽ αὐτῆ ὑφιςάμενον, ἡ πρώτη αἰτία καὶ ἀρχὴ πάντων· ἀλλ᾽ εἴρηται, ὡς κινητὴ καὶ οὐκ ἐνεργητικὴ, καὶ πᾶσα, ἣν ἔχει, κίνησις, αὐτῇ μεταδιδομένη, καὶ ἑπομένως ὄντι, ἠρτημένον αἰτίας, οὐ τοῦτο διαφέρει, καὶ οὐκ ἄρα τὸ παρ᾽ αὐτῆ ὑφιςάμενον ὂν, τὸ αἰώνιον, ἡ πρώτη αἰτία αὕτη, ἀλλὰ τοὐναντίον παραγωγὴ τῆς αἰτίας ταύτης, καὶ τῆς ἐν αὐτῇ δυνάμεως ἀποτέλεσμα.

## Περὶ ςοιχείου Φυσικοῦ καὶ μεταΦυσικοῦ,

Προσοχῇ τὴν φύσιν παρατηροῦντας, συνεχῆ ποικιλλίαν ἐν ἅπασι τοῖς τῶν ὄντων σωματικοῖς, ὅσα τοῖς αὐτῆς λαγῶσιν ἤδ᾽ ἐμπεριέχει, μὴ καθορᾶν, τῶν ἀμηχάνων· τούτων τὰ μὲν ἄρχεται φαίνεσθαι, αὔξει, τὸν ὄγκον τῇ καινῶν μορίων προσθήκῃ μεγεθύνεται, τὰ δὲ μειοῦται, τοῦτον

ὄλλυσι, φθείρεται, ἀκοσμεῖ, καὶ τέλος ἐπὶ τὴν αὐτῶν ἀπώλειαν ἀναλύσει τῶν μερῶν, ὧν ἡ ἕνωσις ταῦτα ξυντίθησι, καταντᾷ· φύσει πρὸς τῆς φύσεως αὐτῆς ἀγόμεθα, τὰ οἷα δήποτε τῶν σωμάτων, ὡς μερῶν ἀθροίσματα, σκέπτεσθαι, θατέρῳ, παρὰ θάτερον, ὑφισαμένων, ἅπερ ὑπάρχειν τε καὶ ὑφίςασθαι ἀλλήλων χωρὶς δύνανται, ἢ καὶ συνάπτεσθαι, ἑνοῦσθαι, ξυνδυάζεσθαι ὡρισμένῳ τρόπῳ, ἵν᾽ ὅλον τι κατασκευάζωσι, δυνάμενον ἄλλυσθαι, ὅγε τῷ ὄντι καὶ ἄλλυται· χωριζομένων δὴ ἀπ᾽ ἀλλήλων τῶνδε, ἀναλυομένων, κἀπὶ τὴν αὐτῶν πρώτην κατάςασιν, εἴτ᾽ οὖν τὴν, ἐν ᾗ ἐτύγχανεν ὄντα ἕκαςον, πρὶν, ἢ ἀλλήλοις ἑνωθῇ, ἐπαναγομένων, τὰ ἐπὶ τὴν αὐτῶν μονάδα, τὴν αὐτῶν πρώτην ἁπλότητα, ἐπανιόντα, τὰ παντὸς ἄλλου, ὅπερ ἰδίᾳ ὑφίςασθαι δύναται, χωριζόμενα, ταῦτ᾽ ἐςὶν, ὅσα τῶν σωμάτων ςοιχεῖα ἐν τῇ φυσικῇ καλεῖται.

Στοιχεῖα ἄρα, τ᾽ ἀδιαίρετα μέρη, ὧν τῇ ἑνώσει ξυντίθεται τὰ σώματα, καὶ ἐφ᾽ ἅγε αὐτὰ ταῦτα, ὅσα ἀναλύεται, ἐπανήκει, τῇ ὑςάτῃ δυνατῇ διαιρέσει εἴκοντα· ἅτε ὄντος, πρὸ τῆς ἑνώσεως ταύτης, ἢ τὰ σώματα κατασκευάζει, ἢ μετὰ τὴν ἀνάλυσιν, ἢ ταῦτ᾽ ἀπώλλειται, ἀδυνάτου, ἐπ᾽ ἔτι ἐλάσσω, ἤτ᾽ ἀπολύτως ἐξοντήμενα, αὐτὰ ἐπανάγεσθαι.

Τὸν αὐτὸν ὁρισμὸν δόντος τοῖς ςοιχείοις τοῦ ἀριςοτέλους, ὡς μέρη ταῦτα, οἷς τὰ σώματα συνέςηκεν, ἑνώσει, ἢ μίξει, ἄλλων μερῶν συγκροτούμενα, οὐθ᾽ ὑπ᾽ ἀλλήλων παραγόμενα, κατὰ μὲν τὸν λαμπρὸν Λεϊβνίτιον, μέρη, ὧν ἡ ἕ-

νωσις τὰ σύνθετα συγκροτεῖ, ἢ τὰ τȣ̃ συνθέτȣ μέρη συνίςησι· κατ᾽ Οὔολφιον δὲ, ἡ ἐσωτερικὴ, ἡ πρώτη ἀρχὴ τῶν σωμάτων, ἡ ἐς ἄλλας ἀρχὰς μὴ εἰδυῖα ἀναλύεσθαι· ἅπαν. ἄρ᾽ ὅ, τι μέρη ἔχει, συγκροτȣ́μενον ἑνώσει τῶν οἵων δήποτε μερῶν, ἅδύναιτ᾽ ἂν ἀλλήλων διαζεύγνυσθαι, θάτερα, παρὰ θάτερα, ὑφιςάμενα, ϗ ὤθησιν δεχόμενα, ἣν ἀποποιεῖται τὰ λοιπὰ, ȣ̓ ςοιχεῖον, ἀλλὰ σῶμα· τ᾽ ἄρα ςοιχεῖον, ἀδιαίρετον, ὂν, ἀναγωγῆς ἐφ᾽ ἁπλȣ́ςερον, ἢ αὐτὸ, ἢ μείζονος διαιρέσεως, ἀνεπίδεκτον, πάντη ἀναλλόιωτον, ȣ̓δὲ παθητικὸν, πλὴν εἰμὴ ἐξοντώσει.

Τὰ σώματα, ἐκ τῶν ςοιχείων σύνθετα, ὡς τῇ τȣ́των ἑνώσει ϗ τῷ συνδυασμῷ συνιςάμενα· γινώσκεται δὲ ταῦτα ταῖς ἰδιότησιν, αἳ συνέπειαι, ϗ τῆς αὐτῶν ȣ̓σίας προκύπτον, τῇ τῶν ἐν αὐτοῖς ςοιχείων ἑνώσει ὁριζομένης· ȣ̓ γὰρ ὑφέςηκε τὰ σώματα, ὅ, τι μὴ τῇ τῶν, οἷς καὶ ξυντίθεται, ςοιχείων ἑνώσει· ἀναλύειν τὰ ςοιχεῖα, ἀπ᾽ ἀλλήλων ταῦτα διαζευγνύειν, τὸ σῶμα, τὴν τȣ́τȣ ȣ̓σίαν ϗ τὰς ἰδιότητας, ὧν ἡ τῶν ςοιχείων ἕνωσις, πηγὴ, ἐςὶν ὀλλύειν· ἐξοντȣ̃ν τὰ ςοιχεῖα, ὧν ἡ ἕνωσις τὸ σῶμα συγκροτεῖ, αὐτὸ τȣ̃το, ϗ τὴν τῶν αὐτȣ̃ ἰδιοτήτων ἀρχὴν, ἔςιν ἐξοντȣ̃ν· τὰ τὴν φύσιν, τὴν ȣ̓σίαν ϗ τὰς αὐτȣ̃ ἰδιότητας ὁρίζοντα, αὐτὰ ταῦτα τὰ ςοιχεῖα ϗ ἡ ἐν τȣ́τοις συνάφεια καθέςηκε· τὴν ἄρα τῶν ςοιχείων φύσιν, καὶ τὴν τȣ́των ἕνωσιν γινώσκοντες, τὴν τῶν σωμάτων φύσιν ϗ ȣ̓σίαν ἐπ᾽ ἀκριβὲς ἂν ἠπιςάμεθα, καθορῶντες ἤδη ἅπαν, ὅ, τι ἀυτῆς αὐτῶν συναφείας

προ-

προκύπτῃ, καὶ τὸ τὴν εἰδικὴν διαφορὰν τοῦ, ὃ κατεσκευάζετο, σώματος ποιούμενον.

Ὠφελείας οὖ τῆς τυχούσης ἔδοξεν ἡ γνῶσις αὕτη τοῖς φιλοσοφοῦσιν, ἣν ὅπως κτήσαιντ' ἂν ἀναλύειν ἔσπευσαν τὰ σώματα, ἵν' ἐπὶ τὰ τούτων ἀφικόμενοι στοιχεῖα, τὴν τούτων φύσιν διαγνῶσι, ταύτῃ δὲ τὴν τῶν σωμάτων οὐσίαν, καὶ τοὺς ἁπάντων τῶν τῆς φύσεως φαινομένων λόγους ἀνακαλύψαιεν, πείθοντες σφᾶς αὐτοὺς, ὡς, εἰ τρανῶς τὰ στοιχεῖα ταῦτα κατίδοιεν, ἱκανὸν ἐπισταμένοις, ὅπως αὐτὰ συνδυάζεται, διὰ τούτου τὰ τῆς αὐτῶν ἑνώσεως προκύπτοντα τῶν ἀποτελεσμάτων προορῶντας, ἅπαντος, ὅ, τιπερ ἐστὶ, λόγον διδόναι· ἀλλ' ἡ τῶν κατ' αὐτοὺς ζητημάτων ἔκβασις, ἢ ὁ καρπὸς, τίς; ἡ ἀπάτη, τὸ σκότος, ἡ ἀβεβαιότης, ἡ μυθολογικὴ φιλοσοφία, εἰκάσματ' ἀβέβαια, ὑποθέσεις, πρὸς τὸ δοκοῦν, ἀποδεδειγμένη ἀλήθεια, οὐδεμία, στερεὸν σύστημα, οὐδέν· ὁμολογοῦντες δὴ οἱ τούτων σοφώτεροι τὴν τῶν ζητημάτων τούτων ἔκβασιν, ἀδύνατον, ἀμήχανον εἶναι, φασὶ, ταύτην τῇ τ' ἀνθρώπου διανοίᾳ· ὡς τῆς τῶν πραγμάτων οὐσίας ταύτης γνωσθησομένης οὐδέποτε· ἀναλύσει γὰρ, διαιρέσει, ἔς γε τὰ τοῦ σώματος πρῶτα στοιχεῖα ἀφικνεῖσθαι, οὐκ ἔνεστιν· εἰδέναι μέντοι κατ' ἐπιτομὴν, τοὐλάχιστον, τὰς τῶν δοξῶν διαφόρους, ὅσαι τῶν ἄλλων ᾑρέθησαν, ἢ γοῦν πρὸς τῶν τοῖς ζητήμασι τούτοις ἀσχοληθέντων ἐξετέθησαν, οὐκ ἀνόνητον.

Τὸ τούτων πρῶτον, ὃ περὶ στοιχείων προτείνουσι, καὶ ὅγε πρὸ πάντων ἐχρῆν λύειν, τοιοῦτον, πότερον, ὑφέστηκε στοιχεῖα, ἢ οὔ;

Ἀποδεχόμενός τις τήν τε τῆς ὕλης καὶ τὴν τῶν σωμάτων ὕπαρξιν ἀποδέξεται ἤπου καὶ τὴν τῶν στοιχείων, οἷς ταῦτα ξυντίθεται. ἀναμφισβήτητον γάρ, εἰ πράγματι ὑφέστηκε σώματα, ἐκ μερῶν ταῦτα συγκεῖσθαι, ὧν θάτερα, παρὰ θάτερα, ὑφιστάμενα, χωρίζεσθαί τε καὶ ἑνοῦσθαι δύναται, καὶ ὧν τὸ σύνταγμα, εἴτ' οὖν τὸ ἄθροισμα, τά, ὅσαπερ ὑπὸ τοὔνομα τῶν σωμάτων, ἢ ὑλικῶν ὄντων, γινώσκομεν, συγκροτεῖ. ἀλλ' ἀρνουμένης τῆς τούτων ὑπάρξεως, τῶν μὲν πάλαι, τοῖς σκεπτικοῖς, τῶν δὲ καθ' ἡμᾶς, τῷ τῆς ἐν ἰρλανδίᾳ κλοιμένης ἐπισκόπῳ βερκλευίῳ, κατὰ καρτέσιον, Λεϊβνίτιον καὶ μαλεμβράγχιον, ἀναπτύσσειν βουλομένῳ ἅπαντα τὰ φαινόμενα, ὅσα τῷ ἡμετέρῳ νοῒ παρίσταται, καὶ τῆς, ἣν ἔχειν δοκεῖ τοῖς σώμασιν, ἐπιῤῥοίας λόγον διδόναι, τῶν μεθόδων ῥαοτέραν εὑρεῖν αὐτῷ οὐκ ἐξεγένετο, ὅ,τι μὴ τῶν σωμάτων, ἤτοι τὴν τῶν ὑλικῶν ὄντων πραγματικὴν ὕπαρξιν ἀρνεῖσθαι, διϊσχυριζομένῳ, μηδὲν ἀλλ' ἔχειν, ἢ τὴν κατ' ἰδέαν τούτων ὕπαρξιν, ἅπαν δὲ γινωσκόμενον ὑπὸ τὸ τῶν αἰσθητῶν ὄντων ὄνομα μὴ ὑπάρχειν, ἢ ἐν ταῖς καθ' ἡμᾶς ἰδέαις, ὡς, ἐκτὸς τούτων, οὐδεμίαν ἔχον τὴν πραγματικότητα· ἅτε μὴ ὄντων τῶν σωμάτων, ἢ εἰκόνων, αἷς ὁ ἐν ἡμῖν νοῦς ἀσχολλεῖται, κατὰ τὰ ἐνύπνια, ὡσεὶ ἐκτὸς τούτου μηδὲν αὐτῶν ὑφίστατο· ἅπασα ἄρ' ἡ διαφορά, ἡ μεταξὺ τῆς ἀϋπνίας καὶ τοῦ ὕπνου, τῇ ἰσχυροτέρᾳ, ζωηροτέρᾳ καὶ κανονικωτέρᾳ ἀντιλήψει βέβηκεν,

ἢν ἐγρηγορȣ̃ντες, ἢ ὀνειροπολȣ̃ντες, ποιȣ́μεθα· ἡ ψυχὴ, κατ᾽ αὐτὸν, τῷ ταύτῃ παρόντι ϗ πρὸς θεȣ̃ αὐτῇ παριςαμένῳ πίνακι σχολάζει, τῆς τῶν σωμάτων παραςάσεως μὴ δεομένȣ· τȣ̃ παντοδυνάμȣ ὄντος, ὅπως ἡμῖν τὴν τȣ́των ἰδέαν χαρίζηται, τῶν αἰσθημάτων ἡμᾶς ποιȣ̃ν πειρᾶσθαι, ἃ τοῖς ἐπὶ ταῖς ἡμετέραις αἰσθήσεσιν ἐκμαγείοις τῶν ὑλικῶν ὄντων ἀπονέμομεν· τὴν τȣ̃ συςήματος τȣ̃δ᾽ ἀνασκευὴν, ὅρα ὕλη.

Εἰ ϗ τὸ ἑαυτȣ̃ σύςημα εὐφυέςατα παρεςήσατο ἡμῖν ὁ σοφὸς ȣ̃τος, καθορᾶν γεμὴν, ὡς ὑποθέσεσι, ταῖς πρὸς ἀρέσκειαν, τȣτί ςρέφει, ἅττ᾽ ἀποδείξει τῇ οἵᾳ δήποτε μὲν ἐρειδόμενον, πάνυ ῥᾶον· αἱ δυσκολίαι, ὅσαι τῆς τȣ̃ νȣ̃ βραχείας γνώσεως προκύπτȣσι, ϗ τ᾽ ἀδύνατον, ἐν ᾧ τίθησιν ἡμᾶς ἡ τȣ́τȣ ἔλλειψις, τὰ φαινόμενα ταῦτ᾽ ἀναπτύσσειν, οἱ μόνοι λόγοι πεφύκασιν, ὅσοι κατασκευάζειν γεγόνασι πρόφασις τὰς εὐφυεῖς ταύτας πιθανότητας, ὧν τῆς κενότητος ξυνιέντας ἅπαντας τȣ̀ς φιλοσόφȣς, τȣ́τȣς ȣ̓δὲν ἐκώλυσε τήν τε τῆς ὕλης ϗ τὴν τῶν σωμάτων ὕπαρξιν, ἢ ἀναμφίβολλον, ταύτην ἀποδέχεσθαι· ἐπίςασθαι δὲ τὴν τȣ́των ὕπαρξιν, τὴν τῶν ςοιχείων, ἢ τῶν μερῶν, ἐξ ὧν ταῦτα συντίθεται, ἔςιν εἰδέναι, ϗ ἔτι τὴν τῆς πρώτης ὕλης, ἧς ἑνȣ́μενα τὰ μέρη, τὰ τῶν ὄντων σωματικὰ κατασκευάζει, ὅσα γινώσκομεν ϗ ὁρῶμεν συγκροτȣ́μενα, διυλιζόμενα, συντιθέμενα καὶ ἀναλυόμενα.

Ἀλλ᾽ ἡ τῶνδε τῶν ςοιχείων φύσις ϗ ȣ̓σία, τίς; ζήτημα, δεύτερον, ἐφ᾽ ȣ̃ τῇ λύσει ȣ̃τω

βραχὺ ἀλλήλοις ξυνᾴδεσιν οἱ φιλοσοφῦντες, ὡς ἁπασῶν τῶν δοξῶν, ἃς περὶ τύτυ ἠσπάσαντο, λόγον διδόναι, δυσχερές· περὶ γὰρ τῆς τύτων διαφορᾶς καταλέγειν, ἢ επαριθμεῖν δεῖ γνώμας, ὅσαι πρὸς ὃ γινώσκεσθαι, ἀδύνατον, καὶ περὶ ὧ πιθανότητας κατασκευάζειν, πᾶσις ἐλεύθερος, ἀναφέρονται, κοινάς τε καὶ ἀκλονήτυς ἀρχὰς, αἷς δυναίμεθ' ἂν ἀσφαλῶς περὶ τῆς αὐτῶν σερεότητος κρίνειν, μὴ πορίζομένυς.

Παραιτυμένοις ὖν ἐνταῦθα τὴν περὶ ταύτας ἀκρίβειαν, τρία γενικὰ συσήματα δυνατὸν διακρίνειν· τὸ μὲν πρῶτον ὐκ ἀποδέχεται, ὅ, τι μὴ τὰ σοιχεῖα, ἤτοι τὰς μεταφυσικὰς ἀρχὰς, ἄνευ οἱασῦν ἐκτάσεως· τὸ δὲ τὴν τῶν σοιχείων, ἤτοι τὴν τῶν ὑλικῶν ἀρχῶν ὕπαρξιν ὑποτίθησιν, αἵγε εἰ καὶ ὑπὲρ πᾶσαν αἴσθησιν, ὐχ ἧττυς μέντοι τῶν ἐν τοῖς σώμασιν, οἷαί περ ἅπασαι, ἢ καὶ τὰ σώματα, τὰ τῇ αὐτῶν ἑνώσει κατασκευαζόμενα, ἐπ' ἀκριβείας τοῖς τῆς μηχανικῆς πεπηγόσι τε καὶ ὡρισμένοις νόμοις ὑποκείμεναι, ἐν ἁπάσαις ταῖς, ἃς ἐπιδέχονται, κινήσεσι· ταύτῃ καὶ μηχανικὰ σοιχεῖα ταύτας καλῦσι· τὸ τρίτον ἀποδέχεται ἀρχὰς, εἴτ' ὖν σοιχεῖα, ἃ τέχνῃ ἀνακαλύπτειν, καὶ ἀκριβέσι πείραις ὑποτάσσειν, δύνανται αἱ αἰσθήσεις· ταῦτα δ', ὅσαπερ ἀρχὰς, ἢ αἰσθητὰ σοιχεῖα, ἤτοι χυμικὰ καλῦσι,

Τῶν πάλαι, ὅ, τε πυθαγόρας καὶ οἱ περὶ τῦτον τῷ πρώτῳ τύτων ἕπονται, ἡ τὰς αὐτῶν δόξας ἡμῖν σέξτος ὁ εμπειρικὸς ἐκτίθεται, βιβ. 10. κεφ. 4. οἱ τῇ περὶ φιλοσοφίαν μελέτῃ, δι' ἧς τὴν τῆς φύσεως γνῶσιν πορίζονται, ἑαυτοὺς

ἀνα-

ἀνατιθέμενοι, τοὺς διαλόγους ξυντιθέντας μιμοῦνται· ὡς γὰρ πρῶτον μὲν τὰς τούτων φράσεις οὗτοι ἐξετάζοντες, εἶτα δὲ τὰς, ὅσαι ταύτας ξυντιθέασι, λέξεις, τρίτον τὰς συλλαβὰς, ὅθεν αἱ λέξεις, τέλος ἐπὶ τὰ, ἐξ ὧν αἱ συλλαβαὶ, γράμματα, ὄντα τὰ τοῦ λόγου στοιχεῖα, παραγίνονται, οὕτω τὰ πρῶτα στοιχεῖα, ὅσα τὸ πᾶν τόδε ξυντίθησιν, ἐζήτουν οἱ πυθαγόρειοι· τὸ ταῖς αἰσθήσεσιν ὑποπίπτον, λέγειν, ἀρχὴν πάντων ὑπάρχειν, οὐ πρὸς φυσικοῦ· ὡς ταύτην αὐταῖς δεῖ μὴ ὑποπίπτειν· οἱ μὲν φάσκοντες τ᾽ ἄτομα, τὰ ὅμοια μέρη, τὰ μορίδια, τὰ σώματα ταῦτα, ἃ μηδὲν ἄλλο, ἢ ἡ τῆς διανοίας ἐσχάτη ἔκτασις καὶ κρίσις, ὑπάρχειν τὰ πάντων τῶν σωμάτων πρῶτα στοιχεῖα, ἔχονταί πως τῆς ἀληθείας, ἀρχὴν γινώσκοντες, ὅπερ, οὐχ ἡ τῶν αἰσθήσεων ἐσχάτη κρίσις καὶ ἔκτασις· οἱ δὲ σωματικὰς ἀρχὰς οἰόμενοι ταῦτα, ἀπατῶνται· ὡς γὰρ τὰ τῇ αἰσθήσει μὴ ὑποπίπτοντα, τῶν αἰσθητῶν ἡγεῖται, οὕτω καὶ τῶν σωμάτων ἀλλ᾽ ἄττα ἑτερογενῆ· ὡς δὴ τὰ τοῦ λόγου στοιχεῖα, οὐχ ὁ λόγος αὐτὸς, οὕτω τὰ τῶν σωμάτων, οὐκ αὐτὰ τὰ σώματα, ἀλλ᾽ αἱ μόνῃ διανοίᾳ κατανοούμεναι τῶν ἀρχῶν.

Πάνυ ὁμοίας τῶν ἰδεῶν περὶ στοιχείων ὁ πλάτων ἀνελίττετο· μαρκέλος φαγῖνος, ἐν τῷ πρὸς τιμαῖον ὑπομνήματι, τοιαύτην ἡμῖν τὴν τούτου δόξαν ὑποβάλλει. ἅπαν σύνθετον, ἐφ᾽ ὃ μὴ σύνθετον, ἐπανήκει· τὸ δὲ διαστατὸν πρὸς ἀδιαστάτων συγκροτεῖται· οἱ ἀριθμοὶ ἐπὶ τὴν μονάδα ἐπανάγονται, ἢ πρὸς ἄλλων ἀριθμῶν οὐδαμῶς σύνθετος, ὃ ταυτὸν καὶ λέγειν, ὡς ἀνέκτατα, ἀδιά-

ἀδιάςκτα, ὄντα τὰ ςοιχεῖα, ἢ σώματα, τὸ δ' ἐκτατὸν, πρὸς ἀνεκτάτων σύνθετον· ἡ τῦ Σωκράτης, ὃς Πλάτωνος καθηγήσατο, δόξα, κατὰ Πλάταρχον, ἡ αὐτὴ τῇ ἐκείνε, ἧς δοκεῖ γεγονέναι ϗ αὐτὸν Ἀριςοτέλη, εἰ ϗ ὅτως ἀσαφὴς, ἡ περὶ ςοιχείων διδασκαλία τέτε, ὡς τὴν αὐτῦ δόξαν ὁρίζειν, δυσχερέςατον· δοκεῖ γε μὴν ταύτην τῆς αὐτῆς ὑπάρχειν ἰδέας, ἣν ϗ τῇ πρώτῃ ὕλῃ παρέχεται· κατὰ ταὐτὰ ϗ ἡ τῦ ξενοφάνες, Παρμενίδε, ϗ ἄλλων τινων ἐλεατικῶν, τῆς τῶν εἰρημένων ὁδὲν ὅλως διαφέρει· γινώσκειν τὰ τῆς διδασκαλίας τῦ λαμπρῦ Λεϊβνιτίου, ϗ τῶν περὶ Οὐόλφιον μαθητευσάντων σπέρματα, ἐν ταῖς τῶν πάλαι δόξαις, πάνυ ῥᾷον· αἱ γὰρ ἐκείνε μονάδες, ϗ τὰ τέτε ςοιχεῖα, τί τῶν Πλάτωνος ἰδεῶν, τῶν πυθαγόρε ἀσωμάτων ἀρχῶν, ϗ τῶν ἄλλων, περὶ ὧν εἴρηται, διενηνόχασι; Λεϊβνίτιος αὐτὸς ὁμολογεῖ, ὡς ὀκ εὐάριθμ' ἄττα πρὸς Πλάτωνος ἠρύσατο, ἀληθείας εὑρὼν ἐν τούτῳ, αἷς οἱ πρὸ αὐτῦ ὀδόλως ἐνέκυψαν.

Εἰ δυνατὸν κατανοεῖν, ὅπως τ' ἀνέκτατον, ἑνώσει πλειόνων ταυτογενῶν, ἐκτατὰ κατασκευάζειν δύναται, γινώσκειν ἴσως ὅτος βιασθήσεται, ὡς τὸ τῶν κατὰ Λεϊβνίτιον σύςημα, περὶ τῶν φαινομένων, διδόναι λόγον, προχειρότερον.

Ὑφέςηκε σύνθετα, ϗ ἑπομένως μέρη τῶν συνθέτων· ἀλλ' ἅπαν, ὅ, τι ὑφέςηκε, τὸν τῆς αὐτῦ ὑπάρξεως ἀποχρῶντα λόγον δέον ἔχειν, ᾧ τῦτον μᾶλλον, ἢ ἐκεῖνον, τὸν τρόπον ὑφέςηκεν·

κεν· ἐφ' οἷον δήποτε βαθμὸν προάγῃ ἄν τις τὴν ἀνάλυσιν τῶν τῷ συνθέτῳ μερῶν, ἀεὶ ἔκτασιν καὶ ὡρισμένον σχῆμα ταῦθ' ἕξει, μόνῃ διανοίᾳ ληπτά· σύνθετ' ἄρα τάδε τὰ μέρη, ὡς ἐκ μερῶν, ἐν οἷς ὁ τῆς αὐτῶν ἐκτάσεως καὶ τῷ σχήματος λόγος οὐχ εὕρηται, καὶ οὐδὲ ἡ τῶν τῆς ὕλης μερῶν ἐπ' ἄπειρον διαίρεσις, ἥπερ ἀδύνατος, τοῦτον ἀπονέμει· ἐν ἄρα τῇ τῶν ἁπλῶν ὄντων ὑπάρξει, ἅπερ ἀμερῆ, ταύτῃ καὶ μονάδες καλούμενα, ἐστὶ ζητητέος· τῇ διδασκαλίᾳ τῇδε, ἀνέκτατοι, ἄσχημοι, ἀδιαίρετοι, τ' ἀληθῆ φυσικὰ ἄτομα, αἱ μονάδες· οὖσαι δ' ἀμερεῖς, ἐντεῦθεν καὶ τὴν κατὰ διαδοχὴν κίνησιν ἀδυνάτου δέχεσθαι, κατὰ τὰ σώματα, ὧν δυνατὸν ἀφορίζεσθαί τι μέρος, μενόντων τῶν λοιπῶν, ὃ διαιρετὰ ταῦτα καθίστησιν· οὖσαι ἤδη τὰ τῷ κόσμῳ ἀληθῆ στοιχεῖα, κατὰ Λεϊβνίτιον, αἱ μονάδες, τὸν τῆς ὑπάρξεως τῶν μερῶν τῷ κόσμῳ καὶ πάντων τῶν συνθέτων λόγον ἑαυταῖς ἐμπεριέχουσιν· οὕτως οὐδὲν ἀπολύτως ἁπλῶν, ὡς εἰπεῖν, ἢ αἱ μονάδες, ἀμερεῖς οὖσαι καὶ ἀνέκτατοι. αἱ μονάδες, ἤτοι τὰ Λεϊβνίτια στοιχεῖα, διαιρεῖσθ' ἀδυνατοῦντα, πρὸς ἀλλήλων ἤπου γεννᾶσθαι οὐκ ἂν δύναιντο· ἐπὶ τὴν ὕπαρξιν οὐ παραγίνονται, ἢ πρὸς τῆς δημιουργίας· οὐδ' ἀποτελέσματι φυσικῆς δυνάμεως δύναιντ' ἂν ὄλλυσθαι, ὡς μὴ δυνάμενα ἐξουθενοῦσθαι, ἢ τῇ ταῦτα δημιουργησάσῃ δυνάμει· κατασκευάζεται μὲν τὰ σύνθετα τῇ κατὰ διαδοχὴν ἑνώσει τῶν ἁπλῶν, ὄλλυται δὲ τῇ κατὰ διαδοχὴν ἀναλύσει τῶν αὐτῶν, ὁ δημιουργίαν, ἢ ἐξουθένωσιν, οὖσαι τῶν τῆς φύσεως δυνάμεων ὑπερέχουσιν, οὐκ ἀπαιτεῖ.

Τοιαύτη, κατὰ τοὺς φιλοσόφους τούτους, ἡ τῶν ςοιχείων φύσις, ὡς θάτερον θατέρῳ ἐσωτερικῶς ἐνεργεῖν, διαβαίνειν, ξυμβεβηκότων αὐτῷ μεταδιδόναι, οὐκ ἂν δύναιτο· κεκόσμηται δὲ ταῦτα ποιότησιν, ὅσαι τούτοις οὐσιώδεις, θάτερον θατέρου οὕτω διακρίνουσαι, ὡς θάτερον τὸ ἕτερον, ἢ ὅμοιον τούτῳ, μὴ ὑπάρχειν.

Τὰ τῶν περὶ Οὐόλφιον ἁπλᾶ ὄντα ταῖς κατὰ Λεϊβνίτον ἁπλαῖς μονάσι ταὐτά· τὰ σώματα, κατ' ἐκεῖνον, ἐν τῇ καθόλου κοσμολογίᾳ, §. 176, κτ. συςήματα, εἴτ' οὖν ἀθροίσματα, ἢ σωρρεῖαι ἁπλῶν οὐσιῶν· αὐτὰ ταῦθ', ὅσα τὴν τῶν σωμάτων ὑπόςασιν πᾶσαν συγκροτεῖ, καὶ τὴν τούτων οὐσίαν ὁρίζει, πέφυκεν ἁπλᾶ ὄντα· αἱ ἁπλαῖ αὗται οὐσίαι, τῶν σωμάτων ςοιχεῖα· ἡ μὲν ὕλη, σύνθετος, κατ' Οὐόλφιον, ἁπλᾶ δὲ τὰ ςοιχεῖα· ταύτῃ καὶ λέγειν κατὰ ςοιχείων, ὃ καὶ καθ' ὕλης, ἀμήχανον· αἱ ἁπλαῖ οὐσίαι, ἤτοι τὰ ςοιχεῖα, ἀνέκτατα, ἄσχημα, ἄποσα, διάςημα καταλαμβάνοντα μηδὲν, ἐσωτερικῆς κινήσεως, ὑποτιθεμένης ἀναγκαίως μέρη, ἀνεπίδεκτα, θάτερα, παρὰ θάτερα, ὑφιςάμενα, ἀδιαίρετα, οὐχ ὡς τὰ κατ' Ἐπίκουρον, διὰ τὴν αὐτῶν ςερεότητα, ἀλλὰ διὰ τὴν τῶν μερῶν καὶ τῆς ἐκτάσεως ςέρησιν, δυνατὸν γεμὴν ἄτομα καλεῖν τὰ ςοιχεῖα· ὁ δ' Οὐόλφιος τῷ τῶν φυσικῶν ἀτόμων ὀνόματι διακρίνει ταῦτα τῶν, ὅσα περ εἰ καὶ ταῖς τῆς φύσεως δυνάμεσιν ἀδιαίρετα, παρ' αὐτῶν γεμὴν διαιρετά, ταύτῃ καὶ ὑλικὰ ἄτομα ταῦτ' ὀνομάζει.

Τῶν ὑλικῶν ὄντων ςοιχεῖα πέφυκε, τὰ φυσικὰ, ἐγὶ δὲ τὰ ὕλικα, ἄτομα, ὡς ταῦτα μὲν, καθ' αὑτὰ ὄντα διαιρετὰ, ἔχει μέρη, ἐκεῖνα δ' ἀμερῆ ὄντα, ἀδιαίρετα· τῶν δὲ περὶ τὰ ςοιχεια ταῦτα ποιοτήτων, ὅσας καθορᾷν ἐν τοῖς συνθέτοις, ἃ τῆς ἐκείνων ἑνώσεως προκύπτει, ἡμιν ἡ πεῖρα παρέχεται, εἰσὶν αἳ, ἐπεὶ ἐν τῇ τῶν ςοιχείων φύσει ὁ τέτων λόγος ἐκ ἐμφαίνεται, ἐν μόνοις τοῖς ξυνθέτοις παρίςαται· καλἕνται δὲ πρὸς τῶν φιλοσόφων κεκρυμμέναι, ὧν ἐπεὶ ἡ τῆς ἁπλότητος φύσις τὸν λόγον μὴ δίδωσιν, ἐν τῷ τἕ δημιεργἕ βελήματι τἕτον εἶναι ζητητέον· τοιαῦται δὴ, τό, τε σχῆμα ϗ ἡ βαρύτης· ἕτω τὰ ὑλικὰ τῶν ἀτόμων, οἷα ἐκτατὰ, ἔχει σχῆμα, συντιθεμένων δ' ἀνεκτατοις ἐσίαις, τῆς τἕτων φύσεως ἐξάγειν τὸν λόγον τἕτῃ μᾶλλον, ἢ ἐκείνε, τἕ σχήματος, ἀμήχανον· ἕσ' ἄλλως' ἀδιάφορος τἕτῳ, ἢ ἐκείνῳ τῷ σχήματι, αὐτὴ ταύτη ἡ ἔκτασις, ἣ της τῶν ςοιχείων ἑνώσεως προκύπτει, τὸν τἕ περὶ τὰ σῶμα σχήματος λόγον ἐκ ἀπονέμει.

Τοῖς ςοιχείοις τοῖσδε ἐνεργητικὴν, οἵαν δήποτε, δύναμιν, δι ἧς τὸ ἁπλἕν ὂν τἕτο, κινήσεως δεκτικὸν, παρεχόμενος ὁ Οὐέλφιος, ταύτην ἐκτίθησι, λέγων, ὡς ἐσωτερική τις ἀΐδιος μεταβολὴ τῆς τἕ ςοιχείε κατας άσεως· καταςάσεως, ἧς ἡ παρἕσα ῥοπὴ τὸν τῆς ἑπομένης ταύτῃ λόγον ἐμπεριέχει· ἡ τῶν συνθέτων διαφορὰ προκύπτειν ἐδύναται, ἢ τῆς τῶν ςοιχείων, ϗ ἀνάπαλιν, ἡ τἕτων ὁμοιότης, ὁ τῆς τῶν συνθέτων λόγος· ὁ γὰρ λόγος τἕ, ὃ τῷ συνθέτῳ ἐσιῶδες, τῇ τῶν, οἷς ξυντίθεται, ςοιχείων ἐ-

σια

σία ἐμπεριείληπται· ϗ τῆς μὲν πρὸς ἄλληλα σχεσέως αὐτῶν, ἡ τῶν ὑλικῶν ὄντων ἀναφύεται, τῆς δὲ πρὸς ἄλληλα ἐνεργείας, ὁ τῆς πρὸς ἄλληλα ἐπιῤῥοίας τῶν σωμάτων λόγος· μεταβαλλέσης τῆς ςοιχείȣ τινος καταςάσεως, ἢ τῷόντι ϗ συνεχῶς μεταβάλλει τῷ λόγῳ τῆς ἐνεργητικῆς δυνάμεως, ἥπερ αὐτῷ ἰδία, ἡ ἐπὶ τ' ἄλλα τῶν ςοιχείων ἐπίῤῥοια τȣ̃τȣ κατὰ ταὐτὰ ὡσαύτως μεταβάλλει· ȣ̃σης δὲ καθόλȣ τῆς ἐπιῤῥοίας ταύτης ἀκολȣθία τῆς σχέσεως, ἣ πάντα ξυνδεῖ τὰ ςοιχεῖα, θάτερον τȣ́των μόνον ὅλῳ τῷ παντὶ ἐπιῤῥεῖ· ὡς εἴτις τὴν ςοιχείȣ τινος κατάςασιν ϗ τὰς ἐν αὐτῷ πραγματικὰς σχέσεις γνοίη πρὸς ἀκρίβειαν, ȣ̃τος τό, τε παρῳχηκὸς ϗ τὸ μέλλον ἐπίςαθαι σχήσει.

Τοιαῦδ' αἱ δόξαι τῶν φιλοσόφων, ὅσοι μηδὲν ἄλλ' ἀποδέχονται, ἢ τὰ φυσικὰ τῶν ςοιχείων· ἀλλ' εἰ ϗ μηδενὶ δυνατὸν ἀρνεῖσθαι, ὡς τὰ πλείω τῶν φαινομένων διὰ τȣ́των ῥᾷςον ἑρμηνευείν, ȣ̓δὲν ἧττον γεμὴν ϗ δυσκολιῶν πληθύς τις τὸν μὴ προκαταληφθέντα κωλύει φιλόσοφον· ἡ κατὰ Λεϊβνίτιον προδιατετταγμένη ἁρμονία, ἡ τȣ́των προκύπτȣσα, εὐαριθμοτέρας ἔχει τὰς δυσχερείας, ἢ τὸ κατὰ μαλεμβράγχιόν τε ϗ βερκλεύιον σύςημα· ἆρ' ȣ̓ν ῥᾷότερον πρὸς περινόησιν, ὡς αἱ τῶν ȣ̓σιῶν ἀνέκτατοι τὰ τῶν σωμάτων ἐκτατὰ συντιθέασιν, ἢ ὡς ἀνέκτατόν τι ἐκτατῇ ȣ̓σίᾳ ἐνεργεῖ.

Διαφόρȣ τινος δόξης ἀντεχόμενοι οἱ τῶν φιλοσοφȣ́ντων ἐν δοξότεροι, προΐςανται, ὡς τ' ἄτο-

το-

τομα, σωματικαὶ, ἐκταταὶ, καὶ μηχανικαὶ ἀρχαὶ, εἰ καὶ ὑπὲρ τὰς αἰσθήσεις καὶ τὰ τῆς τέχνης ζητήματα αὐται· μὴ ἀποδεχόμενος, ἢ ἀρχὰς τοῦ παντὸς, ἢ τά τε ἄτομα καὶ τὸ κενὸν, ὁ Δημόκριτος, εἰ καὶ τούτοις οὐδεμίαν ἀπένειμε ποιότητα. πάντη διάφορα ταῦθ' ὑποτιθέμενος, ἀλλὰ τὰς τῶν ὄντων διαφόρους ποιότητας, τῆς τούτων συναφείας προκυπτούσας, τῷ διαφόρῳ σχήματι κυρίως, καὶ τοῖς αὐτῶν διαφόροις συνδυασμοῖς παρείχετο, διαφόρων σχημάτων αὐτὰ ὑποτιθέμενος· ταῖς τούτου ἰδέαις ἑπόμενος ὁ Ἐπίκουρος, τῷ τῶν ἀτόμων διαφόρῳ σχήματι, διάφορον μὲν, ἀστιώδη δ' ἑκάστῳ, κίνησίν τινα προστίθεται· τῶν μὲν πάλαι, ὁ Λουκρέτιος, ἐν τῷ περὶ φύσεως πραγμάτων πονήματι αὐτοῦ, ὁ Πλούταρχος καὶ Διογένης ὁ Λαέρτιος ἔκθεσίν τινα τῆς τούτων διδασκαλίας ἡμῖν παρέδων, τῶν δὲ καθ' ἡμᾶς, ὁ λαμπρὸς γασσένδος μεγίστῃ λεπτολογίᾳ ταῦτα κατανοεῖν ἐχαρίσατο· τὰ, κατ' Ἐπίκουρον, ἄτομα, ἀδιαίρετα, ὅτι ἐν τῇ φύσει οὐδεμία δύναμις δυνατὴ, ἐπὶ τὰς αὐτῶν ἐλαχίστας ἀρχὰς ταῦτ' ἐπανάγειν, διαφόρως δ' ἐσχηματισμένα, δυνάμεως εἴληχεν, ἣ ταῦτ' ἐν κινήσει τιθεμένη, ποιεῖ κινούμενα, μηδενὸς αὐτοῖς ἀνθισταμένου.

Καρτέσιος, ὁ τῆς φιλοσοφίας εὐεργετικὸς ἀνακαινιστὴς, οὐ τὰ ζητήματα τῇ τῶν ἐννοιῶν προόδῳ ξυμφέροντα, καίπερ ἀποπλανώμενος ἐν τούτοις, τὰ γεμὴν ἄτομα ὡσαύτως, οἷα στοιχεῖα καὶ οὗτος ἐξεδέξατο, σχήματος μὲν διαφόρου, σκληρᾶς δ' ὕλης σωμάτια, ταῦθ' ὑποτιθέμενος, οὕτω δ' ἀλλήλοις συνημμένα, ὡς μηδέν τι κενὸν

ἐν τούτοις διειλῆφθαι, διδάσκων, ἅπαντα πλήρη, καὶ μηδὲν αὐτοῖς κενὸν ἐγχωρεῖν δύνασθαι· δεχομένων μὲν πρὸς τοῦ δημιουργοῦ τὴν κίνησιν, ἣ τὴν τούτων θέσιν μεταβάλλουσα, τ' αὐτῶν σχῆμα τριβῇ ἀλλοιοῖ, τηρούντων δὲ τῶν ἐλαχίστων τὸ κέντρον, ἀναλόγως τῷ τοῦ αὐτῶν ὄγκου μεγέθει τὰ λοιπὰ τοῦτ' ἀφίσταται, ἐκ δὲ τῆς περὶ ταῦτα κινήσεως, τριβῆς, τοῦ διαφόρου συνδυασμοῦ τὸ πᾶντόδε συγκροτεῖται.

Τὰ τῆς ὕλης στοιχεῖα ἠσπάσαντο κατὰ ταὐτὰ καὶ οἱ περὶ νεύθωνα, ἐκτατὰ, ἐσχηματισμένα, στερεὰ καὶ ἀκίνητα, μέγεθος, σχῆμα καὶ ἰδιότητας ἔχοντα, τῷ αὐτῶν προσδιορισμῷ, καὶ τόπῳ, ὃν ἐν τῷ παντὶ καταλαμβάνειν δέον, συντεινούσας, ὡς ἀναλλοίωτα καὶ ἀδιαίρετα, ταῦτα θεωροῦντες· οὕτω δὲ, ὡς τὰς τοῖς σώματι ξυμβαινούσας μεταβολὰς μὴ ὑφίστασθαι, ἢ ἐν ταῖς τῶν ἑνώσεων καιναῖς, τοῖς χωρισμοῖς καὶ συνδυασμοῖς καὶ τροπαῖς τῆς κινήσεως· ἅπασαι δ' αἱ τροπαὶ αὗται κατ' ἀκολουθίαν γίνονται καὶ νόμους τῆς μηχανικῆς, οἷς ὁ δημιουργὸς ὑπέταξεν ἅπαντα τὰ τῆς ὕλης διάφορα μέρη, ἅπερ, οἷα μὴ διαφέροντ' ἀλλήλων, ἤτοι θεωροῦσιν, ἢ τῷ ὄγκῳ, τῷ σχήματι, τῇ αὐτοῖς μεταδοθείσῃ κινήσει, καὶ τῶν δοθεισῶν δυνάμεών τισι, τοῖς μὲν πλειόνων, τοῖς δ' ἐλασσόνων, κατὰ τὸν αὐτῶν προσδιορισμὸν, οἷος, ὁ τῆς ἑλκυστικῆς δυνάμεως.

Τῶν, ὅσοι τὰ μηχανικὰ στοιχεῖα ἀπεδέξαντο, ὡς ἅπασι τοῖς, οἳ πάνυ γενικῶς ἡμῖν ἐγνώσθησαν, μηχανικοῖς νόμοις τῆς κινήσεως πρὸς τοῦ δημιουργοῦ ὑποτάγεντα, ταῦθ' ἕκαστος θεωροῦ-

σιν, εἰ ϗ τὸν τῆς αὐτῶν ὑπάρξεως λόγον ἀποδιδόναι μὴ δύνανται· λογιζόμενοι γεμὴν τ᾽ ἀποτελέσματα, τὰς τούτων συνδυασμὰς προορῶσιν· εἴκειν δ᾽ αὐτὰ τοῖς νόμοις τοῖσδε δεῖ, ὡς τά τε τῶν σωμάτων ἐγνωσμένα πάντα τούτοις ὑπόκειται, ϗ αἱ τούτων ποιότητες τὸν αὐτῶν ἔχουσι λόγον ἐν ταῖς ἐκείνων, οἷς ξυντίθενται.

Μὴ ταὐτοφυῆ ὑπάρχειν ἅπαντα τὰ σώματα σημειοῦντές τινες τῶν φιλοσόφων, ὡς ἀξιοσημείωτόν τινα διαφορὰν μεταξὺ τῆς τεθνηκείας ϗ ζώσης ὕλης τῶν σωμάτων ἰδίᾳ παρατηροῦντες, εἰδικά ἅττα δεῖν τῶν ϛοιχείων τούτοις ἐμπεφυκέναι ᾠήθησαν, τῇτε τῶν ζώντων κατασκευῇ ὡρισμένα, ϗ τῶν, ὧν τῇ ἑνώσει τ᾽ ἄλογά τε ϗ τραχέα τῶν σωμάτων συνίϛαται, οὐσιωδῶς διαφέροντα, εἰ ϗ τούτοις πανταχοῦ μεμιγμένα, ϗ τοῖς εἰδικῆς τινος μηχανικῆς νόμοις ὑποκείμενα, τῶν τῆς περὶ τ᾽ ἄψυχα τῶν σωμάτων κινήσεως διεννηνόχασιν· οὗτοι, ἢ ϗ οἱ ἀνωτέρω, πρὸς τοῖς τῶν ϛοιχείων μηχανικοῖς. ἀποδέχοντ᾽ ἔτι, παρὰ ταῦτα, ὑπὸ τῷ τῶν ὀργανικῶν μορίων ὀνόματι, ϗ τὰ ζῶντα τῶν ϛοιχείων· ὁ λαμπρὸς ϗ κομψὸς κύριος Βουφφὼν, οὗτος, ὃς πρῶτος, ἐν τῇ αὐτοῦ, περὶ ζώων, φυσικῇ ἱϛορίᾳ, μεθοδικόν τι εἶδος χαριζάμενος τῷδε τῷ συϛήματι, τοὐτὶ πᾶσιν ἐκόσμησεν, ὅσων ἀπατηλήν τινα ϛωμυλίαν δυνατὸν αὐτῷ μεταδιδόναι, πλείοσιν αὐτὸ ὑπασπιϛικαῖς πείραις ἐδρασάμενος· ὁ κύριος Δημέτης, ἐν τοῖς περὶ ἀρχῆς τῶν τοῖς νεωτέροις ἀνατιθεμένων ἀνακαλύψεων ζητήμασι τόμ. ά. ὁρᾶν δέδωκεν, ὡς ἡ βάσις τῆς τῶν διαφόρων τούτων συϛημάτων θεωρίας, περὶ καθόλου ὕλης, γεννέ-

σεως

σεως καὶ τροφῆς τοῖς πάλαι οὐκ ἠγνοεῖτο· ἐξ οὗ ἔπεστιν εἰκάζειν, ὡς τῆς τούτων μελέτης τὴν ἰδέαν ταύτην οἱ καθ' ἡμᾶς ἀπηρύσαντο· τωόν τι γὰρ μεταξὺ τῆς τοῦ κυρίου Βουφφῶνος καὶ Νεδχάμου, ἐκείνου μὲν, ἐν τῇ καθ' αὐτὸν φυσικῇ ἱστορίᾳ, τούτου δ' ἐν τοῖς τῶν μικροσκοπίων ζητήμασι, καὶ τῆς τῶν πάλαι δόξης, εἴπερ, ἡ τοῦ Ἀναξαγόρου, Ἐμπεδοκλέους, τῶν πυθαγορικῶν καὶ πλατωνικῶν τῶν παραδόξων τις ἀναφαίνεται ὁμοιότης· ὁ κύριος Βουφφὼν, ἢ καὶ οὗτοι, κοινήν τινα τοῖς τε ζώοις καὶ φυτοῖς ὕλην δοξάζουσιν, ὑπάρχειν ἐν τῇ φύσει, τῇ τούτων, κἀκείνων, τροφῇ τε καὶ ἐξελίξει ὑπουργοῦσαν· ἀλλ' ἀπονέμειν ἐχρῆν, τοῦδ' ἕνεκα, τοῖς μέρεσι τοῖσδε εἶδός τι ἐνεργείας, ὃ τῆς ἁπλῆς ὑποταγῆς, ἣ τῇ τεθνηκείᾳ ὕλῃ ἐμπεφύτευται, τοῖς τῆς κινήσεως μηχανικοῖς νόμοις διέφερε· κεκοσμεῖσθαι δ' ὡσαύτως, φασὶ, τὰ τῶν μορίων ὀργανικὰ εἰδικῇ τινι ἐνεργείᾳ, ταῦτα πρὸς ἄλληλ' ἀγούσῃ, ἔξωθεν ταύτην κωλύειν μὴ ὄντος ἱκανοῦ τινος, ἀλλήλοις ὅμοια. διαφόρως συνδυαζόμενα, κατὰ τὰς περιστάσεις καὶ αὐτά γε ταῦτα, διαλαττόμενά τε καὶ διατιθέμενα, πρὸς φυτοῦ, ἢ ζώου τινος, κατασκευὴν, κατὰ τύπους, ὅσοι ταῦτα δέχονται, καὶ περιστάσεις, ὅσαι μᾶλλον τῷδ', ἢ ἐκείνῳ, ξυντρέχουσι τῷ ἀθροίσματι· ταῖς ἰδέαις, ἃς εὐφυεῖ καὶ συνδρομικῇ τῷ αὐτοῦ συστήματι τέχνῃ ὁ κύριος Βουφφὼν παρίστησι, πάνυ ὁμοίας τοῖς τοῦ Λειβνιτίου μεταφυσικοῖς στοιχείοις καὶ τοῖς τῶν σχολιαστῶν εἴδεσι προσθεὶς ὁ κύριος Νεδχάμος, τοῖς στοιχείοις ἐμφύτους τινὰς δυνάμεις ἀποδέδωκεν, οἰόμενος τέλος, ὡς ἐπὶ τὸν τῆς αὐτῆς λεπτότητος βαθμὸν ἡκόντων τῶν μεμερῶν, ἅπας συνδυασμὸς ἐφ' ἁ-

πλᾶ

πλᾶ ἐνεργοῦντα ἐπανήκει, εἴπερ, ἥτ' ἀνθίστασις καὶ ἡ κίνησις, ὡς τὰς κατ' αὐτὸν ἀρχὰς ἐπὶ τὰς μεταφυσικὰς τέλος ἐπανάγεσθαι.

Τῶν φιλοσοφούντων κλάσις τις τέλος δίδοται, ὅσοι μόνον τὰ αἰσθητὰ, φυσικὰ καὶ ὑλικὰ στοιχεῖα ἀποδέχονται, ἅγ', εἰ καὶ πάνυ βραχέα, ταῖς αἰσθήσεσιν ἀδιαιρέτως ὑποπίπτοντα, ἐν ποσότητι γεμὴν ἐνόμενα, ὁρᾶται, ὡς μορίων σωρεία, παριστάμενα, ἃ χωριζόμενα τῶν, ὅσα διάφορα, δυνατὸν ἀκριβέσι πείραις ὑποτάσσειν· οἴονται δὴ οὗτοι, διαφόρου εἴδους ὄντα, εἰς κλάσεις διανέμεσθαι, τῶν ὀνομάτων εἰδικοῖς καλλωπιζόμενα, τοῦ δὲ περὶ ταῦτα πολυειδοῦς συνδυασμοῦ ξυμβαίνειν, ἵνα διάφορα προκύπτῃ σώματα, πολυτρόπως ἐν τῇ φύσει μιγνύμενα· ἀλλ' ἡ τῶν χυμικῶν ἀναλυτικὴ τέχνη, ἀλλήλων ταῦτα χωρίζουσα, βιάζεται, ὅπως ἡμῖν ἑαυτὰ ὑπὸ τὸ ἑαυτῶν πρῶτον εἶδος παριστῶσιν, εἶδος, ὃ καὶ τηροῦσιν, ὅτ' εὐπαντὸς ἄλλου χωρίζονται, ἀλλήλοις διαταττόμενα, ὡς τὴν αὐτῶν σωῤῥείαν τὸ τῶν ἀδιαιρέτων μερῶν σχῆμα φυλάττειν· τέτταρα ἀρχειδῆ στοιχεῖα πρῶτον λογιζομένων, εἶτ' οὖν, τὸ πῦρ, τὸ ὕδωρ, τὴν γῆν καὶ τὸν ἀέρα, οἷς μικροῦ οὐκ εὐάριθμ' ἄττα προσιθέασιν, ἤτοι τὸ ἅλας, τὸ θεῖον, τὸν ὑδράργυρον, ὅσα, παρὰ τὰ εἰρημένα τέτταρα, τῶν διαφόρων σωμάτων ἐξάγουσι.

Ζήτημα τρίτον, ὃ τοῦ δευτέρου ἤρτηται· πότερον, ταυτοφυῆ ἅπαντα τὰ στοιχεῖα, ἡ δε τῶν σωμάτων διαφορὰ, τῆς τῶν μερῶν διαφόρου τάξεως

ξεως καρπὸς, ᾽κ᾽χὶ ἡ τῆς τῶν ςοιχείων φύσεως ᾽ᾳσιώδης ποικιλία;

Τῆς τῶν φιλοσοφȣ́ντων δόξης, ὅσοι, οἷα ὁμοιοφυῆ, ταῦτα θεωρȣ̃σιν, ὡς τῇ τȣ̃ σχήματος ἐκτάσει, ἢ κινήσει ἀδιάφορα, μόνῃ τῇ τῆς τάξεώς τε ϗ τȣ̃ συνδυασμȣ̃ τῶν μερῶν τȣ́των διαφορᾷ ὀφειλομένης τῆς τῶν σωμάτων, ὁ Δημόκριτος, Ἐπίκȣρος, Καρτέσιος ϗ Νεύθων ἐγένοντο· τῆς δὲ τῶν, ὅσοι ἑτεροφυῆ, ȣ̓ μόνον ȣ̓σιωδῶς ϗ ὑποςατικῶς ἀλλήλων διαφέροντα, ἀλλὰ ϗ τῷ σχήματι, τῇ ἐκτάσει ϗ κινήσει, ὡς τὴν τῶν σωμάτων διαφορὰν τῇ τῶν ςοιχείων φυσικῇ, τῇ ἐν τȣ́τοις γεγονυίᾳ μίξει, ἢ ἂν ἐν τῷ συνθέτῳ κυριεύῃ εἶδός τι, ϗ τῷ τῶν διαφόρων ἀρχοειδῶν τȣ́των μερῶν συνδεσμῷ ὀφείλεσθαι, οἱ Πυθαγόρειοι, οἱ Πλατωνικοὶ, ϗ Λεϊβνιτιανοὶ, ϗ ἔθ᾽ ὁμοίως οἱ τὰ ὀργανικὰ μορίδια ἀποδεχόμενοι· οἱ δὲ τέλος, ὡς τ᾽ ἀλλήλων διαφέροντα ταῖς ἐν τȣ́τοις ποιότησιν, ἐκδιαφόρων ςοιχείων ὁμοίως ἅπαντα κατασκευάζεται, ϗ τῶν ςοιχείων τοσαῦται διάφοροι τῶν κλάσεων, ὅσαιγ᾽ αἱ τῶν σωμάτων· ἄλλα γὰρ τὰ τῶν ὀςέων τȣ̃ τῶν ζώων σώματος ςοιχεῖα, ϗ ἄλλα τὰ τῶν κρεῶν, τῶν νεύρων, τῶν ἐρίων, κτ.

Τῇ δὲ τȣ́των διαιρέσει, οἱ μὲν, οἷος, ὁ Δημόκριτος, Ἐπίκȣρος, ϗ οἱ ἀτομίςαι, ὡς ἀδιαίρετα, ἀναλλοίωτα, ἰδίᾳ λαμβανόμενον ἕκαςον. δυνάμενα δὲ μόνον ἀλλήλων χωρίζεσθαι, ταῦτα θεωρȣ̃σιν· οἱ δὲ, οἷος, ὁ Καρτέσιος, ὡς τριβῇ ϗ προσβολῇ διαιρεῖσθαι ϗ μειȣ̃σθαι δύνανται,

ται, ἀλλ' ἤδη ἐκ ἀδιαίρετα, ἐθ', οἷάπερ, ὡρισάμεθα.

Κατανοεῖν, ὡς ἐκ τῆς ἑνώσεως ἢ τε τῶν ὁμοίων ςοιχείων συνδυασμῦ ἔτω διάφορα ταῖς ποιότησιν, οἷα τὰ πρὸς τῆς φύσεως ἡμῖν διδόμενα, δύναται προκύπτειν τὰ σώματα, οἷανποτε τὴν τῶν περὶ ταῦτα σχημάτων θῶμεν διαφορὰν, πάνυ δυσχερές· ἐκ τῶν ςοιχείων, οἷς τὸ πῦρ, τὸ ὕδωρ ἢ ὁ ἀὴρ, συντεθείσεται κόκκος ψάμμε; πλὴν εἰμὴ τὴν τῶν ὁμοίων τέτων, τῶν σχήματι ἢ ὄγκω μόνον διαφερόντων, ἀπόλυτον ἀδιαιρετότητα ἀποδέχοιτό τις· τίμὴ ἐς ἄλληλα τραπείη ἂν τὰ σώματα; ὅτε χάριν, ὁ χρυσὸς, ἢ πῦρ, ἢ ὕδωρ, γένοιτ' ἂν ὁμόλυβδος; συναγόμεναί τε ἢ ἑνέμεναι αἱ διάφοροι αὗται δόξαι, σύςημά τι κατασκευάζειν δοκῦσιν, ὃ τοῖς διαφόροις φαινομένοις τῆς φύσεως οἰκειότερον ἂν ἀπαντῷ· τ' ἀδιαίρετα μὲν ἢ ἀναλλοίωτα ςοιχεῖα, ἑτεροφυῆ δὲ, ἐμφύτοις ἢ εἰδικαῖς τῶν ποιοτήτων κεκοσμημένα, ὅσα ταῖς τῶν, ἃ δεῖ κατασκευάζειν, σωμάτων διαφόροις κλάσεσιν οἰκεῖα, συνάπτεσθαί τε ἢ συνδυάζεσθαι, παντοίως μίγνυσθαί τε ἢ χωρίζεσθαι, ἐπιτήδεια, βεβαία τινι τῶν δυνάμεων περιβεβλημένα, ἢ τῶν κινήσεών τισιν ὑποκείμενα, ἢ τῶν κανόνων εἴκοντά τισι, τὴν διαφόρων φυσικῶν πραγμάτων λῦσιν, ὅσα διὰ τῆς φύσεως παρίςαται, δοκῦσί μοι ἀναπτύσσειν· τέλος δ' ὁμολογητέον, ὡς ἄχρι ἢ τήμερον μηδὲν ἄλλο περὶ τέτε, ἢ πιθανότητας, παρέχειν ὁ ἀνθρώπειος νᾶς δεδύνηται· ἡ γὰρ τῶν ςοιχείων πραγματικὴ γνῶσις, ἡμῖν ἄγνωςος· κἀντεῦθεν ὁμοίως ἡ τῶν ὄντων ἐσία, ἧς ἡ πηγὴ, ἢ ὁ λόγος,

γος, ἐν τοῖς τέτων σοιχείοις, ἀεὶ πυκνοτάτω κεκάλυπται εἵματι, ἄχρις ἂν ἡμῖν τὰ πρῶτα γνωσθῇ σοιχεῖα· ταύτῃ ϗ ματαιαί τε ϗ ἀνωφελεῖς, αἱ περὶ τέτε διαλέξεις.

## Περὶ βάρες, ἢ βαρύτητος Φυσικῆς.

Βάρος ἐςὶ, δύναμις, ᾗ τὰ τῇ καθ' ἡμᾶς σφαίρᾳ ἀνήκοντα τῶν σωμάτων, ὑπὲρ τὴν τῆς γῆς ἐπιφάνειαν, εἴτ' ἐν τ' ἀέρι, εἴτ' ἐν τῷ κενῷ, αἰρόμενά τε ϗ καθ' αὐτὰ ἀφιέμενα, καταπίπτει, κάθετον γραμμὴν τῷ ὁρίζοντι καταγράφοντα· ἀνεχόμενα, ὑποςηριζόμενα, ϗ καταβαίνειν ὅλως μὴ δυνάμενα, ἔπειξιν ἤδη ποιεῖται ϗ πιέζει τὰ ἐν τῇ αὐτῇ διευθύνσει σώματα, οἷς ἐρείδεται, ἐπειγόμενα, κατὰ διεύθυνσιν τὴν αὐτὴν ϗ μεθ' αὐτῶν ταῦτ' ἐπάγεσθαι· δυοῖν ὄντων τῶν τῇ βαρύτητι παραγομένων ἀποτελεσμάτων; τὸ μὲν, ἀληθὴς κίνησις, τὸ δ' ἁπλῆ πίεσις· δυνατὸν, ὡς ἀληθῆ δύναμιν, ἢ τῶν κωλυμάτων τι πιέζει, θεωρεῖν τὴν βαρύτητα.

Τῷ τῶν ἴσων μερῶν, ὅσα σῶμά τι ξυντίθησιν, ἀριθμῷ πολλαπλασιαζομένη, ἡ βαρύτης, τὸ τέτε ὁλικὸν βάρος συγκροτεῖ· ἐντεῦθεν τὸ τῦ ἐν σώματί τινι σοιχείε βάρος, ἢ ἡ αὐτῦ βαρύτης, ταυτά· ἐκέτι δὲ κἂν τοῖς τῶν σωμάτων μείζοσιν, ὅσα τῆς πλειόνων σοιχείων ἑνώσεως προκύπτει· τὸ γὰρ τέτων βάρος, ἶσον τῇ τῶν ἐν αὐτοῖς σοιχείων ἑνὸς βαρύτητι, τοσάκις ἐπανειλημμένῃ, ὅσα τὰ ἐν αὐτοῖς σοιχεῖα, μᾶλλον δὲ τὸ τέτων βάρος, ἶσον τ' ἀθροίσματι τῶν τῆς βαρύτητος διαφόρων βαθμῶν, ἐς ἕκασον τέτων μερίζονται.

Τῶν

Τῶν ἄχρι τοῦδ' ἐγνωσμένων ἐπιγείων σωμάτων, ὅσαγ' ἐξεζήτειται, εἴτε στερεὰ, μείζω, ἢ ἐλάττω, εἴτε καὶ ῥευστὰ, ἅπαντα βαρέα· τῇ τῶν, οἱουδήποτε γένους, εἴτε τ' αὐξητικοῦ, ζωτικοῦ, εἴτε καὶ τοῦ ὀρυκτοῦ, ταῦτ' ᾖ, στερεῶν βαρύτητι ἀμφιβάλλει οὐδείς· τὰς γὰρ τῶν οἵων δήποτ' ἐπιγείων σωμάτων ἐξατμήσεις, τάς τε τοῦ ὕδατος, τῶν πνευμάτων, καὶ ἁπάντων τῶν ῥευστῶν ἀναθυμιάσεις, συνάγοντας ἐνδοχείοις, τρυτάνῃ δυνατὸν σταθμᾶν· δήλη ἔθ' ἡ τούτων βαρύτης γίνεται συνεχεῖ μειώσει, ἣν ἐν τῷ τῶν ῥευστῶν, ὅσα ἐν ὑπαίθρῳ τιθοῖτο, βάρει σημειῶμεν· τῷόντι δ' ἀποδειχθείσῃ σαφῶς τῇ τ' ἀέρος βαρύτητι, οὐδὲν ὅλως ἔτι ταύτῃ τἀμφίβολλον· πλείους τῶν φιλοσόφων, μετὰ Βουιλαῖον, σταθεραῖς τε καὶ ἀκριβέσι τῶν παρατηρήσεων ἐρειδόμενοι, τὴν τοῦ πυρὸς βαρύτητα οὐκ ἔσχον παραιτεῖσθαι· γινωσκομένου ἤδη μηδενὸς τῶν ῥευστῶν πράγματι ἀβαροῦς, ταύτῃ καὶ γενικήν τινα βαρύτητα ἀποδεκτέον ἐστὶν ἐν τοῖς σώμασιν, ὅσα τῇ καθ' ἡμᾶς σφαίρᾳ ἀνήκει, ἄχρις ἂν ἀβαρές τι τούτων ἀνακαλυφθῇ.

Τὰ τοῦ λοιποῦ γένους τῆς φύσεως σώματα πάντα, μείζω, ἢ ἐλάττω, στερεὰ, ἢ ῥευστὰ, οἷουποτ' ἂν εἴδους ᾖ, ἀδιαφόρως λαμβανόμενα, κἂν τῷ τοῦ Βοιλαίου κενῷ αἰωρούμενα, καὶ τοῦ αὐτοῦ ὕψους καταπίπτοντα, ἰσοταχῶς καταβαίνει, διάστημα τ' αὐτὸ διανύοντα· ὁ Ἐπίκουρός τε καὶ Λουκρέτιος δεῖν οὕτω ξυμβαίνειν ὑπειλήφασιν, ὃγ' ἔτι καὶ Γαλιλαῖος, μετὰ τὰς αὐτοῦ παρατηρήσεις, συνῆξεν εἰσέπειτα· χρυσοῦ γὰρ, μολύβδου, πορφύρας, χαλκοῦ σφαῖραι, ἐντ' ἀέρι καταπίπτουσαι, ἐξ ὕψους ποδῶν 150, ἐν χρόνῳ μικροῦ ταυ-

τῷ, ᾧ καὶ ἡ κηρῦ, ἐπὶ τὴν γῆν καθίζαντο· ἐν γὰρ τῷ τῆς αὐτῶν πτώσεως τέλει ἡ μεταξὺ τοῦ τῶν πρώτων διαστήματος καὶ τοῦ τῆς ἐσχάτης διαφορὰ δακτύλων εὕρηται τεττάρων, ὃ καὶ Νεύθων ἐν τῷ κατὰ Βοϊλαῖον κενῷ τὴν πεῖραν ποιησάμενος, ἐδράσατο· αἰωρήσας ἐν ταυτῷ τῶν σωμάτων διάφορα, οἷον χρυσοῦ τμῆμα, πτεροῦ πώγωνα, πόκον ἐρίου μικρὸν, ἅπερ ἅπαντα ἰσοταχῶς κατέπιπτεν· ὁ γὰρ ἀραιὸς ἀὴρ, ὃς ὑπὸ τῷ δοχείῳ, ὅπερ ὁ πυκνώτερος ἐξάγεται, μένει, τῇ τούτων πτώσει, εἴγε καὶ ἀνθίσαται, ἢ ῥᾷστον παρατηρεῖν, ἀλλὰ πάνυ βραχύ τι.

Τῶν εἰρημένων πειρῶν ἕπεται, τὰ οἷα δήποτ᾽ ἰσομεγέθη τῶν σωμάτων, οἷα ποτ᾽ ἂν εἴδους ᾖ, ἐν τῷ κενῷ ἐξίσου ἰσοβαρῆ ἅπαντα· δυνατὸν ἀτεχνῶς θεωρεῖν ἅπαντα ταῦτα, ὡς ἴσα κωλύματα, οἷς ἰσοταχῶς κινουμένοις, ἴσων δυνάμεων, εἴτ᾽ οὖν ἐνεργειῶν, τῆς βαρύτητος αὐτοῖς δεῖ· ἀλλ᾽ αἱ ἐπὶ ἴσοις κωλύμασιν, ἤτοι σώμασιν ἐνεργοῦσαι, ἴσαι δυνάμεις, αἴτιον, ἵν᾽ ὡσαύτως ἴσα ἢ καὶ αὐτάγε τὰ βάρη.

Ἕπετ᾽ ἔτι ἐντεῦθεν, τὰ τούτων βάρη πρὸς ἄλληλα, ὑπάρχειν, κατὰ τὰς τῆς αὐτῶν ὕλης ποσότητας· θεωρουμένων δὲ τῶν βαρέων, οἷα δυνάμεώς τινος, τὸ ταύτης μέγεθος, ἀνάλογον τῇ τῆς στερεότητος, εἴτ᾽ οὖν τῇ τῆς ὕλης ποσότητι, ἧς καθέτῳ τινι πρὸς τὸν ὁρίζοντα ὁρισθήσεται ἡ διεύθυνσις.

Δια-

Διαφερόντων τῶν ἐν πλείοσι Ἰαὐτομεγέθεσι βαρέων, ἡ τέτων διαφορὰ τῆς ἐν τῇ ὕλῃ, ἣν περιέχει, μείζονος, ἢ ἐλάσσονος, ποσότητος ἤρτηται· τοῖς μὲν μείζονος βάρες, μείζων μὲν ἡ τῆς ὕλης ποσότης, ἔλατlον δὲ τὸ τῶν συναπτομένων πόρων ἄθροισμα· τὀυναντίον δὲ, τοῖς ἐλάτlονος βάρης, ἡ μὲν τῶν πόρων ποσότης, μείζων, ἡ δὲ τῆς ὕλης ἐλάτlων· κενοὶ γὰρ ὕλης ἔτοι· εἰ γὰρ πρὸς ἀκρίβειαν πλήρεις, ἐν ἅπασιν, ὧν φύραμα ταυτὸ, ἦν ἂν ἡ αὐτὴ ποσότης τῆς ὕλης· ἔσης δὲ Ἰαὐτῆς ἐν ἅπασι τῆς βαρύτητος, τὰ τε αὐτε φυράματος, εἴη ἂν ἰσοβαρῆ· τιθείσης δὲ τ' ἀναντία τῆς πείρας, πρόδηλον, ὡς ἐν τοῖς μορίοις, ὅσα τὰ τῶν σωμάτων μείζω συγκροτεῖ, πολὺ τὸ κενόν.

Ἡ τῶν ἰσομεγεθῶν μὲν, διαφόρων δὲ τῷ εἴδει, ἐκμετεώρε ἐν τ' ἀέρι, καταφερομένων, ταχύτης, ἧς τέτοις εἰς πτῶσιν μεταδώσει ἡ βαρύτης, ἐχ ἡ αὐτή. ὅτι τὰ μὲν πλείω περιέχοντα ὕλην, ταχύτερον καταβήσεται, ἢ τὰ ἐλάτlω, ὃ πεῖρα προδήλως δείκνυται, ἣν ὁ κύριος Δεσαγυλιερὸς ἐπὶ τῆς τε ἁγίε Παύλε ἐκκλησίας ἐν λόνδω ἐνεςήσατο. πλείω τῶν σωμάτων ἀφεὶς καταφέρεσθαι ἐξ ὕψους ποδῶν 272, χοιρείας κίςεις, σφαιροειδεῖς τε καὶ ξηρὰς πνευματώσας, τε εἰρημένε ὕψες καθ' αὐτὰς πεσεῖν ἀφῆκεν, ὧν τὸν τῆς πτώσεως χρόνον ὁ ἑπόμενος πίναξ δηλοῖ.

| σφαῖραι | διάμετρος ἐνδακτύλοις. | | βάρος εἰς κόκκους. | χρόνος τῆς πτώσεως ἐν λ''. | |
|---|---|---|---|---|---|
| Α. | 5 | 3 | 128 | 19 | 375 |
| Β. | 5 | 193 | 156 | 17 | 25 |
| Γ. | 5 | 33.5 | 137 | 18 | 74 |
| Δ. | 5 | 26 | 97 5 | 22 | 125 |
| Ε. | 5 | 2 | 99.125 | 21 | 625 |

αἱ τῶν σφαιρῶν ἑπόμεναι χάρτου.

| | | | | | |
|---|---|---|---|---|---|
| Ζ. | 5 | 5 | 1800 | 6 | 5 |
| Θ. | 5 | 1 | 1320 | 7 | 125 |
| Η. | 5 | 1 | 1520 | 7 | |

αἱ δύω ἑπόμεναι ἐξ ὑέλου πεπνευματωμέναι.

| | | | | | |
|---|---|---|---|---|---|
| Ι. | 5 | 42 | 2610 | 6 | 25 |
| Κ. | 5 | 55 | 2910 | 6. | |

ἀφεθεῖσα καθ᾽ αὐτὴν μολύβδου στερεὰ σφαῖρα, ἐν μὲν τῷ κενῷ διανύει διάστημα ποδῶν 242, δακτύλους 8, γραμμ. 11 $\frac{17}{64}$, ἐν 4 $\frac{1}{8}$λ'', ἐν τ᾽ ἀέρι δὲ, ταὐτὸ, ἀλλ᾽ ἐν 4$\frac{1}{2}$λ''. ὅθεν δῆλον, τὴν αὐτῆς πτῶσιν χρονίζειν τὸν ἀέρα πόδας 62, δακτυλ. 3, γραμμ. 1. ἐν γὰρ ταὐτῷ χρόνῳ, εἴτ᾽ οὖν ἐν 4 $\frac{1}{2}$ λ'', ἐν τῷ κενῷ διήνυσεν αὕτη διάστημα ποδῶν 305 καὶ $\frac{33}{48}$· ἡ τῆς τούτων πτώσεως διαφορὰ αὕτη, ὡς πρὸς τὴν αὐτῶν ταχύτητα, οὐ τῆς τοῦ κινητοῦ φύσεως, ἀλλὰ τῆς τ᾽ ἀέρος ἀνθιστάσεως, ἤρτηται, ὃς ἑκάστῃ στιγμῇ μέρος τῆς τούτου ταχύτητος ἀφαιρεῖ, γινόμενος αἴτιος, ἵνα τ᾽ αὐ-

αὐτὸ διάςημα, ὃ διήνυεν ἐν τῷ κενῷ, ἐν μείζονι χρόνῳ διανύῃ ἐν τ' ἀέρι· ἡ ἀνθίςασις ἤδε πλειόνων ἤρτηται περιςάσεων, εἴτ' ἂν τῦ ἐν τῷ κινητῷ φυράματος, τῆς ταχύτηλος, ἣ κινεῖται, ἴῃ περὶ αὐτὸ σχήματος, κτ. ἐντεῦθεν τὰ ἐν τ' ἀέρι πίπτοντα ταυτοφύραμα, τοσῦτω μείζω ταχύτηλα ἀπόλλυσιν, ὅσον ἧτ]ον βαρέα· ἡ γὰρ τῦ μέσυ, ὃ τῇ αὐτῶν πτώσει διαῤῥηγνύειν ἐπείγονται αἱ αὐταὶ ἐπιφάνειαι, ἀνθίςασις, τῦ]οις κἀκείνοις ἡ αὐτή.

Ἐν ταῖς εἰρημέναις πείραις, τὰ τῶν Α ϗ Ζ σωμάτων βάρη πρὸς ἄλληλα, ὡς 1: 14 περίπυ, αἱ δὲ πρὸς τῆς τ' ἀέρος ἀνθιςάσεως ἀπώλλειαι τῶν ἐν αὐτοῖς ταχυλήτων, ὡς 2, 98: 1, εἴτ' ὖν μικρῦ, ὡς 3: 1, διαφορὰ, πλειόνων περιςάσεων, ἃς ὕπω ἔτι πρὸς ἀκρίβειαν ἴσμεν, ἠρτημένη, ἀλλοία, ἢ τῇ τῦ τετ]ραγώνυ τῶν ταχυτήτων, σχέσει ἑπομένη· εἰ γὰρ ϗ τῇ, ἥπερ ἑαυτὸν παρεκτείνει ὁ ἦχος, ταχύτητι προσέσχον οἱ ταύτας ἐνςησάμενοι, (οἱ μὲν γὰρ ἐπὶ ]ῇ θόλῳ τῦ περὶ τὸν ἅγιον Παῦλον πύργυ, οἱ δ' ἐν τῷ ]ῆς ἐκκλησίας χορῷ αὐτὰς πεποιήκασιν), οἶδα μέντ' ἔγωγε, ὡς, κατὰ Δεσαγυϊλλιερὸν, ἐν τελῶς τῇ αὐτῶν ἀκριβείᾳ ὖθ' ὖτοι ἠρκέσθησαν· ληφθεισῶν δυεῖν ]αὐτοφυράμων σφαιρῶν χαλκῦ, ἀλλ' ὧν πρὸς ἄλληλα τὰ βάρη, ὡς 1: 2, ϗ ]αὐτομηκῦς νήματος αἰωρηθεισῶν, ἵν' ἐκ τῦτων δύω ἴσα τῶν αἰωρητῶν γένηται, καὶ τὰς αὐτῶν κραδάνσεις ποιῦντα, τ' αὐτῦ ὕψους κἀν ταὐτῷ χρόνῳ ἀφεθῇ, αὐτίκα δῆλον, ὡς ὑπάρχυσαι ἰσόχρονοι αἱ τῦτων κραδάνσεις παύσονται· ἡ μὲν γὰρ βαρυτέρα, μείζω τόξα κα-

τα-

τεγράφεσα, μείζω ϗ τὸν χρόνον, ἐφ᾽ ᾧ ταῦτα διήκειν, δαπανήσει· κατὰ ταὐτὰ δύω ταὐτὸ βαρῆ μὲν, διάφορα δὲ τῷ φυράματι, τῶν αἰωρητῶν, τε μέσε, ὃ διαιρήσεσι, μὴ μόνον ἀνθιςάσεων, ἀλλὰ ϗ βραδυτήτων, διαφόρων πειράσονται· δυοῖν ἴσων αἰωρητῶν, τῇ μὲν θατέρου ἄκρα σφαίραν χρυσε, ἧς ἡ διάμετρος, γραμμῶν 10, τὸ βάρος, ἐγγκίαι, 2, τῇ δὲ τε ἑτέρε, σφαίραν χαλκε, ἧς ὡσαύτως βάρος ἐγγκίαι, 2, προσάψαντος Κονδαμηνε, τὸ μὲν πρῶτον ἐκραδαίνετο συνεχῶς ἐν ὥραις 4, τὸ δὲ, μετὰ 2 ϗ $\frac{1}{2}$ τῆς ὥρας, πέπαυται κραδαινόμενον· δείκνυσιν ὡσαύτως ἥπειρα, ὡς τὰ τῆς αὐτῆς μὲν ὕλης, φυράματος δὲ, διαφόρε, διαφόρων ἀνθιςάσεων τε, ὃ διαιρεσι, διαςήματος πειρῶνται· ἄυξεσι γὰρ αὗται, κατὰ τὰς τῶν σωμάτων ἐπιφανείας· ἀλλ᾽ αἱ τῶν ὁμοίων σωμάτων ἐπιφάνειαι λόγον ἔχεσι πρὸς τὴν ςερεότητα, ὃν ἀντιςρόφως αἱ αὐτῶν πλευραί· ἔςωσαν τωόντι δύω τῶν σφαιρῶν, ὧν ἡ μὲν τῆς μείζονος διάμετρος, $= \alpha$, ἡ δὲ τῆς ἐλάττονος, $= \beta$· ἐσῶν δὲ τῶν μὲν περὶ ταύτας ἐπιφανειῶν, αα, ϗ ββ, τῶν δὲ ςερεοτήτων, $\alpha^3$, $\beta^3$, ἕξομεν $\frac{\alpha\alpha}{\alpha 3} : \frac{\beta\beta}{\beta 3} = \frac{1}{\alpha} : \frac{1}{\beta} = \alpha : \beta$.

Πρὸς ἀκρίβειαν ταὐτὰ κἂν τῇ τῶν ὁμοίων σωμάτων παραβολῇ εὑρεθήσεται· ἁπάσαις προσέχοντι ταῖς πείραις ταύταις, καταφανὴς αὐτίκα, ἥτε τ᾽ ἀριςοτέλες ἀπάτη, προϊςαμένου, τὰ διαφόρε βάρες κινητὰ ταχύτησιν, ἀναλόγοις τοῖς αὐτῶν βάρεσιν, ἐν τοῖς αὐτοῖς ῥευςοῖς κινεῖται,

ται, καὶ ἔτι ἡ τοῦ φρενήκλους, λέγοντος, δύω ταυτομεγέθεις τῶν σφαιρῶν, ὧν ἡ μὲν μολύβδου, ἡ δὲ ξύλου, ἀφ᾽ ὕψους ποδῶν 147 πίπτουσαι, ἐν ταὐτῷ χρόνῳ ἐπὶ γῆς κατίασιν, οἷα μιᾷ βολῇ χαλκοῦ λεκάνην βάλλουσαι.

Ὄντα δὲ ταυτόσχημα, ταυτοφύραμα καὶ ταυτοβαρῆ, τὰ, οἷς ἐν τῇ τῶν πειρῶν τούτων ἐπαναλήψει χρώμεθα, σώματα, οἷουποτ᾽ ἂν εἴδους ᾖ, τῇ αὐτῇ ταχύτητι πίπτουσιν ἐν τ᾽ ἀέρι· ἐξ οὗ δῆλον, ἅπασι τοῖς τῆς ὕλης στοιχείοις τὴν τῆς βαρύτητος ἕπειξιν ἐνυπάρχειν τὴν αὐτήν.

Δύω ἴσα κιβωτίδια ξύλου λαβὼν ὁ Νεύθων, πληρωθέντος ξύλων θατέρου, ἐν τῷ τῆς τοῦ ἑτέρου, κραδάνσεως κέντρῳ ἱκανὴν χρυσοῦ ποσότητα ἔθετου ὡς τὸ τοῦ δευτέρου βάρος τῷ τοῦ πρώτου ἐξισοῦσθαι, ἀλλήλοις παραλλήλως ἑκάτερα αἰωρήσας τῆς ἄκρας δυοῖν αἰωρητῶν, ἃ μήκους ποδῶν 11, ἴσας καὶ τῆς αὐτῆς διαμονῆς κραδάνσεις ἐν πολλῷ τῷ χρόνῳ ἐτέλουν· ἐν τῇ πείρᾳ ταύτῃ, ἡ τῆς τοῦ χρυσοῦ ὕλης ποσότης πρὸς τὴν τῆς τοῦ ξύλου, ὡς ἡ τῶν τῷ χρυσῷ ἐγκατεσπαρμένων κινητικῶν δυνάμεων ἐνέργεια πρὸς τὴν τῶν ὁμοίως τῷ τῶν ξύλων ὄγκῳ, εἴτ᾽ οὖν, ὡς τὸ θατέρου τούτων βάρος πρὸς τὸ τοῦ ἑτέρου· μετὰ δὲ ταύτην, πληρώσαντος τὰ τῶν κιβωτίων εἰρημένα, πολλάκις μὲν, διαφόρων δὲ, ἤτοι ἀργύρου, μολύβδου, ὑέλου, ψάμμου, κοινοῦ ἅλατος, ὕδατος, σίτου, τὰ πασῶν τῶν πειρῶν τῶνδε προκύπτοντα, ἀεὶ ταὐτά· ἐκ δὲ τούτων, τὴν ἐν ταῖς τῆς ὕλης τῶν ταυτοβαρῶν ποσότησι διαφορὰν κατιδεῖν αὐτῷ ἐξεγένετο, εἰ κοὐδὲ χιλιοστημόριον ὅλως ἤδη τοῦ ἐν τῷ ὅλῳ ὄγκου.

Εἰ-

Εἰδέναι, εἰ τῶν σωμάτων δύω ταυτομεγέθη, πλείω μὲν ὕλην, ἐλάττονας δὲ πόρους περιέχει, ἡ τῆς τούτων βαρύτητος διαφορὰ, ἐν τῷ κενῷ ταῦτα σαθμῶντι, δείξει.

Παραβαλλομένων ἀλλήλοις δυοῖν ταυτορύθμων, ἡ ἑκατέρου βαρύτης εἰδικὴ καλεῖται.

Τὸν λόγον, ὃν πρὸς ἀλλήλας ἔχουσιν αἱ τῆς δυοῖν σωμάτων ὕλης ποσότητες, δυνατὸν οὕτω γινώσκειν· θῶμεν, φέρε, τμῆμα φελοῦ οὐγγκίαν σαθμοῦν, ταυτορύθμον δὲ χρυσοῦ τμῆμα οὐγγκίας 87· ἐπεὶ τὸ ἐν τούτοις σαθμῶν, οὐκ ἄλλ', ἢ τὸ σερεὸν, ἡ τῆς ἐν τῷ φελοῦ τμήματι ὕλης ποσότης πρὸς τὴν τῆς ἐν τῷ τοῦ χρυσοῦ, ὡς 1 : 87.

Τῇ μεθόδῳ ταύτῃ ἦν ἂν δυνατὸν ἐπ' ἀκριβὲς γινώσκειν, ὅσον μὲν τὸ τῶν σωμάτων τινος ἐν σε εότητι ἐκτατὸν, ὅση δ' ἡ τῶν τούτου πόρων ποσότης, εἰ τῆς παραβολῆς ὅρον κτώμενοι, ὄγκον ὕλης πρὸς ἀκρίβειαν σερεᾶς, τὸ ταύτης βάρος ἐγινώσκομεν· ἐπεὶ δ' οὔπω πρὸς ἀκρίβειαν τοιοῦτον ἔγνωμεν σερεὸν, ὁ ρίζειν μήν τε τῆς ὕλης καὶ τῶν πόρων, ὅσα τῶν σωμάτων τινὶ ἔνεσι, ποσότητα, ἀμήχανον.

Ἐπεὶ τὰ καθ' αὑτὰ ἀφιέμενα τῶν ἐπιγείων σωμάτων τῇ, ἢ τούτων κρατεῖ, βαρύτητι πρὸς κάθετον τῷ ὁρίζοντι πίπτει, οὔτης πρὸς ἀκρίβειαν σφαιροειδοῦς τῆς γῆς, κἂν ἀπάσῃ τῇ αὐτῆς ἐκτάσει ἐντελῶς ἡνωμένης, οὐδὲ τραχυτήτων, κοιλοτήτων καὶ ὀρέων πλήρους, τὰ τῇ αὐτῆς ἐπιφανείᾳ καταπίπτοντα, γραμμὴν ἂν κατέγραφεν,

ἥπερ

ἥπερ ἐκβαλλομένη, ἐπὶ τὸ τῆς γῆς κέντρον ἐπερατοῦτο.

Θῶμεν, ὡς ὁ μὲν κύκλος Α σ μ τ τὴν γῆν παρίστησιν, ἧς τὴν τομὴν ὁ τῶν κύκλων μέγιστος, οὗ κέντρον, τὸ Γ, σημαινέτω, τὸν δ' ὁρίζοντα, ἡ δ β ἀπτομένη· τούτων κειμένων




τὸ ἐπὶ τὸ ε κείμενον σῶμα, καὶ καθ' αὑτὸ ἀφιέμενον, πίπτον, τὴν ε Α κάθετον τῇ δβ ἀπτομένῃ καταγράψει· ἀλλὰ δείκνυται ἐν τῇ γεωμετρίᾳ ὡς ἡ ἐπὶ τὸ τῆς ἀφῆς σημεῖον περατουμένη ἀκτὶς, κάθετος τῇ ἀπτομένῃ, καὶ ἑπομένως ἡ εΑΓ, ἥπερ ἡ, δι' ἧς τὸ σῶμα πίπτει, γραμμὴ, ἡ αὐτὴ καὶ συνεχὴς, τῷ κέντρῳ Γ, ἐν ᾧ αὕτη περατοῦται, κάθετος.

Μὴ ὄσης δὲ πρὸς ἀκρίβειαν σρογγυλης, ἀλλ᾽ ὠοειδοῦς, ὁ τοῦ σ ἄξων, ὃς ἐπὶ τοὺς πόλους περαῖοῦται, πρὸς τὴν Αλ διάμετρον τοῦ ἐξισωτοῦ λόγον, ἔχει, ὃν 178 : 179, ὡς ἐκ τῶν μέχρι τοῦδε γεγονυιῶν παρατηρήσεων δυνατὸν βεβαιοῦσθαι. ἐπεὶ δὲ πανταχοῦ γῆς διὰ καθέτου τῇ ταύτης ἐπιφανείᾳ καταπίπτει ἅπαντα, ὅγ᾽ ἐπ᾽




ἀκριβὲς ἔτι δείκνυσι τὴν ὁριζόντειον εὐθύτητα, ἣν οἱ τῶν ῥευςῶν ςῦλοι ἐν τῇ αὐτῶν ἰσορροπίᾳ τηροῦσιν, ἀναμφίβολλον, ὡς, ὅπῃ ποτε γῆς, εἴτ᾽ ἐπί τι τῶν τῆς κατ᾽ αὐτὴν ἐπιφανείας σημείων, εἴτε καὶ ὑπὲρ ταύτην, κεῖται τὰ σώματα, οὐκ ἐπ᾽ ἀκριβὲς πρὸς τὸ κέντρον Γ διευθύνεται, ἀλλὰ πρὸς διάφορα τῶν ἐπὶ τοῦ ταύτης ἄξωνος σημείων, ἄδυνατον, οἷα τοσαῦτα διάφορα κέντρα, θεωρεῖν, πρὸς τὰ τῆς ἐν γῇ ἐπιφανείας σημεῖα.

Λαμβανομένων τούτων, τοῦ μὲν π σημείου, ἀντὶ τοῦ τῆς γῆς πόλου, τῆς δὲ Αλ, ἀντὶ τοῦ ταύτης ἐξισωτοῦ, καὶ Αμπ, ἀντὶ τοῦ ἐν τῷ ἐπὶ γῆς μεσημβρινῷ ΑπλσΑ τεταρτημορίου, καὶ ἀγομένων ἤδη ἐπὶ τὰ διάφορα σημεῖα, Α, Β, μ, ν, ο, ϱ, π, ἁπτομένων, κἀπὶ ταύταις καθέτων, δι᾽ ὧν πίπτει τὰ σώματα, τὸ ἐπὶ τοῦ Α κείμενον, ἐπὶ τὸ κέντρον Γ ἀχθήσεται, τὸ δ᾽ ἐπὶ τοῦ Β, ἐπὶ τὸ Δ, τὸ ἐπὶ τοῦ μ, ἐπὶ τὸ Ε, κτ. κρίνειν δυνατὸν, κατὰ ταῦτα, καὶ περὶ τῶν τοῦ ἄξωνος λοιπῶν σημείων, ἐφ᾽ ἃ πεσεῖται τὰ ἐπὶ τῶν ν, ο, ϱ, π, κείμενα τῶν σωμάτων· συναπτομένων δὲ τῶν, α, β, γ, δ, ε, σημείων, καθ᾽ ἃ αἱ τῶν εὐθειῶν ῥηθεῖσαι τέμνονται δι᾽ εὐθείας, κυρτή τις, ἡ, α, β, γ, δ, ε. ἀναφυήσεται, βαρομετρικὴ καλουμένη, ἧς ἡ ἐξέλιξις, τὸν ΑΒμνοϱπ μεσημβρινὸν δώσει· αἱ τῆς κυρτῆς ταύτης ἁπτόμεναι δεικνύουσι τὰς ἁπάντων τῶν βαρέων διευθύνσεις, τὰς δι᾽ ἁπάντων τῶν τῆς ἐν γῇ ἐπιφανείας σημείων, δι᾽ ὧν ταῦτα διήκει, καὶ ἔθ᾽ ἅμα οἵαν ὑπάρχειν δεῖ τὴν κυρτότητα τοῦ ἐν παντὶ τόπῳ μεσημβρινοῦ, ὡς ἁπάσας τὰς ἀκτῖνας, ὅσαι ἐπὶ τὰς διαφόρους κυρτότητας ταύτας τελευτῶσι, περαιοῦντος· ἐντεῦθεν γινωσκομένων, τοῦτε τῆς γῆς σχήματος, καὶ ἔτι τοῦ λόγου, ὃν ἡ ὑπὸ τῷ ἐξισωτῇ ἐνέργεια τῆς βαρύτητος ἔχει πρὸς τὴν αὐτῆς ταύτης τῆς ἐν οἱῳδήποτ᾽ ἄλλῳ πλάτει δυνάμεως, τὴν γωνίαν, ἣν ἡ αὐτῆς διεύθυνσις ἐν τῷ δοθέντι τόπῳ κατασκευάζει σὺν τῇ τῆς αὐτῆς ταύτης βαρύτητος πρώτῃ διευθύνσει, εἴτ᾽

οὖν

ἐν τῷ τε τῆς γῆς ἄξωνος σημείῳ, ἐφ᾽ ὃ δεῖ τῶν σωμάτων τι ἀπολήγειν διὰ τῆς, ἢ τέτε κρατεῖ, βαρύτητος δυνατὸν ὁρίζειν· πρόβλημα, πρὸς τε κυρίε Μαυπερτυΐε λυθὲν, τὴν ΑΒνπ κυρτότητα ὑποτιθεμένε· ὁ τόπος, ἐφ᾽ ὃν τῇ αὐτῶν διευθύνσει ἀχθήσεται τὰ βαρέα ἐπὶ τῆς αβγδε γραμμῆς ευρίσκεται· ἐὰν δ᾽ ἐπὶ τε πσ ἄξωνος ἔλλειψίς τις, ἡ Απλσ καταγράφηται, ἥ, ἣν αὕτη δηλώσει, γῆ, ὠοειδὴς ἔςαι· τῶν δὲ σημείων ἤγν, α, β, γ, δ, ε, ϗ τῆς Γσ γραμμῆς προκύψει τῶν σχημάτων ςερεόν τι, ὃ ἡ ἐπιφάνεια ἔςαι, ὁ ἐν τῷ τῆς γῆς ἡμισφαιρίῳ ΑΒπλ τόπος, ἐφ᾽ ὃν ἅπαντα τὰ βαρέα διευθυνθήσεται· ταυτὰ κἀπὶ τ᾽ ἀντικειμένε ξυμβαίνει ἡμισφαιρίε.

Η'. Ταυτε σώματος βαρύτης πανταχε γῆς ἐχ ἡ αὐτὴ, ὡς μείζων μὲν πρὸς τὰς πόλες, ἐλάττων δὲ πρὸς τὸν ἐξισωτὴν, ὃ πρὸς τε κυρίε Ρισχερε ἀνεκαλύφθη ἔτει 1672, παρατηρήσαντος, ὡς τὸ αἰωρητὸν, ὃ πρὸς ἀκρίβειαν ἐν παρυσίοις δεύτερα ἐτέλει, γραμμῇ ϗ τῆς τεταρτημορίῳ ἐδέησε βραχύνεσθαι, ἐν νήσῳ τῇ καιένῃ, ὅπως τὸν αὐτὸν χρόνον καταμετρῇ· ςαθεραῖς δ᾽ εἰσέπειτα τῶν ἐνδιαφόροις τόποις παρατηρήσεων κεκύρωται ἡ ἀνακάλυψις αὕτη. τῷόντι γὰρ, ὅσον αἰσθητότερόν πε τὸ τῆς βαρύτητος ἀποτέλεσμα, τοσέτῳ μᾶλλον ἐπιμηκύνειν χρὴ τὸ αἰωρητὸν, ἐφ᾽ ᾧ τὸν τῆς αὐτῆς διαμονῆς χρόνον καταμετρεῖν, τὸν τῶν αὐτε κραδάνσεων ἰσοχρονισμὸν τηρεῖν· τὸ διάφορον μῆκος, ὃ τῶν

αἰω-

αἰωρητῶν ταὐτῷ δεῖ παρέχειν, ἵνα σταθερῶς ἰσόχρονοι πανταχοῦ· γῆς διαμένωσιν αἱ τούτου κραδάνσεις, προδηλότατα δείκνυσιν, ὡς ἡ τῆς βαρύτητος ἔπειξις πανταχοῦ γῆς οὐχ ἡ αὐτή, ἣ δυνατὸν καθορᾶν διὰ τοῦ ὧδε πίνακος.

# Πίναξ τῶν διαφορῶν, ὅσαι ἐν τῇ τῶν σωμάτων βαρύτητι παρατηροῦνται ἐν τοῖς κατὰ γῆν διαφόροις τόποις.

| ὀνόματα τῶν τόπων. | βόρειον πλάτος. | μῆκος τοῦ αἰωρητοῦ ἐν γραμμαῖς. | δύναμις τῆς βαρύτητος. | παρατηρηταί. | βραχύτης τοῦ αἰωρητοῦ ἐν γραμμ. ὡς πρὸς τὴν κεντρόφυγα δύναμιν |
|---|---|---|---|---|---|
| | 90. 0′. | 441.70325. | 100257 | μετὰ τ. λογ. | |
| ποροΐς. | 67. 4′ 30″ | 441. 22. | 100148 | μαλλέτος. | |
| πέλλος. | 66. 48′. | 441. 17. | 100137 | μαυπ. κλαιρ. | 0. 24. |
| ἀρχάγγελος | 64. 35′. | 441. 126. | 100126 | ὁ δὲ νήσου | 0. 27. |
| πετρόπολις. | 59. 56′ | 441. 2. | 100101 | μαλλέτος | |
| λευίδα. | 52. 9′ 30″ | 440. 7183. | 100032 | λουλόφης. | |
| λόνδων. | 51. 31′ | 440. 65. | 100018 | γραχμάν. | 0. 59. |
| παρύσια. | 48. 50′ | 440. 57. | 100000 | μαιρανός. | 0. 67. |
| ῥώμη. | 41. 53′ 54″ | 440. 58. | 100000 | βουγουερός. | |
| λισαβών. | 38. 42′ 20″ | 440. 28. | 99929 | ἰάκ. ὀσουερός | |
| αἴγυπτος. | 30. 2′ 30″ | 439. 25. | 99923 | γουπλέτος | ἀμφί- |
| ἅγι. δομήνικ. | 19. 48′ | 140. 25. | 99925 | γαζέλλος. | βολον. |
| ἅγι. δομένικ. | 18. 27′ | 439. | 99647 | ὁ Χάης. | |
| μικρὰ χοάβη | | 439. 375. | 99732 | γοδῖνος. | 1. 38. |
| γιαμάϊκα. | 18. 0′ | 439. 33. | 99744 | βουγουερός. | |
| ἁγι. χριστόφ. | 17. 19′ | 439. 33. | 99744 | καμπέλλιος | |
| γουαδελούπη. | 16. 0′ | 438. 75. | 99590 | ὁ Χάης. | |
| μαρτινίκα. | 14. 44′ | 438. 50. | 99533 | βαρίν. Χάης. | 1. 41. |
| γορέη. | 14. 40′ | 438. 50. | 99533 | ὁ Χάης. | ἀμφί- |
| γρενάδη. | 12. 6′ | 438. 71. | 99564 | βαρίν. Χάης | βολον. |
| ἀκύμ. λιμήν. | 9. 33′ | 438. 45. | 99518 | ὁ Χάης. | |
| πανάμη. | 8. 35′ | 439. 08. | 99665 | Γοδίνος. | |
| καγένη. | 4. 56′ | 439. 20. | 99682 | βουγουερός. | 1. 48. |
| | | 438. 50. | 99533 | ὁ Χάης. | |
| | νότιον πλάτ. | | | | |
| ἀκρωτ. παλμ. | 0. 2′ | 438. 96. | 99631 | κονδαμινός. | |
| ῥιοβάμβη. | 0. 9′ | 438. 82. | 99605 | βουγουερός. | |
| ὄχθη θαλ. νοτ. | 0. 14′ | 438. 93. | 99625 | κονδαμινός. | |
| κοΐτη. | 0. 25′ | 438. 7. | 99802 | βουγουερός. | |
| ἐπαραίβη. | 6. 38′ | 438. 84. | 99643 | κονδαμινός. | 1. 53. |
| νῆσ. ἁγ. ἑλέ. | 16. 0′ | 438. 26. | 99702 | κουπλέτος. | ἀμφί- |
| εὐέλπες ἀκρ. | 34. 24′ | 439. 15. | 99906 | Χαλέυιος. | βολον. |
| | | 440. 7. | 100026 | ὁ κάλλκε. | |

Ο'ν῾lων εν τῶδε τῷ πίνακι μακρῶν τῶν εν τοῖς lόποις, εν οἷς αἱ παρατηρήσεις ἄυται εγένοντο, διαςημάτων, ὅ, τε λαμπρὸς Μαυπερτυίος ϗ ὁ κλεινὸς Ι'ωάννυ Γεώργιος τὸ ἔλλειμα τόδε λογισμῷ ἀποπληρῦν ἔσπευσαν, lὴν lῆς δυνάμεως lαύτης ἰσχὺν τοῖς τῦ πλάτυς διαφόροις βαθμοῖς δείξαντες· δεῖμέντοι τῶν παρατηρήσεων πλείους γενέσθαι εν εκατέρῳ lῶν ἡμισφαιρίων, αἷς ὑ μετρίαν δυναlὸν συνάγειν τὴν γνῶσιν περίτε τοῦ lῆς γῆς σχήματος, ϗ lῆς εν τῇ βαρύτηlι επείξεως εν διαφόροις lόποις, εν οἷς lαύτας ςησόμεθα· διὰ γὰρ τύτων ὐκ ἔυαριθμ' ἔτι εν lοῖς επὶ lῆς ὕλης lαύτης ευρεθεῖσι μεταβάλλειν ϗ διορθῦν δυνησόμεθα· ὑπάρχειν γὰρ τ'αυτόσχημα lὰ lῆς γῆς ἡμισφαίρια, εἴτ' ὖν lὸ βόρειον ϗ νότιον, πρὸς ἀκρίβειαν ὔπω ἔτι δέδεικται· οἱ γὰρ πίνακας καταςρωννύντες λογισμῷ, ὑποτιθέασιν, ὡς ὁ lῆς γῆς μεσημβρινὸς, εἴθ' ὡς κυκλικὸν, εἴθ' ὡς ελλειπτικὸν, τῦτον λογίζονται, ὑποτιθέασι, φημὶ, ὡς ὖτος μαθηματικὴ κυρτὴ· επεὶ δ' οἱ τῆς γῆς διάφοροι τόποι, ἢ ἠρμένοιτε ϗ εἰς ὄρη ὐλὑμενοι πεφύκασιν, ἢ κοιλαινόμενοι ενλοφιδίοις, ἢ lῇ θαλάττῃ ὁριζοντείως κείμενοι, ϗ επομένως ὑψηλότεροι, ἢ ταπεινότεροι, ἢ εν τοῖς μαθηματικοῖς μεσημβρινοῖς φαίνονται, ὡς οὐδὲ τύτοις ἀσχηματιςότητος ἀπηλλαγμένοις· ὁ μὲν κύριος δὲ Κάλλης επὶ τῷ ἔυελπιδι ἀκρωτηρίῳ, εν νοτίῳ πλάτει 33°, 18', παρατηρῶν εν ἀφρικῇ, τῦ μετημβρινῦ βαθμὸν ἕνα εὗρεν, μικρῦ ἴσον τῷ εν γαλίᾳ παρατηρυμένῳ 49°. ὁ δὲ κύριος Μαϊρὸς τὸν τῆς ῥώμης μεσημβρινον καταμετρήσας, ἔτι διαφέρυσαν τὴν ενὸς βαθμῦ δύναμιν εὗρε τῆς, ἣν ἔδει ὑπάρχειν, ὑποτιθεμένυ ελ-

λειπ-

λειπτικȣ̃ τȣ̃ περὶ τὸν μεσημβρινὸν σχήματος· ὁ κύριος Μȣσχεμβροέκιος τὰς αὐτȣ̃ παρατηρήσεις ἐν λευίδῃ ποιησάμενος, πάνυ ἀκριβεῖς ταύτας εὗρε μετὰ τῶν, ἃς ἐν ταὐτῷ χρόνῳ μικρȣ̃ ἐνεςήσατο ἐν ταύτῃ ὁ περιβόητος κύριος Λȣλίφης· οἱ τὰς τοιαύτας παρατηρήσεις ἐπαναλαβεῖν ἐφιέμενοι, τὸν τȣ̃ ταύτας ποιεῖν τρόπον ξυμβȣλευθήσονται τὸν κύριον κύριον Μαϊρὸν ϰ Μαȣπερτȣΐον· ἐπεὶ οἱ τὰς τῆς ὕλης ταύτης παρατηρήσεις ποιȣ́μενοι, τȣ̀ς τῆς εὐκρασίας τῶν τόπων, ἐν οἷς παρετήρηνται, διαφόρȣς βαθμȣ̀ς ȣ̓κ ἐσκέψαντο, ȣ̓δ', ἐκτὸς τȣ́τȣ, την αὐτὴν ἐπιμέλειαν τε καὶ ἀκρίβειαν ἐν ταῖς αὐτῶν παρατηρήσεσι πεποίηνται, ἀναμφίβολλον, ὡς τȣ́των καιναί τινες, τῇ δεȣ́σῃ προσοχῇ γενησόμεναι, τῶν, ἅς γε πραγματικὰς ἔχομεν, τὰ ἐλλείματα διορθώσȣσι, ϰ τὰς ἐλλειπȣ́σας ἀναπληρώσȣσιν, ἐν οἷς ȣ̓́πω παρετηρήσαμεν, τόποις.

μένειν ςαθερῶς τὴν αὐτὴν βαρύτητα δὶ ἔτȣς ἐν ταὐτῷ τόπῳ, ἀφήλιον, ἢ περιήλιον, ἐν τῇ ἰσημερίᾳ, ἢ τοῖς τροπικοῖς, ὑπάρχειν τὴν γῆν, ἡμῖν ὀλίγȣ μέλλει ἀφιέμενα καθ' αὐτὰ ἐν ταὐτῷ τόπῳ τὰ βαρέα. ἐπὶ ταὐτὸ τῆς ἐν γῇ ἐπιφανείας σημεῖον ςαθερῶς δὶ ἔτȣς φέρεται, ἢ διὰ τηλεσκοπίȣ, τῆς περὶ ἅλυσίν τινα, ἧς τὸ μῆκος ποδῶν 187, ἄκρας ἠρτημένȣ, ςαθερῶς ἀεὶ τ' αὐτὸ ἀντικείμενον, τȣ́τȣ πήχεσι 556 ἀφιςάμενον, παρατετήρειται, παρατηρήσεις, ἐν αἷς τὴν ἅλυσιν ταύτην ἡ θερμότης ἐπιμηκύνει, ἢ ταύτην βραχύ τι συςέλλει τὸ ψύχος· ἡ τῶν αὐτῶν σωμάτων, ὑπὲρ τὴν τῆς γῆς ἐπιφάνειαν, ἐν διαφόροις διαςήμασι τȣ̃ ταύτης κέντρȣ, βαρύ-

ρύτης, ἐν ἀντιϛρόφῳ λόγῳ τῶν σεττραγώνων τῶν περὶ ταῦτα διαϛημάτων ἀπὸ τοῦ αὐτοῦ κέντρου.

Τῆς ἐν γῇ ἐπιφανείας μέρος ἔϛω τὸ ιλοκ· ἡ δὲ ΓΙ, οὖσα ταύτης ἀκτὶς, ὑπὲρ τὴν ἐπιφάνειαν, ἐπὶ τὸ Α σημεῖον ὀρθήτω. Θῶμεν τὸ ιλοκ ἐπὶ τοῦ ΑΒΔΕ κεῖσθαι· ἐπεὶ δ' ἡ βα-




ρύτης, ἅττα ποτ' ἂν ᾖ, ἥτε ταύτην παράγουσα αἰτία, καὶ ὁ, ᾧπερ ἐνεργεῖ, τρόπος, γραμμαῖς εὐθείαις ἀεὶ τὴν αὐτῆς ἐνέργειαν δοκεῖ διευθύνειν, ἐκ τοῦ κέντρου πρὸς τὴν περιφέρειαν ἀγομέναις, ὑποτιθεμένης πρὸς ἀκρίβειαν σφαιροειδοῦς

τε ϗ ἐν ἁπάσῃ τῇ αὐτῆς ϛερεότητι ὁμογενοῦς τῆς γῆς, ἡ ἐκείνης ἐνέργεια κατ' εὐθείας γραμμὰς ἐκ τῦ κέντρε Γ ἀγομένας διευθυνθήσεται ἐπὶ τὰ, Ι, λ, ο, Κ, σημεῖα, αἱ προαγόμεναι ἄχρι τῶν Α, Θ, Η, Ζ, τὴν ἐπιφάνειαν ΑΖ ΗΘ καταλήψονται, ἐς ἣν ϗ ὑπὲρ ἣν τὴν αὐτῆς ἐνέργειαν παράξει ἡ τῆς ἐπὶ τὸ ΙλοΚ παριϛαμένης βαρύτητος δύναμις, ἀλλ' ἡ ἐπὶ τὴν ἐπιφάνειαν ΑΕΒΔ δύναμις τῆς βαρύτητος πρὸς τὴν αὐτῆς ἐπὶ τῆς ΑΖΗΘ, ὡς τὸ ΑΕΒΔ μέγεθος πρὸς τὸ ΑΖΗΘ· τὰ δὲ δύω μεγέθη ταῦτα ἐν λόγῳ συνθέτῳ τῆς ΑΒ, ἢ Ιο, ϗ τῆς ΒΘ, ἢ οΚ, πρὸς ΑΘ·ΗΘ· ἀλλὰ Ιο: ΑΘ = ΓΙ: ΓΑ, ϗ οΚ: ΘΗ=ΙΓ: ΓΑ, καὶ ἑπομένως ἕξομεν τὸν λόγον, Ιο· οΚ: ΑΘ× ΘΗ $= \overline{ΓΙ}^2 : \overline{ΓΑ}^2$· ἡ ἄρα δύναμις τῆς ἐν ΑΔ βαρύτητος πρὸς τὴν ἐν ΙΚ $= \overline{ΙΓ}^2 : \overline{ΓΑ}^2$· ἀλλ' ἡ ἐπὶ τὰς εἰρημένας ϗ τῆς αὐτῆς ὑποτιθεμένας πυκνότητος ἐπιφανείας βαρύτης ὅλως ἐνεργεῖ διὰ τῶν μεταξὺ Γ ϗ Ι, ἢ Γ ϗ Α ἀγομένων ἀκτίνων, εἴτε θλίψει, εἴθ' ἑλκτικῇ δυνάμει, τὴν αὐτῆς γυμνάζει ἐνέργειαν· αἱ γὰρ ἀκτῖνες αὗται ψιλῶς φανταϛικαὶ, κἐχ' ὑφεϛηκυῖαι, ὡς εὐκολίᾳ μόνῃ τῆς δείξεως ὑποτιθέμεναι· εἰ καὶ ἀεὶ χώραν ἕξει ἡ δεῖξις αὕτη, οἷεπότ' ἂν μεγέθες ὑποτίθηται τὸ διάϛημα, ἐς ὃ τὴν αὐτῆς ἐνέργειαν ἐκτείνει ἡ βαρύτης, ἀλλ' ἐκ ἐξίσε προσαρμοϛέα, ὡς ἐξαιρέσεις τινὰς ἐπιδεχομένη, ἐπὶ τοῖς ἐν πάνυ βραχεῖ διαϛήματι σώμασιν ἐνεργάσης ἐκείνης.

Α'νακαλυφθεῖσαν τῇ πρὸς τὴν γῆν βαρύτητι τῆς σελήνης, ταῖς παρατηρήσεσιν, καὶ πείραις, ἃς ἐπὶ τὰ τῶν ὀρέων τῆς περου ὑψηλότερα πεποίηνται ὁ κύριος, κύριος Κονδαμηνὸς καὶ Βουγκερὸς, τὴν ἰδιότητα ταύτην ὀφείλομεν· ἐν τῇ κουΐτῃ πόλει ὁ τούτων πρῶτος παρετήρησεν, ὡς ἐν 24 ὥραις τὸ αἰωρητὸν κραδάνσεις 98740 ἐποίει· ἀναχθὲν δ' αὐτὸ τοῦτο ἐπὶ τὸ τῆς πισχίγγκης ὄρος, οὗπερ ὑψηλοτέρα τῆς κουΐτης ἡ κορυφὴ πήχεσιν 750, ἐν χρόνῳ ταυτῷ τῶν κραδάνσεων οὐ πλείους, ἢ 98720, ἐτέλει· ἐπὶ τὸ χεῖλος τοῦ τῶν ἀμαζόνων ποταμοῦ ἐν τῇ χώρᾳ, πάρα καλουμάινῃ, ἥπερ ὑπὸ τὴν κουΐτην, παρετήρησεν ἔτι, ὡς ἐν χρόνῳ ταυτῷ ἐτέλει κραδάνσεις 98770, ἐξ οὗ συνῆξεν, ὡς μείζων ἐν τοῖς κατωτέροις, ἢ ὑψηλοτέροις τόποις, ἡ βαρύτης· ὁ δεύτερος διδάσκει, ὡς τὸ μὲν αἰωρητὸν, ὃ ἓν δεύτερον ἐν ἑκάστῃ τῶν αὐτοῦ κραδάνσεων ἐπ' ἀκριβὲς ἐμέτρει, ἐπὶ τῆς κορυφῆς τοῦ τῆς πισχίγκης ὄρους τεθὲν, εἶχε δακτύλους 36, γραμμὰς $6\frac{7}{100}$· τὸ δ' ἐν τῇ κουΐτῃ ἰσόχρονον τῷ πρώτῳ δακτύλους 36, γραμμ: $6\frac{8}{100}$· ἐν δὲ τῇ τῆς θαλάττης ἄκρᾳ, ἐν τῷ νοτίῳ πλάτει 14′, δακτ. 36, γραμμ: $7\frac{}{100}$ τῷ μήκει· ἡ τοῦ τῆς πισχίγγκης ὄρους κορυφὴ ὑπερέχει τῆς θαλάττης πήχεσι 2434, ὑπὸ τὸν ἐξισωτὴν κειμένη· τὸ τοῦ αἰωρητοῦ μῆκος ἐν δευτέροις, ἦν 438, 71 γραμμῆς· ἐπὶ δὲ τοῦ τῆς εἰρηνικῆς θαλάττης χείλους τ' αὐτοῦ μῆκος ἦν 439, 7 γραμμ: καὶ ἑπομένως ἡ τῆς βαρύτητος ἐνέργεια ἐπὶ τῇ τοῦ ὄρους κορυφῇ, = 99575, ἐπὶ δὲ τοῦ τῆς θαλάττης χείλους, = 99802· ὅτι ὑψηλοτέρα ἡ τοῦ ὄρους κορυφὴ, ἥπερ ἡ τῆς θαλάττης ὄχθη, πήχε-

σι 2434· θῶμεν, ὡς ἡ τῆς γῆς ἀκτὶς, ἐκ τῦ ταύτης κέντρυ ἄχρι τῆς ἐπιφανείας τῦ τῆς θαλάτἰης χείλες ἐςὶ μορίων 1348, προαγομένη δ' ἄχρι τῆς τῦ ὄρυς κορυφῆς, ἔςαι μορίων 1349, ὧν τὰ τετἰράγγωνα 1817104, ϗ 1819801· ἐὰν ἄρ ἡ ἐπὶ τῇ τῦ ὄρυς κορυφῇ ἔπειξις τῆς βαρύτητος ὑποτεθῇ = 99575, ἡ ἐπὶ τὸ τῆς θαλάτἰης χεῖλος ἔςαι, = 99722· δείκνυσιν ἀλλ' ἐν ἡ παρατήρησις, ὡς μείζων ἡ ἔπειξις αὐτη, ἄτἰεσα, = 99802· ἀλλ' εἰθῶμεν, ὡς = 99802, ἔςαι ἄρα ἐπὶ τῇ κορυφῇ τῦ τῆς πισχίγγκης ὄρυς, = 99654, ὃ κατὰ τῆς ἡγυμένης παρατηρήσεως, ἣ δείκνυσιν, ὡς ἡ ἔπειξις αὐτη, = 99575, ϗ ἑπομένως ἐλάσσων, ἢ ὁ ἀντίςροφος λόγος τῦ τετταγώνυ τῶν ἀπὸ τῦ τῆς γῆς κέντρυ διαςημάτων· ἀλλ' ἡ περὶ τὸν ἀντίςροφον λόγον τῦ τῶν διαςημάτων τεττραγώνυ ἀπάτη αὐτη ἕπεται τῦ τῆς γῆς σφαιροειδῦς, τῆς τῶν παρατηρήσεων βραχείας ἀκριβείας, ϗ τῆς ἀνίσυ ςερεότητος τῆς ἐπιγείυ σφαίρας, ἣ πῇ μὲν πυκνοτέρα, πῇ δ' ἧττω περιέχυσα ὕλην, ὡς ἐν ταῖς τῶν κοιλοτήτων μεγάλαις, ὅσαι πάσῃ τῇ αὐτῆς ἐκτάσει ἐγκατεσπάρκαται· ἐξ ὃ προδήλως δείκνυνται οἱ τῆς γῆς πυκνοὶ σεισμοὶ, ὧν πανταχῦ πρὸ μικρῦ ᾔσθοντο, ϗ ὓς ἐκ σπηλαίου ἐς σπήλαιον διιῦσα ἐλαςική τις ὕλη παράγει· ἔτι δὲ, εἰ τὸ ὄρος, ἐφ' ᾧ αἱ παρατηρήσεις γίνονται, τῃ τῦ ὑπογείυ πυρὸς θήδα ὑποκέηται, τῦ τῦτο ἐσωτερικῶς διαφθείροντος, ἡ τὸν τῦ τεττραγώνυ τῶν διαςημάτων ἀντίςροφον λόγον δοκῦσα τίθέναι εἰς ἔλλειμα ἀπάτη ἧδε, ἐκ καρύυ τινος ἕπεται, τὸ τῆς γῆς κέντρον περιελίττοντος, διαφόρυ μεγέθυς ὄντος, σχῆμα ταυὶ,

ἢ

ἢ πυκνότητα τὴν αὐτὴν ἐν πάσῃ τῇ αὐτȣ ἐκτάσει μὴ τηρȣ̃ντος ϗ τῆς περὶ τὴν γῆν σφαιροειδȣ̃ς ἐπιφανείας ἐπί τι ἀφισαμένȣ διάςημα· ὄπω ἔτ' ἴσως ἐπ' ἀκριβὲς ὥρισαι ὁ τῆς βαρύτητος ἀληθὴς νόμος, ὅτι ταῖς παρατηρήσεσιν, ὅσαι μέχρι τȣ̃δ' ἐγένοντο, ȣ̉χ ὅπως ἡ τ' ἀέρος μείζων πυκνότης, ἢ ἡ ἀρεότης, διὰ θεωρίας ȣ̉πω συγκατηρίθμηται, ἀλλ' ȣ̉δ' ἡ τῆς περὶ τὴν θερμότητα, ἢ τὸ ψύχος εὐκρασίας ποικιλία, ὧν, τὰς αἰωρητȣ̃ τινος κραδάνσεις παρατηρȣ̃ντας, ἀμελεῖν ἥκιςα δεῖ· τὴν ἀπάτην ταύτην ξύμβαίνειν ἔτι δυνατὸν ταῖς τοιαύταις παρατηρήσεσι, τȣ̃ μὴ προσέχειν, ᾗ δεῖ, τῇ τῶν κεντροφύγων δυνάμεων ἐπιτάσει, ἥγ' ἐν μεγίςῳ διαςήματι τῆς περὶ τὴν γῆν ἐπιφανείας, μεγίςη· ἔτι δὲ πρὸς πλειόνων ἄλλων αἰτιῶν, ὅσαιπερ ἡμῖν παρελείφθηταν, ὡς ταύτας πάντῃ ἀγνοȣ̃σι, τοῖς δὲ μεθ' ἡμᾶς ἔυδηλαι γενήσονται ἴσως· Γεώργιος ὁ τȣ̃ Ιωάννȣ πλατύτερον τῇ ὕλῃ ταύτῃ χρησάμενος· ȣ̉κ εὐαρίθμȣς τῶν παρατηρήσεων ἐξέδοτο περὶ ταύτης· ὁ περιβόητος κύριος μαθηματικὸς Κλαιρὸς ȣ̉δὲν ἀφῆκεν ἐρευνῶν, ὅσαλ' ἐπ' αὐτῆς ζητεῖται.

Υ'ποτιθέμενοι τὸν τῆς βαρύτητος ἀληθῆ νόμον, ὑπάρχειν τὸν ἀντίςροφον λόγον τȣ̃ τετραγώνȣ τῶν ἀπὸ τȣ̃ τῆς γῆς κέντρȣ διαςημάτων, θῶμεν, ὡς ΓΙ, ἡ τῆς γῆς ἡμιδιάμετρος, προαγομένη ἄχρι τȣ̃ Α, εἰς πλείωμεν, ἴσα δ' ἕκαςον τῇ ΓΙ διῄρηται· ἐὰν τὸ ἐπὶ τῷ σημείῳ Ι τῆς περὶ τὴν γῆν ἐπιφανείας κείμενον σῶμα ςαθμᾷ ἐπὶ τȣ́τȣ 3600 λίτραις, τ'αυτὸ ἐς ὕψος 60 ἡμιδιαμέτρων ὑπὲρ τὴν τῆς γῆς ἐπιφάνειαν

αρθὲν, τύτων ὐ πλεῖςς, ἢ μίαν μόνην ςαθμήσει· τεθὲν δ' ἐφ' ἅπαντα τὰ τῶν ὕψεων μεσολλαβῦντα, τὰ ἐπὶ τῆς ΓΑ καταγραφόμενα, ἐν τούτοις, διαφόροις ὖσιν, ὐςαθμήσει, εἰμὴ τ' αὐτοῖς ἐνδεικνύμενα βάρη· τὸ τῶν 3600 λίτ. βάρος, ῷ ἐπὶ τῦ Ι χαίρει τὸ σῶμα, διὰ τῦ τετ]ραγώνυ τῶν διαφόρων διαςημάτων, οἷς ἀπὸ τῦ κέντρυ Γ τῦτ' ἐνέςαι διαιρετέον.

Ἔπετ' ἐντεῦθεν, ὡς, εἰ δύω σώματα, οἷα, τὰ ΑΗ, ΙΚ, ὁμογενῆ ϗ ταὐτοειδῆ ὦσι, τὸ δὲ τῦ ΑΗ μέγεθος πρὸς τὸ τῦ ΙΚ, ὡς $\overline{\text{ΑΓ}}^2 : \overline{\text{ΙΓ}}^2$, ἴσα τὰ τύτων βάρη ἔςαι.

Ὄντων δὲ τῶν ΑΗ, ΙΚ, ἑτεροφυῶν τε καὶ διαφόροις τῶν ἀπὸ τῦ τῆς γῆς κέντρυ διαςημάτων, τὰ τύτων βάρη ἔςαι ἐν συνθέτῳ λόγῳ τῶν βαρέων, ἔκτε τῦ, ὃν ἐν τ' αὐτῷ διαςήματι τῆς ἡμετέρας σφαίρας ταῦτ' ἔσχον, ϗ τῶν ἀντιςρόφων λόγων τῶν περὶ τὰ ἀπὸ τῦ αὐτοῦ κέντρυ διαςήματα τεττραγώνων.

Ἔπετ' ἐντεῦθεν ἔτι, ὡς, ὅσῳ τὰ ἐπὶ τῇ τῆς γῆς ἐπιφανείᾳ ἀλλήλοις γειτνιῶντα τῶν σωμάτων, τῷ ταύτης κέντρῳ πλησιέςερα, τοσῦ]ῳ μείζων, ἡ πρὸς ἄλληλα ἐνέργεια τύτων, εἴτε θλίβυσα, εἴτε τῇ ἐκ τῶν κάτω πρὸς τ' ἄνω κινήσει ἀνθιςαμένη, τὴν ἡμῖν δειχθεῖσαν ἀναλογίαν, περὶ τῶν ἐν τύτοις δυνάμεων, ἀεὶ τηρῦντα.

Η' σώματός τινος βαρύτης, ἢ σταθερῶς ἐπὶ τ' αὐτὸ διάστημα τοῦ τῆς γῆς κέντρου διαμένει, τρεπτὴ ἐστί; πάσχει, νῦν μὲν μεῖζον, νῦν δ' ἔλαττον; μὴ μεταβάλλειν δοκεῖ· οὐδὲν γὰρ ἄχρι τοῦδε ἔγνωμεν, ὃ δυνατὸν αὐτὴν, πρὸς αἴσθησιν, μεταβάλλειν· εἰ δὲ καὶ ἔσπευσάν τινες τῷ ὄντι, τὴν μὲν ἴσου βαρύτητα αὔξουσαν, τὴν δ' ἑτέρου μειουμένην, ἀποδεικνύειν, τὴν γε μὴν αἰτίαν τῆς ἐν τῇ βαρύτητι ποικιλίας ταύτης διδόναι οὐκ ἔσχον· ἔτι αἱ τούτων πεῖραι, αἷς τουτὶ παριστᾶν ἐπείγονται, δόξαν τινα περὶ ταύτης ἑδράζειν, οὐ πεφύκασι.

Τὴν τῶν σωμάτων, ὅσα ἐπὶ τῇ τῆς γῆς ἐπιφανείᾳ, κἀπὶ διαφόροις διαστήμασι ταύτης αἴρεται, βαρύτητα ἄχρι τοῦδ' ἐξετάσαντες, περὶ τῆς τῶν, ἄγ' ἐνδοτέρω αὐτῆς, ἢ τῆς τῶν ἐν ἐλάσσονι διαστήματι τ' αὐτῆς κέντρου, ἢ κατὰ τὸ τῆς ἐν αὐτῇ ἀκτῖνος μῆκος, οὐδὲν ἡμῖν ἔτ' εἴρηται· τὴν ὕλην ταύτην βασανίζειν οὐδὲ τοῦ Νεύθωνος παραιτησαμένου, ἡμῖν μέντοι προηγουμένως παρατετήρηται, ὡς τὰ ἐπὶ τῇ τῆς γῆς ἐπιφανείᾳ τάσιν τινα ἔχει, ἢ πρὸς διάφορα σημεῖα τοῦ ἐν αὐτῇ ἄξωνος ταῦτα διευθύνει· ἆρ' οὖν ταυτὰ καὶ περὶ τῶν ἐνδοτέρω τῆς γῆς; αὐτὰ ταῦθ' ἅπαντα ἐπὶ τὸ τῆς σφαίρας ταύτης κέντρον διευθύνεται; ἀγνοοῦμεν· τὴν γὰρ τῆς γῆς ἐσωτερικὴν κατασκευὴν οὐχ ἱκανῶς ἐπιστάμεθα· εἰ ὁμογενὴς ὁ ὄγκος οὗτος, ἢ ἑτερογενὴς, ἐν ἁπάσῃ τῇ αὐτοῦ ἐκτάσει, ἢ πλείους αὐτῇ ἐνδιεσπάρκαται κοιλότητες, περιστάσεις, αἳ τὴν τῶν βαρέων διεύθυνσιν πάνυ διαφορίζουσιν, οὐκ ἴσμεν.

Η πάντων κρατίστα βαρύτης, πρὸς ἄλληλα πάντα τείνειν τε καὶ ἐπιβαρύνειν, αἴτιον· τὸ βόρειον ἡμισφαίρειον τὴν αὐτῆ βαρύτητα γυμνάζει ἐπὶ τὸ νότιον, τὸ δὲ πρὸς τῆ ἐπιγείῃ μεσημβρινῆ ὁριζόμενον ἡμισφαίριον ἐπὶ τὸ ἕτερον βαρύνει· αἰωρήμενόν τι σῶμα καὶ χειρὶ ἀνεχόμενον, τάσιν ἐπὶ τὴν γῆν, καὶ ἀντιστρόφως αὕτη πρὸς τοῦτο, ἔχει· ἡ κατ᾽ ἀμοιβὴν τάσις αὕτη, ἣν ἅπαντα πρὸς ἄλληλα ἔχει, αἴτιον τοῦ τῆς ἄκρας ἐπιμήκους εὐκαμποῦς τινος νήματος αἰωρέμενόν τι τῶν σωμάτων, παρὰ μεγίστῳ τινι τῶν ὀρέων, ἐπίσης τείνειν πρός τε τὴν τῆς γῆς ἐπιφάνειαν καὶ τὴν τούτου, καὶ ἑπομένως καθέτως πρὸς ταύτην μὴ διευθύνεσθαι, ἀλλὰ βραχύ τι λοξῶς, ὅ, δυσχερεστάτῃ γίνεσθαι, πεῖρα ἀνεκαλύφθη τοῖς κυρίοις, κυρίοις Κονδαμηνοῦ καὶ Βουγουερῷ, παρατηρήσασιν, ὡς τὸ παρὰ μεγίστῳ ὄρει, ὃ χιμβόραγον καλεῖται, ἐν Περῷ, παρὰ τῷ ἐξιστωτῇ, κείμενον, αἰωρητὸν ἕλκον τὸ ὄρος τόδε οὐ μᾶλλον πρὸς τὰ νότια, ἢ τὰ βόρεια, τῆς αὐτοῦ ἀληθοῦς καθέτου γραμμῆς τοσοῦτον ἀφιστᾷ, ὡς καὶ 7, ἢ 8, δευτέρων γωνίαν αὐτὸ κατασκευάζειν· εἴπερ ἄρ᾽ ἔντι καὶ μόνον τῶν ὀρέων ἐπὶ τοῦ αἰωρητοῦ τοσοῦτον παράγῃ ἀποτέλεσμα, ἡ τῆς θαλάττης παλίρροια, ἢ δὶς τῆς ἡμέρας τοσαύτην μεγίστην ὑδάτων ποσότητα ἐπιφέρει τῇ ὄχθῃ, τῇ τῆς βαρύτητος διευθύνσει οὐδὲν ὅλως παράγει; εἰ καὶ οὐκ ἀπὸ τύχης, οὐδ᾽ ἀθεμελιώτως προάγεται ἡ ἰδέα αὕτη, ἀποφαίνεσθαί τι γεμὴν περὶ ταύτης ἡμεῖς οὐ θαῤῥοῦμεν· εἰ γὰρ κἂν τῷ ξυμβάντι τῷδε, τῇ τῆς βαρύτητος διευθύνσει μεταβολή τις ξυμβαίνῃ, οὕτω βραχεῖα μέντοι ἤδε, ὡς ταύτην

παρατηρεῖν ἄχρι ϗ τήμερον ȣ̓κ ἔσχομεν, ἤ κἀκ τῶν, ὅσαγ' εἴρηται, δυνατὸν σημειȣ̃ν.

Καθόλȣ ἰδιότης ἄρα τῆς ὕλης ἡ βαρύτης, ἅπασι τοῖς, ὅσα τȣ̃ πλανητικȣ̃ συςήματος γίνεται μέρη, σώμασιν ἀνήκȣσα, ὡς ϗ τȣ̀ς πλανήτας αὐτȣ̀ς πρὸς ἀλλήλȣς ἔχειν τινα τάσιν, καὶ ταῦτάγε τὴν σελήνην πρὸς τὴν γῆν, ϗ ἀνάπαλιν τήνδε πρὸς ἐκείνην, ϗ ἄμφω ταύτας πρὸς τὸν ἥλιον, ϗ ἅπαντας ἐκείνȣς πρὸς τȣ̃τον ὁμοίως, ϗ πρὸς ἀλλήλȣς τείνοντας· καθόλȣ νόμος τῆς τάσεως ταύτης, ἅπαντας, τοσȣ́τῳ τȣ̀ς πρώτȣς, ὅσῳ ϗ τȣ̀ς δευτέρȣς, τάσιν ἔχειν πρὸς τὸν ἥλιον, τ' ἀντιςρέφῳ λόγῳ τȣ̃ τεττραγώνȣ τῶν ἐν αὐτοῖς διαςημάτων ἑπομένην· τȣ̀ς δευτέρȣς πρὸς τȣ̀ς αὐτῶν πρώτȣς, ϗ τȣ́τȣς πρὸς τὸν ἥλιον· μεταβαλλόντων, κατὰ συνέχειαν, τῆς τε τῶν πλανητῶν θέσεως ϗ τ' αὐτῶν ἀπὸ τῆς γῆς διαςήματος, τῶν ἐπὶ τῇ τῆς σφαίρας ἡμῶν ἐπιφανείᾳ σωμάτων ȣ̓δὲν ἴσμεν, ὃ συνεχῶς πρὸς τ' αὐτὸ σημεῖον τείνει· κἀπεὶ ȣ̓λȣμένη ἡ τῆς γῆς ἐπιφάνεια ὄρεσίτε ϗ κοιλάσιν, ἡ τȣ́των ἑκάςου τάσις ἀναγκαίως ποικίλη· ἐξ ȣ̃ ϗ ἀναγκαίως ἕπεται, πάντῃ σύνθετον ὑπάρχειν τὴν διεύθυνσιν, ἧς τȣ́τοις μεταδίδωσιν ἡ αὐτῶν βαρύτης· ταύτῃ ϗ τῇ τῆς βαρύτητος αἰτίᾳ ὁρίζεσθαι, δυσχερεςάτην.

## Περὶ βαρύτητος Φυσικῆς καὶ μηχανικῆς.

Βαρύτης ἐςὶ, δύναμις, ᾗ τῶν σωμάτων τι πρὸς δοθὲν τι κέντρον τείνει· διαφέρει δ' αὕτη τȣ̃ βάρȣς ταύτῃ, ᾗ τȣ̃το μὲν τὴν δύναμιν ἐκτίθη-

θησι, δι᾽ ἧς πρός τι κέντρον τείνει τὰ τῶν σωμάτων ἐπίγεια, ἡ δὲ τὴν ἁπάντων, ἐν γένει, τῶν οὐρανίων καὶ ἐπιγείων, ὅσα πρὸς ὅ, τιοῦν κέντρον τείνει, ἥπερ εἰδικῶς ἡμῖν εἴρηται ἐν τῷ περὶ βάρους· τίς δ᾽ ἡ τῆς ἐπί τι δοθὲν κέντρον τάσεως ταύτης αἰτία;

Τὴν κατὰ περιπατητικοὺς, ἐπικουρείους, γασσενδίστας, ἀνάπτυξιν ταύτης μὴ λεπτολογοῦντες, ὡς οὐκ ἀξίαν, ἐπὶ τὴν καρτεσίου, ἥ, ὡς ὀφθῆναι, ἀγχινουστάτη, τὸν λόγον τρέψομεν,

Κινουμένη περὶ τὴν γῆν ἐν δίνῃ, φησὶν οὗτος, λεπτή τις ὕλη, τῇ κινήσει ταύτῃ κεντρόφυγά τινα δύναμιν ἔχει, δι᾽ ἧς ἅπαντα τ᾽ αὐτῆς μέρη τῆς γῆς ἀφίςασθαι τείνει· πρὸς τὴν γῆν ἄρ, εἴτ᾽ οὖν ἀντικειμένως τῇ τῆς αὐτῶν κεντρόφυγος διευθύντει ὠθεῖσθαι πρὸς τῶν ἐκείνης μερῶν δεῖ τὰ σώματα· ὡς γὰρ ἐκ τῶν ἄνω πρὸς τὰ κάτω βρί-




θον, εἴτ᾽ οὖν βαρύνον, τῶν ῥευςῶν τι, τὰ τούτῳ καταδυόμενα ἐκ τῶν κάτω πρὸς τ᾽ ἄνω ὠθεῖν τεί-

νει, ἢ καὶ τῷ ὄντι ταῦτ᾽ ὠθεῖ, ἐλάσσονι, ἤπερ αὐτὸ, δυνάμει ἐκ τῶν ἄνω πρὸς τὰ κάτω τείνοντα, ὅτως ἔχεσαν τὴν τῆς δίνης ὕλην κεντρόφυγά τινα δύναμιν, τὰ ἐν τῇ δίνῃ ταύτῃ κείμενα, καὶ ὁμοίαν τῇ αὐτῆς δύναμιν μὴ ἔχοντα τῶν σωμάτων, πρὸς τὴν γῆν ὠθεῖν χρή· οἷον, τὸ τε σώματος λ, ὅπερ ἐν τῇ α ε β πυραμίδι, κατωβριθὲς, εἴτ᾽ ἐν βάρος, ἴσον τῇ τῆς ἐνδίνῃ ὕλης, ἧς τὸν τόπον τετὶ καταλαμβάνει, κεντρόφυγι δυνάμει, τῷ τῆς ὕλης ταύτης ὄγκῳ πολλαπλασιαζομένῃ, πλὴν τῆς τε λ σώματος κεντρόφυγος, ἔχοντός τινα τοιαύτην, πολλαπλασιαζομένης τῷ αὐτε ὄγκῳ.

Ὑποτιθεμένης τῆς περὶ τὴν δίνην ὑπάρξεως, ἣν ἀςήρικτον οἰόμεθα, ὡς ταύτην μηδενὸς σχεδὸν ἔτι τήμερον ἀποδεχομένε, δυοῖν ἀνάγκη θάτερον, ἢ τὴν κεντρόφυγα δύναμιν τῆς ἐν τῇ δίνῃ ὕλης ὑπάρχειν πολλῷ μείζω τῆς τε σώματος λ, ἢ τὴν λεπτὴν ταύτην ὕλην πολλῷ πυκνωτέραν αὐτε τετε· ἀλλ᾽ ἡ τε σώματος λ κεντρόφυξ δύναμις προκύπτει τῆς ἐν τῇ περὶ τὴν γῆν περιόδῳ ταχύτητος αὐτε, ἢ μικρε ἴση τοῖς τῆς ἐπιγείε ἐπιφανείας σημείοις· ἐχρῆν ἄρα, κατὰ μὲν τὸ πρῶτον, ἵνα πολλῷ μείζω τὴν τῆς περιόδε ταχύτητα ἔχῃ ἡ ἐν δίνῃ ὕλη, ἢ ἡ γῆ αὐτή· κειμένε δὲ τετε, τῆς ἐν γῇ κυκλοφορίας, εἴτ᾽ ἐν τῆς ἐκ δυσμῶν πρὸς ἀνατολὰς, εἶδός τι συνεχες ἀέρος ἂν εἰδείημεν· κατὰ δὲ τὸ δεύτερον, ἐὰν ἡ ἐν δίνῃ ὕλη πολλῷ μείζω πυκνότητα ἔχῃ, ἢ τὰ τῶν σωμάτων ἐπίγεια, κατανοεῖν ἔδει, ἐν τῇ τῶν κάτωθεν πρὸς τ᾽ ἄνω, καὶ

ἀνά-

ἀνάπαλιν, κινήσει τὴν τῆς ὕλης ταύτης ἀνθίςασιν. ἀλλ' ἤδ' ἀνεπαίσθητος· ὡς μόνος ὁ ἀὴρ, πηγὴ τῆς, ἧς πειρώμεθα, ἐν δὲ τῇ τȣ͂ κενȣ͂ μηχανῇ, ἐν ᾗ ἅπαντα ἰσοταχῶς καταφέρεται, ȣ̓δεμία· ȣ̓́πω δὲ ἔτι τȣ͂το τὸ πᾶν· ὑποτεθείσης γὰρ, ὡς εἴρηται, τῆς ἐν τῇ τῆς δίνης ὕλῃ κεντρόφυγος δυνάμεως πολλῷ μείζονος, ἢ τῆς τȣ͂ σώματος λ, πρὸς αἴσθησιν ἀεὶ ἴσην τὴν κατωβρίθειαν, εἴτ' ȣ̓̂ν τὸ βάρος, ἐχρῆν τȣ͂ τ' ἔχειν, ὂν μόνου φυράματος τ' αὐτȣ͂· ἡ γὰρ ἐπ' αὐτῷ ἐνεργȣ͂σα κεντρόφυξ, εἴη ἂν ἤδη ἡ αὐτή· τȣ͂το δ' ἐναντίον τῇ πείρᾳ· κυβικὸς γὰρ χρυσȣ͂ πȣ͂ς μεῖζον, ἢ ὀφελλȣ͂, ςαθμᾷ· πρὸς δὲ καὶ διὰ τὸν αὐτὸν λόγον, τοσȣ́τῳ ταχύτερον καταβαίνειν ἔδει τὰ σώματα, αἰρομένης τῆς τ' ἀέρος ἀνθιςάσεως, ὅσωπερ ἂν ἐλάττονος ὄγκȣ ταὐθ' ὑπὸ φύραμα τ' αὐτὸ· τὴν γὰρ θλίβȣσαν αὐτὰ δύναμιν, ȣ̓̂σαν τὴν αὐτὴν, ταχύτητας ἐν τȣ́τοις παράγειν αὐτὴν προσῆκεν ἐν ἀντιςρόφῳ λόγῳ τῶν ὄγκων· τȣ͂το δ' ἔτι πεῖρα ψεύδεται· δείκνυσι γὰρ ἤδ' ἐν τῷ κενῷ ἰσοταχῶς καταβαίνειν πάντα· ἐξ ȣ̓̂ ἕπεται, τῷ λόγῳ τȣ͂ τῶν σωμάτων ὄγκου, κȣ̓χὶ τȣ͂ τȣ́των φυράματος, ἐνεργεῖν τὴν βαρύτητα.

Ἑτέρα ἀνθίςασις κατὰ τῆς καρτεσίȣ δόξης, πρὸς τὸν τῆς γῆς ἄξωνα, κȣ̓χὶ τὸ κέντρον, καταβαίνειν δεῖ τὰ σώματα· ἀληθὲς, ὡς οἱ περὶ καρτέσιον ταῖς δυσκολίαις ταύταις διαφόροις μέσοις ἀπαντῶσιν, ἀλλ' οἷα τοσȣ́τοις παραλογισμοῖς· τὸ τȣ́τȣ σύςημα διορθȣ͂ν, ἐπὶ τῆς ὑποθέσεως ταύτης, σπεύσαντος Ὀυιγγενίȣ, χείρων ἡ τȣ́τȣ διόρθωσις, ἢ ἡ κατ' ἐκεῖνον κακία· ὡς

ϗ ὁ Βιλφιγγκέρυ, ὃς ὑποτίθησιν ἐν τμήματί τινι, ὥπερ ἡ τῶν ἐν παρυσίοις ἐπισήμων ἀκαδημία τὴν δάφνην ἀπένειμεν, ἔτει 1728, περὶ δύω ἄξωνας ἀεὶ κινεῖσθαι τὴν τῆς δίνης ὕλην διατεινόμενος, τῆς διπλῆς ταύτης κινήσεως τάσιν τινα τῶν ἐπιγείων σωμάτων περὶ τὸ τῆς γῆς κέντρον δεῖν προκύπτειν, ϗ συνθέτῳ κινήσει τὺς μείζονας κύκλυς ἅπαντας καταγράφειν ὑποτιθέμενος τὰ τῆς γῆς μόρια, ὅπερ ἥκιςα ἀληθές· διαφόρυς γὰρ κυρτὰς, ὧν αἱ πλείυς τοιῦδε σχήματος ὂ τυγχάνυσι, ταῦτα καταγράφει, ἣ δυνατὸν πείρᾳ ϗ ἀναλύσει βεβαιῦσθαί· ταύτῃ κἀδ' ἀποδεκτέα ἡ τύτυ ἀνάπτυξις, ὡς ϗ ἥτε τοῦ Ὀυιγγενίυ ϗ ἡ αὐτῦ τῦ Καρτεσίυ.

Δεικνυύσης ἡμῖν τῆς πείρας, ςαθερῶς σπειροειδεῖ κινήσει κινεῖσθαι τὰ ἐν δίνῃ σώματα, τῦτο εἴη ἂν ἄρα, τὸ τὰ βαρύνοντα, ἢ πρὸς ὅ, τιῦν κέντρον τείνοντα, μόνον κινεῖσθαι, ϗ ταῦτ' ἄλλως, ἢ σπειρωδεῖ γραμμῇ, περὶ τῦτο μὴ φέρεσθαι· ἀλλ' ἡ τῆς τῶν ἐπιγείων σωμάτων πρὸς τὸ τῆς γῆς κέντρον καθόδυ πεῖρα δείκνυσιν ἄτοπον τῦτο.

Περιβεβλημένην, οἷα κάρυόν τι, πρὸς πάνυ λεπτῦ ῥευςῦ, διευθύνσει τινι κεντρόφυγι κεκοσμημένυ, φρονῦντος τῦ Λειβνιτίυ, τὴν γῆν ὑπάρχειν, ἅπαν ἄρα καταδυόμενον ἐν τύτῳ, ἐπὶ τὸ τῦ καρύυ κέντρον, ἢ τ' αὐτὸ ῥευςὸν ἀφίςασθαι τείνει, χρὴ τείνειν· καθὰ ϗ εἰδικῶς ἧττον βαρύνον, ἢ τὸ ὕδωρ, ςερεόν τι τῶν σωμάτων, εὐθείᾳ γραμμῇ ἄνεισιν· ὕτω τὐναντίον,

τȣ κέντρȣ ἀφίςαϑαι ἐπειγόμενον ῥευςόν τι, ἅπαν, ὅ,τι ἐν τȣτῳ καταδύεται, δεῖ ὠϑεῖν.

Πρῶτον ȣδὲν μᾶλλον πρὸς ἀρέσκειαν, ἢ ἡ ῥευςȣ τινος ὑπόϑεσις, κεντρομολȣσῃ δυνάμει κεκοσμημένȣ, ϗ ἑπομένως δυνάμει, ἢ τῷ βάρει ἀντίκειται, ὃ πᾶσι τοῖς ἐν τῇ φυσικῇ νόμοις ἀντιβαίνει, ὅρα βάρος· ἄλλωςε τῇ ὑποϑέσει ταύτῃ, ἡ πρὸς τῆς ῥευςȣ τινος ὠϑήσεως παραγομένη βαρύτης ἐν διπλασίωνι, ȣκ ἐν τριπλασίωνι, λόγῳ τῶν διαμέτρων ἂν εἴη, ἢ ϗ τῷόντι ὑπάρχει· ἀλλὰ περὶ ὑποϑέσεων ἅλις.

## Ἀποδείξεις τῆς καϑόλȣ βαρύτητος.

Πᾶσιν ὁμολογεῖται, φύσει εὐϑύγραμμον ὑπάρχειν πᾶσαν κίνησιν· ὥςε τὰ ἐν τῇ αὐτῶν κινήσει κυρτὰς καταγράφοντα, ἀνάγκη πρὸς συνεχῶς ἐπὶ τȣτοις ἐνεργȣσης δυνάμεως ἐπείγεσϑαι.

Ἐντεῦϑεν ἕπεται, ὡς τελȣσιν ἐν κυρτογράμμοις περιόδοις τὰς αὐτῶν κυκλοφορίας τοῖς πλανήταις, ἐνυπάρχει τȣτοις δύναμις, ἧς ἡ συνεχής τε ϗ ςαϑερὰ ἐνέργεια, τȣ αὐτῶν κύκλȣ ἐκβαίνοντας, εὐϑείας γραμμὰς καταγράφειν, αὐτȣς κωλύει.

Ἄλλωςε ἀποδέδεικται τοῖς μαϑηματικοῖς, ὡς ἅπαντα τὰ σώματα, τῇ μὲν αὐτῶν κινήσει κυρτὴν γραμμὴν ἐπὶ ἐπιπέδȣ, ταῖς δ' ἐκ τȣτων ἀγομέναις πρός τι τῶν ςαϑερῶν σημεῖον ἀκτῖσιν ἅλως, ἀναλόγως τοῖς χρόνοις, καταγράφοντα, δυνάμει, ἐπ' αὐτὸ τȣτο τεινȣσῃ, ὠϑεῖται· παρα-

ρατηρήσει ώσαύτως, οἱ μὲν πρῶτοι τῶν πλανητῶν περὶ τὸν ἥλιον, οἱ δὲ δεύτεροι, οἱ ϰ δορυφόροι καλȣ̃νται, περὶ τȣ̀ς πρώτȣς κινȣ́μενοι, ἀναλόγȣς τοῖς χρόνοις ἄλως καταγράφȣσιν· ἑπομένως δ' ἡ τȣ́τȣς ἐπὶ τῆς ἀυτῶν κυκλοφορίας διατηρȣ̃σα δύναμις, ἐπί τε τὸ τȣ̃ ἡλίȣ κέντρον ϰ τὸ τῶν πλανητῶν τὴν ἀυτῆς οἶδε διεύθυνσιν· τέλος δὲ καταγραφόντων περὶ τὸ αὐτὸ σημεῖον συγκέντρȣς κύκλȣς πλειόνων σωμάτων, ἐὰν τὰ τῶν περὶ ταῦτα περιοδικῶν χρόνων τεττράγωνα ᾖ, ὡς οἱ τῶν ἐκ τȣ̃ κοινȣ̃ κέντρȣ διαςημάτων κῦβοι, αἱ τȣ́των κινȣμένων κεντρόποδες δυνάμεις ἔσοντ' ἀντιςρόφως, ὡς τὰ τῶν διαςημάτων τεττράγωνα· ἀλλ' οἱ τῶν ἀςρονομȣ́ντων παῖδες ἀλλήλοις ξυνᾴδȣσιν ἅπαντες, ἐγχωρεῖν τὴν ἀναλογίαν τὴν δ' ἅπασι τοῖς πλανήταις· ἕπετ' ἄρ ἐντεῦθεν, τὰς ἁπάντων τȣ́των κεντρόποδας δυνάμεις, ὑπάρχειν ἀντιςρόφως, ὡς τὰ τεττράγωνα τῶν διαςημάτων, ἐν οἷς τὰ τῶν περὶ τȣ́τȣς περιόδων κέντρα τυγχάνει.

Ἐκ τȣ́των ἁπάντων ἕπεται, τȣ̀ς πλανήτας ἐν ταῖς ἀυτῶν περιόδοις, ἐπὶ ταύταις συνεχῶς ἐνεργȣ́σῃ δυνάμει ἐπέχεσθαι, ἐπὶ τὸ τῶν περιόδων τȣ́των κέντρον τὴν ἀυτῆς διεύθυνσιν ἐχȣ́σῃ. ϰ ἔτι, κατὰ τὴν μείζω, ἢ ἐλάττω, ἀπόςασιν τȣ́τȣ, ἄυξειν, ἢ μειȣ̃σθαι, τὴν ἀυτῆς δραςικότητα· ἄυξειν μὲν, τῷ λόγῳ, ᾧ τὸ τȣ̃ διαςήματος τεττράγωνον μειȣ̃ται, μειȣ̃σθαι δ', ᾗ τȣ̃τ' ἄυξει.

Τὴν δὲ κεντρομολȣ̃σαν ταύτην δύναμιν παρατιθέμενοι πρὸς τὴν τῆς βαρύτητος τῶν ἐπιγείων σωμάτων, ἐπ' ἀκριβὲς ὁμοίας ταύτας εὑρήσομεν.

Ἵν' ὑπ' ὄψιν τὴν ἀλήθειαν ταύτην θῶμεν, τὴν τῆς σελήνης, ἣ τῆς γῆς πλανήτης ἐγγκύτερος, κίνησιν ἐξετάσωμεν.

Τὰ πρὸς σωμάτων τινῶν, πιπτόντων τε ϗ δυνάμεσιν ὠθȣμένων, καταγραφόμενα εὐθύγραμμα τῶν διαςημάτων ἐν τῷ δοθέντι χρόνῳ, ταῖς μετὰ τὴν πτῶσιν λογιζομέναις ἀνάλογα· ἑπομένως ἡ ἐν τῇ αὐτῆς περιόδῳ κεντρόμολος δύναμις τῆς σελήνης, λόγον ἔχει, πρὸς τὴν τῆς ἐν αὐτῇ ταύτῃ βαρύτητος ἐπὶ τῇ τῆς γῆς ἐπιφανείᾳ, ὃν τὸ διάςημα, ὃ διήνυσεν ἂν ἐν χρόνῳ τινὶ ἐπὶ τὴν γῆν αὕτη καταφερομένη πρὸς τῆς ἐν αὐτῇ κεντρομόλȣσης δυνάμεως, τεθεῖσα κυκλικὴν κίνησιν ἔχειν ȣ̓δεμίαν, πρὸς τὸ, ὅπερ ἂν ἐν τ' αὐτῷ χρόνῳ διήνυσε τῶν σωμάτων ἄλλο τι, ἐπὶ γῆς τῇ αὐτῇ πίπτον βαρύτητι.

Πείρᾳ δῆλον, ὡς τὰ ἐπὶ γῆς κινȣ́μενα τῶν σωμάτων ἐν ἑνὶ δευτέρῳ διανύει πόδας 15. ἀλλὰ τὸ διάςημα, ὃ τῇ αὐτῆς κεντρόποδι δυνάμει κατ' εὐθεῖαν γραμμὴν ἐν ἑνὶ δευτέρῳ διανύει ἡ σελήνη, ἴσον, πρὸς αἴσθησιν, τῷ πλαγίῳ ἡμιτόνῳ τȣ̃ ταύτῃ καταγραφομένȣ τόξȣ ἐν ἑνὶ δευτέρῳ· γινωσκομένων δὲ, τῆς τ' ἀκτῖνος τῆς ἐν αὐτῇ περιόδȣ, ϗ τȣ̃ τῆς κατ' αὐτὴν κυκλοφορίας χρόνȣ, ξυνήσομεν ἑπομένως τὸ πλάγιον τȣ̃θ' ἡμίτονον.

Γινομένȣ ἄρα τȣ̃ λογισμȣ̃, εὑρεθήσεται τȣ̃το, = 15 ποσὶν, εἴτ' ȣ̓ν ἡ τῆς σελήνης κεντρόπȣς δύναμις ἐν τῇ αὐτῆς περιόδῳ, λόγον ἔχει, πρὸς τὴν τῆς βαρύτητος ἐπὶ τῇ τῆς γῆς ἐπιφανείᾳ, ὃν τὸ τῆς ἐν γῇ ἡμιδιαμέτρȣ τεττράγωνον, πρὸς τὸ τῆς ἐν τῇ περιόδῳ ἡμιδιαμέτρȣ.

Ταύτῃ ϗ ἡ τῆς σελήνης κεντρόπȣς δύναμις, ταὐτὴ τῇ τῆς βαρύτητος, ἤτοι τῆς αὐτῆς ἀρχῆς πηγάζει· ἡ τῶν ἄλλως γε διαφόρων τῶν δυεῖν τῶν δε δυνάμεων, τὰ δυσὶν ἅμα δυνάμεσιν ὠθȣ́μενα τῶν σωμάτων, διπλασίᾳ ταχύτητι τῆς, ἣ μόνῃ τῇ τῆς βαρύτητος ἀνέφυ δυνάμει, ἐπὶ τὴν γῆν ἂν ἔπιπτε·

Πρόδηλον ἄρα, τὴν τῆς σελήνης κεντρόποδα δύναμιν, ἣ ταύτην ἐπὶ τὴν αὐτῆς ἐπέχει περίοδον, ὑπάρχειν μηδὲν ἄλλ', ἢ αὐτὴν ταύτην τὴν τῆς βαρύτητος, ἐς γ' ἐπ' ἐκείνην ἐκτεινομένης

Βαρύνειν ἄρα τὴν σελήνην πρὸς τὴν γῆν, ταύτην δ' ἀντιςρόφως πρὸς ἐκείνην, τοῖς τῶν φαινομένων θαλαττίοις μάλιςα βεβαιȣ̃ται.

Ἐν τοῖς τῶν πλανητῶν λοιποῖς κρατεῖν τὸν αὐτὸν συλλογισμὸν, ȣ̓κ ἀδύνατον· τωόντι γὰρ εἴτε τȣ́των περὶ τὸν ἥλιον ϗ αἱ τῶν δορυφόρων περὶ τὸν δία ϗ κρόνον περίοδοι, ταὐτοειδῆ φαινόμενα τῇ τῆς σελήνης περὶ τὴν γῆν· κἀκείνων μὲν αἱ κεντρόποδες πρὸς τὸ τȣ̃ ἡλίȣ κέντρον τὴν αὐτῶν ἔχȣσι διεύθυνσιν, αἱ δὲ τῶν δορυφόρων πρὸς τὸ τῶν κατ' αὐτȣ̀ς πλανητῶν· ȣ̓ τῶν τέλος

ἁπασῶν τῶν δυνάμεων τῶν δ᾿ ἀντιςρόφως, ὡς τὰ τῶν ἀπὸ τῶν κέντρων διαςημάτων τετράγωνα, δυνατὸν συνάγειν, τόν τε τῆς βαρύτητος νόμον, ϗ τὴν αὐτῆς γε ταύτης αἰτίαν ἐν ἅπασι τοῖς πλανήταις ϗ τοῖς τȣ́των δορυφόροις ταυτὰ ὑπάρχειν.

Ταῦτά τοι, ὡς ἡ σελήνη πρὸς τὴν γῆν, ἥδε δὲ τ᾿ ἀνάπαλιν πρὸς ἐκείνην, βαρύνει, ȣ̔́τως οἱ μὲν δορυφόροι πρὸς τȣ̀ς αὐτῶν πρώτȣς, ϗ ἀνάπαλιν ȣ̔̃τοι πρὸς ἐκείνȣς ϗ πρὸς τὸν ἥλιον, ȣ̔̃τος δὲ πρὸς τȣ̀ς πλανήτας.

Λοιπὸν ἤδη ζητεῖν, τίς, ἡ τῆς καθόλȣ ταύτης βαρύτητος, εἴτ᾿ ȣ̃ν ἀμοιβαίας τάσεως, ἣν ἔχει πρὸς ἄλληλα τὰ σώματα ταῦτα. αἰτία.

Πλείȣς τῶν τῆς ἐν σώμασι βαρύτητος ἰδιοτήτων ἐξακριβώσας ὁ κλάρκιος, συμβεβηκὸς κινήσεως, ἢ λεπτῆς ὕλης, ἀποτέλεσμά τι ὑπάρχειν μὲν αὐτὴν ȣ̓ συνῆγεν, ἀλλὰ δύναμίν τινα καθόλȣ, ἣν ἀνέκαθεν τὸ παντοδύναμον ὂν ἐμφυτεῦσαν, δραςικῇ τινι αἰτίᾳ, ἥγ᾿ ἐπ᾿ αὐτὴν ταύτην τὴν τȣ́των ȣ̓σίαν διαβαίνει, αὐτὴν σώζει.

Ἐν τῇ αὐτȣ̃ εἰσαγωγῇ τῆς κατὰ Νεύτωνα φυσικῆς, προϊςάμενος ὁ σγραβεσσάνδιος ἀπολύτως ἄγνωςον ἡμῖν ὑπάρχειν τὴν τῆς βαρύτητος αἰτίαν, ἣν δέον θεωρεῖν, οἷα νόμον τῆς φύσεως, ϗ τάσιν, ὃν ἀνέκαθεν ϗ ἀμέσως τῇ ὕλῃ τὸ θεῖον ἐνέθηκεν, εἰδικȣ̃ τινος νόμȣ, ἢ δευτέρας αἰτίας, ȣ̓δαμῶς ἠρτημένην, τῇ τῆς αὐτȣ̃ προτάσεως ἀπο-

ποδείξει ἱκανὰς οἴεται τὰς τρεῖς ἑπομένας θεωρίας.

Α. τὴν τῦ βαρύνοντος, ἢ ἕλκοντος, σώματος παρυσίαν ἡ βαρύτης ἀπαιτεῖ· ταύτῃ ϗ οἱ περὶ τὸν δία, φέρε, πρὸς τῦτον, ὅπυ ποτ᾽ ἂν ᾖ, βαρύνυσι.

Β. ὑποτιθεμένυ τ᾽ αὐτῦ διαςήματος, ἀπὸ τῦ ἕλκοντος σώματος, ἡ ταχύτης, ᾗ κινεῖται τὰ σώματα διὰ τῆς βαρύτητος, τῆς ἐν τῇ ὕλῃ ποσότητος, τῆς τῷ ἕλκοντι σώματι ἐνύσης, ἠρτημένη, ἥκιςάγε μεταβάλλει, οἷός ποτ᾽ ἂν ᾖ ὁ τῦ βαρύνοντος ὄγκος.

Γ. ἐὰν ἀγνώςυ τινος νόμυ τῆς κινήσεως ἤρτηται ἡ βαρύτης, ἀνάγκη, ὤθησίν τινα ταύτην ὑπάρχειν, ἀλλοτρίῳ παραγομένην σώματι· ὥςε, ὖσαν συνεχῆ τὴν βαρύτητα, συνεχῆ ὡσαύτως ἀπαιτεῖν ϗ τὴν ὤθησιν.

Ἀλλ᾽ εἴγε ὕλην τινα θῶμεν ὑπάρχειν, ἣ συνεχῶς ὠθεῖ τὰ σώματα, ταύτην, ἵνα τὴν τῶν σωμάτων ἁπάντων ὑσίαν διαβαίνῃ, ῥευςὴν καὶ πάνυ λεπτὴν δεῖ εἶναι· ἀλλὰ τὸ ὕτω λεπτὸν, ὡς τὴν τῶν σκληροτέρων σωμάτων ὑσίαν διαβαίνειν, ϗ πάνυ ἀραιὸν, ὡς μὴ, πρὸς αἴσθησιν, ἀνθίςαθαι τῇ τύτων κινήσει, πῶς τοσαύτῃ δυνάμει πρὸς ἄλληλα ὠθεῖν τοιαῦτα ὑπερμεγέθη τῶν σωμάτων δύναιτο; ὅπως ἀναλόγως τῷ τοῦ σώματος ὄγκῳ, πρὸς ὅγε ὠθεῖται τὸ ἕτερον, ἤδ᾽ ἡ δύναμις αὔξει; ὅθεν ἅπαντα τὰ σώματα, τεθέντων ταυτῶν, τῦτε διαςήματος ϗ τῦ σώ-

ματος, ἐφ' ὃ ταῦτα τείνει, ἰσοταχῶς κινεῖσθαι ξυμβαίνει; τέλος δὲ, ῥευςόν τι, ὅπερ ἐκ ἐνεργεῖ, ὅ, τι μὴ τῇ ἐπιφανείᾳ, εἴτε τῇ τῶν αὐτῶν σωμάτων, εἴτε τῇ τῶν ἐν τἕτοις ἐσωτερικῶν μορίων, δύναται μεταδιδόναι τοῖς σώμασι ποσότητός τινος τῆς κινήσεως, ἢ πρὸς ἀκρίβειαν ἀνάλογος τῇ ποσότητι τῆς ἐντοῖς σώμασι περιεχομένης ὕλης;

Καταγραφήν τινα τῆς κατὰ Νεύθωνα φιλοσοφίας παρεχόμενος ὁ κύριος γότης, ἔτι πόῤῥωτέρω χωρεῖ, βεβαιῶν, δεῖν τὴν βαρύτητα συντάττεσθαι ταῖς ἐν ἅπασι τοῖς σώμασι πρώταις τῶν ποιοτήτων, ἕτως ἐσιώδη ταύτην τῇ ὕλῃ λογιζόμενος, ὡς τὴν ἔκτασιν, τὸ κινητὸν, ϗ ἀδιάβατον· ὡς δ' ἐδόλως, οἷα ἐσιώδη τοῖς σώμασι, θεωρεῖ τὴν βαρύτητα ὁ Νεύθων, τὴν αὐτἕ δόξαν ἡμῖν περὶ τῆς κατ' αὐτὴν αἰτίας δίδωσιν, ἐν εἴδει ζητήματος αὐτὴν προτείνων, ὡς τοῖς ἀνακαλυφθεῖσι πεῖρα μὴ ἀρκέμενος.

Προσιθέμεθα ἐνταῦθα τὸ ζήτημα ὅροις, οἷς ἕτος ἐχρήσατο· ὑπάρχειν μὲν ἐν τῇ φύσει μέσον, πολλῷ ἀραιότερον, ἢ τὸν ἀέρα, τὸ δὲ φῶς διὰ τῶν αὐτἕ κραδάνσεων τοῖς σώμασι μεταδίδον τῆς θερμότητος, ῥᾷςα τῇ τ' ἀνταναλάσει καὶ διαβάσει εἴκειν, τὰς δὲ διαβάσεις τε ϗ ἀνταναλάσεις τἕ φωτὸς πρὸς τῶν αὐτἕ διαφόρων πυκνοτήτων παράγεσθαι, ἀποδείξας, τὸ ἑπόμενον ποιεῖται ζήτημα.

„ Οὐ

„ Οὐ πολλῷ μᾶλλον ἐν τοῖς πυκνοῖς τῶν „ σωμάτων, τȣ̃ ἡλίȣ, τῶν ἀςέρων, τῶν πλα„ νητῶν, τῶν κομητῶν, ἀραιȣ̃ται, τȣτὶ, ἢ ἐν „ τοῖς τῶν ȣ̓ρανίων διαςημάτων κενοῖς, τοῖς με„ ταξύγε τȣ́των; ἐπέκεινα δὲ τῶν ὑπερμεγε„ θῶν διαςημάτων χωρȣ̃ν αὐτὸ, ȣ̓ μᾶλλον καὶ „ μᾶλλον κατὰ συνέχειαν πυκνȣ̃ται, ȣ̓δὲ γίνε„ ται ἦτε τῆς βαρύτητος, ἣν πρὸς ἄλληλα γυμ„ νάζει τὰ μέγιςα ταῦτα τῶν σωμάτων, ϗ ἡ „ τῆς τῶν ἐν τȣ́τοις μερῶν, αἰτία, ἀφίςαθαι „ τῶν τȣ̃ μέσȣ πυκνοτέρων μέρων πρὸς τὰ μᾶλ„ λον ἀραιότερα ἐπειγομένȣ αὐτῶν ἑκάςȣ,

„ Τεθέντος γὰρ, ὡς μᾶλλον ἐν τῷ τȣ̃ ἡ„ λίȣ σώματι αὐτὸ ἀραιȣ̃ται, ἢ τῇ αὐτȣ̃ ἐπι„ φανείᾳ, ϗ μᾶλλον ἐνταύτῃ, ἢ ἐν ἐλαχίςῳ „ αὐτῆς διαςήματι, ϗ μᾶλλον ἐν τȣ́τῳ, ἢ τῇ „ τȣ̃ κρόνȣ περιόδῳ, ȣ̓χ ὁρῶ, φησὶν ὁ κύριος „ Νεύθων, ἀνθ᾽ ὅτȣ ἐν ἅπαντι τῷ διαςήματι, „ ὃ μεταξὺ ἡλίȣτε ϗ κρόνȣ, ϗ ἐπέκεινα, μὴ „ συνεχὴς, ἡ τῆς πυκνότητος ἄυξησις.

„ Καθ᾽ ὑπεροχὴν δὲ βραδείας, εἴτ᾽ ȣ̓̃ν ἀσ„ θενȣ̃ς, ȣ̓́σης κατὰ ταυτὰ ἐν μεγίςῳ διαςήμα„ τι τῆς περὶ τὴν πυκνότητα αὐξήσεως, οὖσα „ γεμὴν καθ᾽ ὑπεροχὴν μεγάλη, ἡ αὐτȣ̃ ἐ„ λαςικὴ δύναμις, ἱκανὴ πάσῃ δυνάμει, ἣν βα„ ρύτητα καλȣ̃μεν, ἐκ τȣ̃ πυκνωτέρȣ ἔςγ᾽ ἐπὶ „ τὸ μᾶλλον ἀραιὸν ὠθεῖν τὰ σώματα.

„ Η᾽ αὐτȣ̃ ἐλαςικὴ δύναμις, ὡς τῇ τῶν αὐτȣ̃ „ κραδάνσεων ταχύτητι κρίνειν δυνατὸν, καθ᾽ „ ὑπεροχὴν μεγάλη· οἱ μὲν γὰρ ἦχοι ἐν ἑνὶ

„ δευ-

„ δευτέρῳ τȣ͂ χρόνȣ πήχεις 180 διήκȣσι, τὸ δὲ
„ τȣ͂ ἡλίȣ φῶς ἐς ἡμᾶς ἥκει ἐν 7, ἢ 8, λεπ-
„ τοῖς, τὸ δὲ μεταξὺ γῆς ϗ τȣτȣ διάςημα πε-
„ ρίπȣ, = 32000000 λεύγαις· ἵνα δ᾽ αἱ κρα-
„ δάνσεις, εἴτ᾽ ȣ͂ν ὠθήσεις αὐτȣ͂ τȣ̀ς τῆς ῥάξης
„ διαβάσεώς τε ϗ ἀντανακλάσεως ἀλληλο-
„ διαδόχȣς τιναγμȣ̀ς παράγειν ἔχωσιν, ἑτοιμο-
„ τέρας δέον γίνεσθαι, ἢ τὰς τȣ͂ φωτὸς, ϗ ἑπο-
„ μένως ταχυτέρας, ἢ τὰς τȣ͂ ἤχȣ, περίπου
„ 700000· ὥςε τὴν αὐτȣ͂ ἐλαςικότητα, ὑπο-
„ τιθεμένων ἄλλωςε, ἴσων ἀλλήλοις, τῶν ἄλλων ἁ-
„ πάντων, μείζω δεῖ ὑπάρχειν ἢ 700000·700000 =
„ 490000000000, ἢ τὴν τ᾽ ἀέρος· αἱ γὰρ τῶν
„ τȣ͂ ἐλαςικȣ͂ μέσȣ τȣ͂δ᾽ ὠθήσεων ταχύτητες,
„ τεθέντων ἴσων τῶν ἄλλων ἁπάντων, ἐν ὑπο-
„ διπλασίωνι λόγῳ τυγχάνȣσι τȣ͂ τῶν αὐτοῦ
„ ἐλαςικοτήτων εὐθέως·

„ Ὡ᾽ς ἐν τοῖς μικροῖς λίθοις τῆς μαγνίτι-
„ δος μείζων ἡ μαγνιτικὴ δύναμις, ἢ τοῖς με-
„ γάλοις, κατὰ τ᾽ αὐτῶν φύραμα, ἡ δὲ ἠλεκ-
„ τρικὴ ἑλκυςικότης δραςικώτερον ἐπὶ τοῖς τῶν
„ σωμάτων μικροῖς, ἢ τοῖς μεγάλοις, ἐνεργεῖ,
„ ȣ͂τως ἡ τῶν τȣ͂ φωτὸς ἀκτίνων βραχύτης τῇ
„ τȣ͂ ἐνεργȣ͂ντος, εἴτ᾽ ȣ͂ν τῆς δυνάμεως, ἢ τῇ
„ θλάσει ταύτας εἴκειν παρασκευάζει, βίᾳ
„ συνεισφέρειν ἀπειράκις δύναται· ὑπο- τι-
„ θεμένȣ δὲ, ὡς ὁ αἰθὴρ, ἢ ϗ ὁ πρὸς ἡμῶν
„ ἀναπνεόμενος ἀὴρ, περιέχει μόρια, ἀλλήλων
„ ἀφίςασθ᾽ ἐπειγόμενα, ϗ ταῦτ᾽ ἀπειράκις ἐ-
„ λάσσω, ἢ τὰ τȣ͂ ἀέρος, ἢ ϗ ὡσαύτως αὐ-
„ τάγε τὰ τȣ͂ φωτὸς, ἡ αὐτῶν ὑπεροχικὴ βρα-
„ χύτης, τῷ τῆς δυνάμεως, ἥπερ ἀλλήλων ἀ-

„ φί-

„ φίςαται, μεγέθει δύναται συνεισφέρειν, ἀ-
„ πειράκις ἀραιότερον τε καὶ ἐλαςικώτερον, ἢ τὸν
„ ἀέρα, τὸ μέσον καθιςῶσα, καὶ ἑπομένως ἀ-
„ πειράκις ἧττον οἰκεῖον τῇ τῶν προβολικῶν κι-
„ νήσει ἀνθίςασθαι, καὶ ἀπειράκις μᾶλλον οἰκεῖον
„ τὸ τῶν σωμάτων βάρος αἰτιᾶσθαι τῇ ἐπείξει,
„ ἣν τὰ μόρια ταῦτα ποιεῖται, ἐφ' ᾧ αὐτὰ
„ ἐκτείνειν.

Η' τῶν καθόλε ἰδεῶν, ἃς περὶ τῆς ἐν τῇ βαρύτητι αἰτίας δοκεῖ ἔχειν ὁ Νεύθων, ἐπιτομή, ἥδε· τὰς γεμὴν τέτε πραγματείας ἄλλῃ πῃ τις ἐξετάζων, πείθειν ἑαυτὸν σπεύδει, ὡς ἡ καθόλε ἑρμηνεία αὕτη, ἣν ἕτος ἐν τῇ αὐτῇ ὀπτικῇ ποιεῖται, τὰς, ἔσας ἀφηνιᾶν ἡ ἑλκτικὴ δύναμις ἦγεν, βεβαιῦν κυρίως ξυνετέθη· ὁμολογῶν γὰρ ὅδε, ὡς δυνατὸν ὠθήσει παράγεσθαι τὴν βαρύτητα, προςίθησιν, ὡς καὶ ἄλλῃ τινὶ αἰτίᾳ δύναιτ' ἂν αὕτη παράγεσθαι· θεὶς δ' ἐν τῷ μεγίςῳ κενῷ, ἢ τέλάχιςον, ἐν διαςήματι, βραχυτάτην περιέχοντι ὕλην, κινεμένες τὲς πλανήτας, σημειοῖ, ὡς ἡ ῥευςῦ τινος ὤθησις, τῇ τῆς ἐπιφανείας τῶν, ἄγε πλήττει, σωμάτων ποσότητι ἀνάλογος, ἡ δὲ βαρύτης τῇ τῆς ὕλης ποσότητι, πρὸς διαβαινέσης, ἵν' ἕτως εἴπω, εἰς τὰ σώματα αἰτίας τινος παραγομένη, ὃ περὶ τῆς ἐν τῇ βαρύτητι ἐσωτερικῆς αἰτίας κύριον ἐπιχείρημα· πᾶσα γὰρ, ἡ οἱαδήποτε, ἐξωτερικὴ αἰτία ἐκ ἄλλως τῶν ἀποτελεσμάτων παράγοι ἄν τι, ἢ ἐνδιπλασίωνι λόγῳ τῆς διαμέτρε. ὅτε τὰ τῆς βαρύτητος ἐν τριπλασίωνι· ὅ, τιῦν ἄρα κατὰ Νεύθωνος φαίη ἄντις, τέτοις αὐτὸν διςάζοντα ἀποδείξων, πάνυ βραχυτάτην ἰδέαν τοῦ μεγίςε τοῦδ' ἀνδρὸς δοκεῖ μοι ἕτος ἔχειν. Πε-

## Περὶ κενȣ̃ φυσικȣ̃ ϗ μεταφυσικȣ̃.

Κενὸν ἐςὶ, διάςημα, ὃ πάσης ὕλης, οἷα ποτ᾽ ἂν ᾖ, ἀπηλλαγμένον.

Τὰ μέγιςα διαφερομένων ἀλλήλοις ἀεὶ τῶν φιλοσοφȣ́ντων, περὶ τῆς τȣ́τȣ ὑπάρξεως, οἱ μὲν πληρέςατον ὑπάρχειν τὸ πᾶν, οἱ δ᾽, ὡς ϗ κενόν τι τȣ́τȣ, βȣ́λονται.

Δύω εἴδη τȣ́τȣ διακρίνοντες οἱ πάλαι, τὸ ἀποσεσωρρευμένων ϗ διεσπαρμένον, δι᾽ ἐκείνου μὲν διάςηματι, πάσης ὕλης ἐξερημένον, ἐννοȣ̃σιν, οἷόν περ ἂν εἴη τὸ πρὸς τῶν ταμείȣ τινος τειχῶν περιεχόμενον, τȣ́τȣ τὸν ἀέρα ϗ ἅπανθ᾽, ὅσαγ᾽ ἐν αὐτῷ τυγχάνει, τȣ̃ Θεȣ̃ ἐξοντȣ̃ντος· τῆς τȣ́τȣ ὑπάρξεως προέςησαν οἱ πυθαγόρειοι, οἱ ἐπικȣ́ρειοι ϗ οἱ ἀτομικοὶ, ὧν οἱ πλείȣς πράγματι ϗ τῶν τȣ̃ αἰσθητȣ̃ κόσμȣ ὁρίων ἀνεξαρτήτως ὑπάρχειν αὐτὸ διϊσχυρίζονται· οἱ δὲ καθ᾽ ἡμᾶς ἀτομικοὶ, ὅσοι τȣ̃τ᾽ ἀποδέχονται, τὴν πρότασιν ταύτην ἀποφάσκȣσιν· ἄπειρον γὰρ, αἰώνιον ϗ ἄκτιςον ἐχρῆν τȣ̃θ᾽ ὑπάρχειν.

Τ᾽ ἀποσεσωρρευμένον, τῶν τȣ̃ αἰσθητοῦ κόσμȣ ὁρίων ἀνεξαρτήτως, ϗ ὅγε, τὰ τῶν σωμάτων συνεχῆ ἐξοντȣ̃ν, ἐποίει ἂν τὸ Θεῖον, κατὰ τȣ̀ς ὑςάτȣς τȣ́σδε, ȣ̓κ ἂν εἴη, ἢ ψιλή τις ςέρησις, εἴτ᾽ ȣ̓ν μηδὲν· αἱ τȣ̃ διαςήματος διαςάσεις, ὅσαι, κατὰ τȣ̀ς πρώτȣς, πραγματικόν τι, κατὰ τὴν τῶν δευτέρων δόξαν, ȣ̓κ ἂν εἶεν, ἢ ψιλαὶ ςερήσεις, εἴτ᾽ ȣ̓ν ἡ τȣ̃ μήκȣς, πλάτȣς, βάθȣς, ὧν ἔδει τοῖς τȣ̃το πληρȣ̃σιν, ἀπόφασις· λέ-

γειν,

γειν, ταμεῖόν τι, ὃ πᾶσ' ἂν ἔξοιτο ὕλη, τὰς πραγματικὰς τηρεῖν διαστάσεις, ἐστι, κατὰ τούτες, φάναι τ' ἄτοπον τόδε, ὡς τὸ μὴ ὂν σῶμα, σωματικὰς ἐστιν ἔχειν διαστάσεις.

Ἅπαν εἶδος ἀποσεσωῤῥευμένε ἀρνέμενοι οἱ περὶ καρτέσιον, προΐσανται, ὡς, εἴγε πᾶσαν ὕλην ἐξοιτεν τὸ θεῖον τε ταμεῖε, εἰσαγωγὴν ἄλλης τινος ἐκώλυσεν, εἶπετ' ἂν συνεχεῖς γίνεσθαι τὲς τοίχες, ἑαυτοῖς τε λοιπε μηδὲν ἐμπεριέχοντας διάστημα· φασὶ γὰρ, τὰ μηδὲν ἐν ἑαυτοῖς διαλαμβάνοντά τι τῶν σωμάτων, ταῦτα, ἢ καὶ τὰ συνεχῆ· τὰ ἑαυτοῖς ἐδεμίαν ὕλην ἐμπεριέχοντα, ἔκτασιν, ἥπερ ἀλλήλων διαχωρίζοιτ' ἂν ταῦτα, ἐδεμίαν ἔχει· ἔκτασις γὰρ καὶ σῶμα, φασὶν ἐτοι, ταὐτόσημα· ἐδεμίαν δὲ μεταξὺ αὐτῶν ἔκτασιν ἔχοντα τὰ σώματα, συνεχῆ ἄρα, καὶ τὸ κενὸν, ἐδὲν ἀλλ' ἢ χείμερα· ἀλλ' ἀπατηλοὶ ἅπαντες οἵδ' οἱ συλλογισμοί· τὴν γὰρ ὕλην ἐτοι τῇ ἐκτάσει συγχέεσι·

Διεσπαρμένον δὲ, ὁ μεταξὺ τῶν σωμάτων καὶ τῶν ἐν τέτοις διαλειμμάτων φύσει ὑποτίθεται.

Περὶ τέτε κυρίως οἱ καθ' ἡμᾶς φιλοσοφεντες διαφέρονται· ἀποδεχομένων γὰρ τέτο τῶν ἀτομιστῶν, οἵτ' ἐκ περιπάτου καὶ περὶ καρτέσιον ἀποτίθενται.

Τὸ τῶν περιπατητικῶν κατὰ τῦτο γενναῖον ἐπιχείρημα, ὁρῶντες διάφορα εἴδη τῶν σωμάτων, ἅπερ ἔσθ᾽ ὅτε ἑαυτὰ κινεῖ, ἀντικειμένως τῇ αὐτῶν διευθύνσει ϗ φυσικῇ κλίσει, ὀκ ἄλλα τὰ τῶν φαινομένων λόγων, ἢ τὸ κενὸν ἀποκλίνειν, ἐντεῦθεν ἤτοι συνάγουσιν, ὡς ἡ φύσις ὀρρωδεῖ τὸ κενὸν, κλάσιν τινα τῶν κινήσεων, ἃς τῇ αἰτίᾳ ταύτῃ ἀπένειμον, συνιςῶντες· τοιαύτη, φέρε, ἡ τῦ ὕδατος ἄνοδος ἐν ταῖς σύριγξινι ϗ τῇ κτεσιβίῳ μηχανῇ.

Ἀποδειχθέντων δ᾽ ἀναμφιβόλῳ πείρᾳ, τῦτε βάρυς ϗ τῆς ἐλαςικότητος τ᾽ ἀέρος, ὀκ ἀλόγως τῇ πρὸς τῦτων θλίψει ἅπασ᾽ αἵδ᾽ ἀπονέμονθ᾽ αἱ κινήσεις.

Οὐχ ὅπως τὴν τῦ κενῦ πραγματικὴν ὕπαρξιν ἀποφάσκουσιν οἱ περὶ καρτέσιον, ἀλλὰ δὴ ϗ τὴν αὐτῦ γε τῦτο δυνατότητα, ϗ ταῦτ᾽ ἐπ᾽ ἀρχῇ τοιᾷδε· ἐπεὶ ὀσία τῆς ὕλης, ἤτοι τῦ σώματος, ἡ ἔκτασις, ἅπαν δ᾽ ἐκτατὸν, ὕλη, τό, τε ψιλὸν διάςημα ϗ τὸ κενὸν, ὅπερ ἐκτατὸν ὑποτίθεται. ὑλικὸν, κατ᾽ αὐτὸς, δέον ὑπάρχειν·

Ὁ γισῦν, φασὶ, τὸ κενὸν διάςημα ἀποδέχεται, διαςάσεων ἐν τῦτῳ ἀντιλαμβάνεται, εἴτ᾽ ὀν ἐκτατῆς ὀσίας, ϗ ἑπομένως τὸ, ὅπερ ἀποδέχεται, κενὸν, ἐν ταυτῷ ἀποφάσκει.

Ἄλλοθεν δ᾽ ὀκ εὐαρίθμοις τῶν σκέψεων οἱ φυσικευόμενοι ἀτομίςαι, ὀχ ὅπως τὸ τῦ κενῦ δυνατὸν, ἀλλὰ δὴ ϗ τὴν τῦτο πραγματικὴν ὕπαρξιν, τῆς καθόλο κινήσεως ἐξάγοντες, ϗ ἐν

εἴδει,

εἴδει, τῆς τῶν πλανητῶν, κομητῶν, τῆς τῶν σωμάτων πτώσεως, τῆς ἀραιότητος, τῆς πυκνότητος τῶν ἐντοῖς σώμασι διαφόρων εἰδικῶν βαρυτήτων, καὶ τῆς περὶ τὴν ὕλην διαιρέσεως.

Α. ἀποδεικνύουσι πρῶτον, ὡς δίχα κενοῦ κίνησίν τιν᾽ ἐπιτελεῖσθαι, ἀδύνατον· ὅπερ, ὡς ἄριστα ἐν τῷ αὐτοῦ ποιήματι δίδωσιν ἡμῖν καὶ Λουκρέτιος.

Ἀρχὴν γὰρ ὑποχωρεῖν οὐδὲν ἂν δοίη, εἴγ᾽ ἅπανθ᾽ ὕλη πεπύκνωτ᾽ ἀνέκαθεν· ἡ τοῦδε τοῦ ἐπιχειρήματος δύναμις ταῖς τῶν θεωριῶν ἑπομέναις κρατύνεται.

α. Πᾶσαν κίνησιν τελεῖσθαι δεῖ, ἢ ἐν εὐθείᾳ, ἢ κυρτῇ, γραμμῇ, ἐς αὐτὴν ἐπανιούσῃ, οἷος, ὅ, τε κύκλος καὶ ἡ ἔλλειψις· ἢ ἐν κυρτῇ, ἐπ᾽ ἄπειρον ἐκτεινομένῃ, οἷαπερ, ἡ παραβολή· β. ἀεὶ μείζω τῆς ἀνθιστάσεως, ὑπάρχειν δεῖ τὴν κινοῦσαν δύναμιν· ἕπεται γὰρ ἐντεῦθεν, οὐδεμίαν κίνησιν, κἂν ἄπειρος ᾖ, κίνησίν τινα, ἧς ἄπειρος ἡ ἀνθίστασις, παράγειν μὴ δύνασθαι, καὶ ἑπομένως, μὴ ὄντος κενοῦ, ἡ εὐθεία, ἢ ἡ κυρτὴ, κίνησις ἐς αὐτὴν μὴ ἐπανιοῦσα, εἴη ἂν ἀμήχανος· ὡς τὸν κινηθησόμενον ὄγκον, καὶ ἑπομένως τὴν ἀνθίστασιν, ἄπειρον ἐν ἑκατέρῳ τῶν ξυμβάντων τῶνδε δεῖ ὑπάρχειν· καὶ πρὸς, ἁπασῶν τῶν κυρτογράμμων κινήσεων, ὅσας ἐν τῷ πλήρει δυνατὸν ἀϊδίως ὑπάρχειν, μόναι πεφύκασιν, ἢ ἡ περί τι τῶν σημείων πεπηγὸς κυκλικὴ, οὐχὶ δ᾽ ἡ ἐλλειπτικὴ, ἢ ἡ ἄλλης τινος κυρτότητος, ἢ ἡ τῆς σώματός τινος περὶ τὸν αὐτοῦ ἄξωνα περιφορᾶς, εἰ

τὸ

τὸ περιφερόμενον εἴη μόνον, ἢ ἐντελὴς σφαῖρα, ἢ σφαιροειδὲς, ἢ ἄλλου ταυτοειδοῦς σχήματος· τοιοῦτον δὲ σῶμα, ἢ τοιαῦται κυρταὶ ἐν τῇ φύσει οὐδαμοῦ ὑφεστήκασιν· ἐν ἄρα τ' ἀπολύτως πλήρει οὐδεμία κίνησις· ὑπάρχει ἄρα κενόν.

B. Τῇ τῶν πλανητῶν, κομητῶν, κινήσει δείκνυται τὸ κενόν· οἱ οὐρανοὶ, φησὶν ὁ κύριος Νεύθων, μέσων ῥευστῶν οὐ πληροῦνται, πλὴν εἰ μὴ πάνυ ἀραιῶν, ὃ τῇ τούτων, ἐν οὐρανοῖς πανταχοῦ κινουμένων, κανονικῇ καὶ σταθερᾷ κινήσει δέδεικται· ἕπετ' ἐντεῦθεν προδήλως, ὡς πάσης αἰσθητῆς ἀνθιστάσεως, καὶ ἑπομένως αἰσθητῆς ὕλης, ἄπορα, τὰ τῶν διαστημάτων οὐράνια· ἡ γὰρ τῶν μέσων ῥευστῶν ἀνθίστασις, πῇ μὲν τῆς τῶν μερῶν τοῦ μέσου τριβῆς προκύπτει, πῇ δὲ τῆς ἐν τῇ ὕλῃ δυνάμεως, ἣν τῆς ἐν ταύτῃ ἀδρανίας δύναμιν καλοῦσιν· ἀλλὰ τῆς ἀνθιστάσεως, ἡ μὲν τοῦ οἱουδήποτε μέσου, ἡ τῆς γλισχρότητος, τῆς προσψαύσεως, ἢ τριβῆς τῶν τοῦ μέσου μερῶν προϊοῦσα, μειοῦσθαι δύναται, εἰς ἐλάττω μόρια τὴν ὕλην διαιροῦσα, καὶ μείζονος ξέσεώς τε καὶ ὀλισθηρότητος ταῦτ' ἀποκαθιστῶσα, ἡ δὲ πρὸς τῆς ἐν τῇ ἀδρανίᾳ δυνάμεως παραγομένη, τῇ τῆς ὕλης πυκνότητι ἀνάλογος. τῇ ταύτης διαιρέσει, ἡ τῶν μέσων ἄλλῳ τῳ εἰς ἐλάττω μειοῦσθαι οὐκ ἔχουσα, ὅ,τι μὴ τῇ τοῦ μέσου πυκνότητι· ἑπομένως δὲ, ὄντων τῶν οὐρανίων διαστημάτων πυκνότητος, ἧς καὶ τὸ ὕδωρ, ἡ τούτων ἀνθίστασις, οὐκ ἂν ᾖ ἐλάττων, ἢ ἡ τούτου. ὄντων δὲ τῆς, ἧς γε καὶ ὁ ὑδράργυρος, ἡ αὐτῶν ἀνθίστασις, οὐκ ἐλάττων, ἢ ἡ τούτου· εἰ δ' ἀπολύτως πυκνὰ ταῦτ' ἦν, εἴτ' οὖν πλήρη ὕλης δίχα κενοῦ, οἱασποτ' ἂν ᾖ λεπτότητος, ἢ

ῥευ-

ῥευςότητος, ἡ τούτων ἀνθίςασις ἐτύγχανεν ἂν μείζων, ἢ ἡ τοῦ ὑδαργύρου· δυεῖν σφαιρῶν, ἧ μὲν ςερεὰ τὸ τῆς ἐν αὐτῇ διαμέτρου τριπλάσιον μῆκος διανύουσα, μεῖζον, ἢ τὸ τῆς ἐν αὐτῇ κινήσεως ἥμισυ, ἐν τῷ τοιούτῳ μέσῳ ἂν ἀπώλεσεν, ἡ δὲ μὴ ὁλοσχερῶς τοιαύτη, οἷάπερ, ἡ τῶν πλανητῶν, ἐν ἔτ᾽ ἐλάσσονι χρόνῳ ςήσεται· ἵν᾽ ἄρ αἱ τούτων καὶ αἱ τῶν κομητῶν κανονικαί τε καὶ μόνιμοι κινήσεις ἑδράζωνται, ἀπολύτως ἀναγκαῖον, πάσης ὕλης κενοὺς ὑπάρχειν τοὺς οὐρανίους χώρους, ἐξαιρουμένων ἴσως ἀτμῶν τινων, ἢ ἀναθυμιάσεων, τῆς ἐπιγείου σφαίρας, τῆς τῶν πλανητῶν, κομητῶν καὶ τῶν ἡλίου ἀκτίνων, ξυμβαινόντων.

**Γ.** τῆς τοῦ ἐντοῖς σώμασι βάρους θεωρίας ἐξάγει ἔθ᾽ ὁ Νεύθων τὸ κενόν· „ ἅπαντα, φησὶν οὗτος, ὅσα ἐπὶ γῆς καὶ πρὸς ταύτην βαρύνοντα, καὶ τὰ τούτων, ἐν ταὐτῷ τοῦ κατ᾽ αὐτὴν κέντρου διαςήματι, βάρη πρός ἄλληλα λόγον ἔχει, ὃν αἱ τῆς αὐτῶν ὕλης ποσότητες· εἴπερ ἄρ ὁ αἰθήρ, ἢ ἡ τισοῦν ἄλλη λεπτὴ ὕλη, βαρύτητος ἦν πάντῃ ἄμοιρος, ἢ ἧττον, ἢ τ᾽ ἄλλα, ἐςαθμει, τῷ λόγῳ τῆς ἐν αὐτῇ ποσότητος, εἴπετ᾽ ἄν, κατ᾽ Ἀριςοτέλη, καὶ πάντας, ὅσοι τὴν ὕλην ταύτην μηδὲν διαφέρειν τῆς τῶν ἄλλων οἴονται, πλὴν εἰμὴ μόνῃ τῇ τοῦ εἴδους μεταβολῇ, δύνασθαι τ᾽ αὐτὸ σῶμα, τῷ εἴδει μεταβάλλον, βαθμηδὸν μεταβάλλειν εἰς κατάςασιν, ἧς τὰ μᾶλλον, ἢ αὐτὸ, βαρύνοντα τῷ λόγῳ τῆς ἐν τῇ αὐτῶν ὕλῃ ποσότητος, καὶ ἔχειν κατὰ ταυτὰ τὰ τούτων βαρύτερα βαθμηδὸν ἀπολλύειν τὴν αὐτῶν βαρύτητα, τοῖς εἴδεσιν οὕτω μεταβάλλοντα, ὡς τούτων ἀρτᾶσθαι κυρίως τ᾽ αὐτῶν βάρος, κἂν

τ᾽ αὐ-

τ᾽ αὐτῷ χρόνῳ, ἐν ᾧ ϗ ταῦτα, μεταβάλλειν, ὃ πάσῃ πείρᾳ ἀντικείμενον.

Δ. μὴ ἐξίσȣ πλήρη τυγχάνειν ἅπαντα τὰ διαςήματα, κατὰ Νεύθωνα, τȣ̃τ᾽ ἔτι ϗ ἡ τῶν σωμάτων πτῶσις βεβαιοῖ· „ἐξίσȣ πεπληρωμένων ὄντων τȣ́των, ἡ τȣ̃ ῥευςȣ̃, ȣ̃ ἦν ἂν πλήρης, ὁ ἀὴρ, εἰδικὴ βαρύτης, ȣ̓κ ἂν ἦν ἐλάττων τῆς τῶν βαρυτέρων, οἷον τῆς τȣ̃ ὑδραργύȣ, τῆς τοῦ χρυσȣ̃, ϗ ἐπομένως τȣ́των ȣ̓δὲν ἐχρῆν πίπτειν· τὰ γὰρ σώματα ἐν τῷ ῥευςῷ ȣ̓ καταβαίνει, ἢ τȣ́τȣ ὑπάρχοντα βαρύτερα· ἐὰν δὲ, τῇ πνευματικῇ μηχανῇ, ἐς τȣ̃τ᾽ ἐξαχθῇ τȣ̃ δοχείȣ ὁ ἀὴρ, ὡς τῇ αὐτῇ ταχύτητι πίπτειν ἐν τȣ́τῳ πτερόν τι, ἧπερ ἐν τ᾽ ἀέρι ὁ χρυσὸς, τὸ μέσον, ὅπερ ἤδη καταλαμβάνει τὸ δοχεῖον, ἀνάγκη, ἀραιότερον ὑπάρχειν, ἢ τὸν ἀέρα· ἐχȣ́σης ἄρα τῆς ἐν τῇ ὕλῃ ποσότητος μειȣ̃σθ᾽ ἐν τῷ δοθέντι διαςήματι διὰ τῆς ἀραιότητος, τί μὴ ἐπ᾽ ἄπειρον ἥδε χωροίη ἡ μείωσις; πρόσθες, δὲ, θεωρȣμένων τῶν ἐν ἅπασι τοῖς σώμασι ςερεῶν μορίων, ἢ τ᾽ αὐτῶν τῇ πυκνότητι, ϗ ἀραιȣ̃σθαι μὴ δυναμένων, ἢ διὰ τῶν ἐν αὐτοῖς πόρων, τὸ κενὸν, κἀν τεῦθεν ἀναγκαίως ἕπεσθαι.

Ε. τὴν τȣ̃ κενȣ̃ ὕπαρξιν ἀποδεικνύȣσιν ἔτι ϗ αἱ τῶν αἰωρητῶν κραδάνσεις· μὴ ἀνθιςαμένου γὰρ τȣ́τοις τινος, ȣ̓δὲ τὴν τȣ́των κίνησιν ἐπιβραδύνοντος, ἢ τὰς αὐτῶν κραδάνσεις βραχύνοντος, ἀνάγκη, τοῖς διαςήμασι τȣ́τοις, ἢ τοῖς τῶν ἐν τοῖς σώμασι τοῖς δε μορίων διαλείμασιν, αἰσθητὴν ὕλην μὴ ἐνυπάρχειν.

Ο' δὲ, φησὶν ὁ καρτέσιος, δυνατὸν λεπτύνεσθαι τὸ σῶμα, ὡς ἀνεπαίσθητον τὴν αὐτᾶ τυγχάνειν ἀνθίςασιν, προσβάλλον δὲ τῶν σωμάτων μικρὸν μείζονι, ἀνθίςασθαι τᾶτο ἐκείνῳ, ἢ τὴν αὐτᾶ κίνησιν ἀλλοιᾶν, μὴ ἔχειν, ἀλλ' ἁπάσῃ τῇ αὐτᾶ ἐπανήκειν δυνάμει, ἀντίκειται τῇ πείρᾳ· ἔδειξε γὰρ ὁ Νεύθων, ὡς ἡ τῶν ῥευςῶν πυκνότης, περίπα τῇ τάτων ἀνθιςάσει ἀνάλογος· ταύτῃ κ) τὴν, ἧς πειρῶνται τὰ προβολικὰ, ἀνθίςασιν, ἐπ' ἄπειρον μειαμένην, διαιρεμένων τῶν τᾶ ῥευςᾶ τάτα μερῶν ἐπ' ἄπειρον, οἴεσθαι, ἀχ ἡ τυχᾶσ' ἀπάτη.

Δῆλον γὰρ, τἀναντίον, ὑποδιαιρέσει τῶν μερῶν, πάνυ βραχύ τι μειᾶσθαι τὴν ἀνθίςασιν, τὰς δ' ἁπάντων τῶν ῥευςῶν ἀνθιςαμένας δυνάμεις, τυγχάνειν περίπα, ὡς τὰς αὐτῶν πυκνότητας· ἀρχ. βιβ. 2°. πρότ. 38, κ) 40. ἐν μεγίςῳ ἀριθμῷ ἐλαχίςων μερῶν, ἢ ἐν βραχεῖ μειζόνων, διαιρεμένη ἡ αὐτὴ τῆς ὕλης ποσότης, τί μὴ τὴν αὐτὴν παράγοι ἂν ἀνθίςασιν; εἴπερ ἄρα μηδὲν ἦν κενὸν, εἴπετ' ἂν, κινάμενον ἐντ' ἀέρι, ἢ ἐν ἀπηλλαγμένῳ τάτα διαςήματι, προβολικόν τι, τοσαύτης πειρᾶσθαι τῆς ἀνθιςάσεως, ὅσης, εἰ κἂν τῷ ὑδραργύρῳ ἐκινεῖτο.

ϛ. ἡ τῆς ὕλης πραγματικὴ διαίρεσις κ) ἡ τᾶ σχήματος τῶν ἐν αὐτῇ μερῶν διαφορὰ τὸ διεσπαρμένον κενὸν ἀποδείκνυσιν· ἐν γὰρ τῇ τ' ἀπολύτως πλήρας ὑποθέσει, ὅπως πράγματι ἀλλήλων δυνατὸν χωρίζεσθαι τὰ τῆς ὕλης μέρη, ἢ τὰ τᾶ ἀπολύτα διαςήματος διαιρεῖσθαι, κατανοεῖν

νοεῖν ὐκ ἔχομεν· τὴν διαίρεσιν, ἢ τὸν χωρισμὸν, δυοῖν ἡνωμένων μερῶν ἐννοῦντας, ὐδὲν ἀλλ᾽ ἐςιν ἐννοεῖν, ἢ τὴν τύτων ἐπί τι διάςημα ἀπόςασιν· ἀλλ᾽ ἡ τοιάδε διαίρεσις, ἀναγκαίως ἀπαιτεῖ ἐν τοῖς μέρεσι τὸ κενόν·

Ζ. Ἐν τῇ τῦ πλήρυς ὑποθέσει, ἅπαντα τὰ τῶν σωμάτων σχήματα ὑπάρχειν ἔδει, ἤτοι ἀπολύτως εὐθύγραμμα, ἢ κοῖλα ϗ κυρτά. ἄλλως γὰρ ὐδέποτ᾽ ἂν πρὸς ἀκρίβειαν πληρῦν ἠδύνατο τὸ διάςημα· ἀλλ᾽ ἅπαντα τὰ σώματα ὐκ ἔχει τὰ σχήματα ταῦτα.

Η. οἱ τὸ κενὸν ἀποφάσκοντες, ὑποτιθέασιν, ὅπερ ἀποδεικνύειν ἀδυνατῦσι, τὸν ὑλικὸν κόσμον, ἄπειρον.

Ὑφιςαμένης τῆς ἐν τῇ ὕλῃ ὐσίας ὐκ ἐπὶ τῆς ἐκτάσεως, ἀλλὰ τῆς ςερεότητος, εἴτ᾽ ὖν τ᾽ ἀδιαβάτυ, ἔςι λέγειν ἐκ ςερεῶν σωμάτων, κινυμένων ἐν τῷ κενῷ, τὸ πᾶν συντίθεσθαι· ταύτῃ ϗ τὰ φαινόμενα, ὅσαπερ ἐν τῷ τῦ πλήρους συςήματι ἀναπτύσσεται, ὐχρὴ δεδιέναι, ὡς ὐχ ἑρμηνεύεται ἐν τῷ, ὅπερ ἀποδεχόμεθα, τῦ κενῦ· τὰ γὰρ τύτων κυριώτερα, οἷάπερ, ἡ παλίῤῥοια, ἡ τῦ ὑδραργύρυ ἐν τῷ βαρομέτρῳ αἰώρησις, ἡ τῶν ὐρανίων σωμάτων κίνησις, ἡ τοῦ φωτὸς, κτ., μείζονι ἀποχρῶντι λόγῳ ἐκτίθενται ἐν τῷ δευτέρῳ, ἢ τῷ πρώτῳ.

Πε-

## Περὶ ἐκτάσεως μεταφυσικῆς.

Διχῶς ἔστι θεωρεῖν τὴν ἔκτασιν, ἤτοι ὡς αἰσθηματικὴν, ἢ ὡς ἀφῃρημένην· κἀκείνη μὲν, ἐνεργείας τινὸς τῶν ἐκτὸς ἀποτέλεσμα ἐπί τι τῶν ἐν ἡμῖν ὀργάνων· αὕτη δὲ, διανοίας ἔργον, τὴν αἰσθηματικὴν καθολικευούσης, καὶ μεταφυσικόν τι ὂν ταύτην ἐξεργαζομένης, ὡς ἁπάσας τὰς αὐτῇ ἐνούσας αἰσθητάς τε καὶ ἐνεργητικὰς ἰδιότητας, πάντῃ ἀφαιρούσης.

Τὴν αἰσθηματικὴν, δι' αὐτὸ τοῦτο, ὁρίζειν, ἀμήχανον, ὅτι αἰσθηματική· τῆς γὰρ τῶν αἰσθήσεσιν ἀμέσως ποριζομένων εἰδικῶν ἐννοιῶν, ἢ καὶ τῶν γενικῶν, τῶν τῇ διανοίᾳ δηλ. κατασκευαζομένων, φύσεως ἴδιον, ἵν' αὐταὶ ταῦται τῶν περὶ αὐτὰς ὁρισμῶν ὅροι καὶ στοιχεῖα, ἐφ' ἃ δεῖ καὶ ἀναλύεσθαι, τυγχάνωσι τὰ ἔσχατα· ζητητέον ἄρα, τίνι τῶν ἐν ἡμῖν αἰσθήσεων τὴν αἰσθηματικὴν ταύτην δέον ἀπονέμειν, καὶ ἔτι τὸ μέσον, ὥσπερ ἂν αὐτὴν πορίζεσθαι ἔχοιμεν.

Θῶμεν, ἁπάσας τὰς αὐτοῦ αἰσθήσεις, ἀρτίας ἔχοντά τινα, πάσης κινήσεως στερεῖσθαι, ὡς τὸ τῆς αὐτοῦ ἁφῆς ὄργανον μόνῃ ἀκινήτῳ προσαρμογῇ ἐπί τι τῶν τῆς ὕλης μορίων ἀσκοῦντα· φημὶ δὴ, ὡς οὐχ ὅπως οὗτος οὐδεμίαν ἔχει τῆς ἐκτάσεως ἔννοιαν, ἀλλ' οὐδ' ἂν ἄλλως ταύτην κτήσαιτο, πλὴν εἰμὴ τῇ κινήσει· γινώσκειν 'γὰρ ἀτεχνῶς τὴν σώματός τινος ἔκτασιν, τὸ μέσον οὐδὲν ἀλλ', ἢ ἡ καταδιαδοχήν τε καὶ συνεχὴς προσαρμογὴ τοῦ τῆς ἁφῆς ὀργάνου τῇ ἐκείνου ἐπιφανείᾳ· ὡς, κινουμένου μὲν τοῦ περὶ τοῦτον σώματος,

ἠρεμούσης δὲ τῆς αὐτοῦ ἀφῆς, τῇ τῆς ἐκτάσεως καταλήψει, οὐδὲν ὅλως ἐντεῦθεν τὸ ὄφελος· ἵνα γὰρ τὴν κίνησιν γνῶ, κινεῖσθαί με δεῖ, ὡς μόνῃ κινήσει, οὐχ ὅπως ἐκτὸς ἑαυτῶν, ἵν' οὕτως εἴπω, γινόμεθα, ἀλλὰ δὴ καὶ τὴν τῶν ἐκτὸς ἀντικειμένων ὕπαρξιν γινώσκομεν, καὶ τὰς τούτων διαστάσεις, καὶ τ' αὐτῶν ἀμοιβαῖα διαστήματα καταμετροῦντες, τὴν ἔκτασιν πορίζομεθα· τ' ἄρα τῆς ἐκτάσεως αἴσθημα, οὐκ ἄλλ', ἢ τὸ τῶν κατὰ διαδοχὴν θλίψεων, ὧν ἐν κινήσει ὄντες, αἰσθανόμεθα, ἴχνος, ὅ γε οὐχ ἁπλοῦν, ἀλλ' ἐκ πλειόνων ταυτογενῶν αἰσθημάτων συγκείμενον· ἐπεὶ δὲ διὰ μόνων τῶν τῆς ἀφῆς ὀργάνων ἑαυτοὺς ἐν κινήσει τιθέμεθα, καὶ ἑαυτῶν κινουμένων αἰσθανόμεθα, ἕπεται, ὡς μόνῃ τῇ ἀφῇ τὸ τῆς ἐκτάσεως ὀφείλομεν αἴσθημα· φαίη δ' ἄν τις ἴσως, εἰ καὶ μηδὲν ἧττον τῇ ἀφῇ, ἀλλὰ δὴ τῇ ὁράσει καὶ μᾶλλον, ἢ ὡς κατ' ἐκείνην, τοῦτο πορίζομεθα, ἅτ' ἐπὶ μεῖζον, ἢ κατ' ἐκείνην, διηκούσῃ ταύτῃ διάστημα, οὗπερ ἅπτεσθαι τὴν χεῖρα, ἢ τὸ πλειόνων ἀντικειμένων διάστημ' ἀπ' ἀλλήλων καταμετρεῖν, ἢ τοῖς καθ' αὐτὴν ὀργάνοις τοῦτ' ἐξικνεῖσθαι, ὅλως ἀμήχανον· ταῦτ', εἰ καὶ ἀληθῆ, ἀλλ' οὐκ ἄλλως, ὅ, τι μὴ τῇ ἀφῇ διδασκομένης τῆς ὁράσεως· πεῖρα γὰρ δῆλον, ὡς ὁ ἐκγεννετῆς τυφλὸς, ᾧ τὰ τῆς ὁράσεως ἐν ἀκαρεῖ χαρίζεται, τῶν ἐκτὸς οὐδὲν ὅλως ὁρᾷ, οὐ δὲ τῆς μεταξὺ τῶν τ' εἰκόνων, ἃς ἐν τῷ τῶν αὐτοῦ ὀφθαλμῶν βάθει ἐξιχνιάζει, καὶ τῶν ἐκτὸς, ἃ διὰ τῆς ἀφῆς ἤδη ἐγίνωσκεν, ἀναλογίας ἀντιλαμβάνεται, οὐ δὲ τὰ τούτων διαστήματα λογίζεσθαι, ἢ τὰς αὐτῶν διαγινώσκειν θέσεις, ἔχει,

ἐξ ἂν ὁρᾶν, εἴτ' ἂν τὰς, ὅσαι μεταξὺ τῶν τε τῆς ὁράσεως καὶ τῶν τῆς ἀφῆς αἰσθημάτων, σταθερὰς σχέσεις σημειῶν, ἐθισθῇ· ἑπομένως δ' ὁ τὸ τῆς ἀφῆς ὄργανον γυμνάσας μηδέποτε, τὰς τῶν ἐκτὸς διαστάσεις, τὰ τούτων σχήματα, τὰ διαστήματα, θεᾶσθαι, ἢ τὴν ἔκτασιν, ἐν κεφαλαίῳ, κρίνειν, οὐκ ἂν δύναιτο· εἰ καὶ ἐν κινήσει θῶμεν τὰς εἰκόνας, ὅσαιπερ ἐν τῷ τῶν αὐτοῦ ὀφθαλμῶν βάθει καταγράφονται, ἐπεὶ μέντοι οὗτος πεῖρα τὴν κίνησιν οὐκ ἂν ἐγίνωσκεν, αἱ φαινόμεναι κινήσεις αὗται μόνον ἁπλῆν τινα ἰδέαν τῆς διαδοχῆς, οἵαν ἂν σειρά τις ἤχων, ὅσοι κατὰ διαδοχὴν τ' αὐτοῦ οὖς ἂν ἔπληττον, παρέσχεν, ἢ ἡ τῶν ὀδμῶν, τῶν κατὰ διαδοχὴν τὴν ἐκείνου ὄσφρησιν διατιθεμένων, ἂν ἐδίδων, οὐκ ἄν ποτε δὲ καὶ τὴν τῆς ἀφῆς πεῖραν ἀντικαθιστῶν, οὐδὲ τὴν τῆς πραγματικῆς κινήσεως, καὶ ἑπομένως τὴν τῆς αἰσθητῆς ἐκτάσεως ἀντίληψιν ἠδύναντ' ἂν ἄνευ ταύτης διεγείρειν· ὅπως δ' οὕτω διάφοροι αἰσθήσεις, οἵαιπερ, αἱ τῆς ἀφῆς τε καὶ ὁράσεως, ἔχοιεν ἂν ἡμῖν τὴν ἐσχάτην ταύτην ἀντίληψιν ἐν διεγείρειν; θεώμενος δὴ τὰ ἐκτὸς ὁ ὀφθαλμὸς, τούτων οὐδὲν ἀλλ', ἢ τὸ φῶς ὁρᾶ, ὃ τοῖς τῶν διαφόρου χρώματος ἀκτίνων διαφόροις συνδυασμοῖς τὰ τούτων φαινόμενα μόνον αὐτῷ παρίστησιν, ἅπερ ἅπαντ' ἐν ἡμῖν, μᾶλλον δ' ἡμεῖς αὐτοί. τὸ μὲν γὰρ τῆς ὁράσεως ὄργανον, κυρίως παθητικὸν, οἷα μὴ τοῖς ἀντικειμένοις ἀντενεργοῦν, οὐδὲ τὴν οἵαν δήποτ' ἀντίστασιν ποιούμενον, ἣν ἐπὶ τὰς τῶν αἰτιῶν ἐξωτερικὰς ἀνάγειν ἂν δυναίμεθα· τὸ δὲ τῆς ἀφῆς ἐνεργητικὸν ὂν, καὶ τῇ ὕλῃ ἀμέσως ἁρμοζόμενον, τῆς τε τῶν σωμάτων διαστάσεως καὶ τοῦ περὶ ταῦτα εἴδους αἰσθάνεται, τά τε διαστήματα καὶ τὰς θέσεις ὁρί-

 ζον,

ζον, ἐπ' εὐθείας ϗ δίχα παρεμπτώσεως ἄλλου τȢ τȢτοις ἀντενεργεῖ, ἀλλοτρίας τινος ἀνθιςάσεως παρέχον ἡμῖν πειρᾶσθαι, ἣν ἄλλῳ τῳ, ὅπερ ȣ̓χ ἡμεῖς αὐτοὶ, ἀπονέμειν βιαζόμεθα· τέλος μόνη ἥδε τῶν αἰσθήσεων, δἰ ἧς ἡ μᾶς αὐτȣ̀ς τῶν ἄλλων διακρίνειν ἔχομεν, τὴν τῶν ἐκ τὸς ἀντικειμένων πραγματικότητα πείθȣσα, ἀλλήλων ταῦτ' ἀφιςῶσα, ἢ ἀλλήλοις προσάγȣσα, κατὰ τȣ̀ς τῆς φύσεως νόμȣς, ἀφ' ἑτέρȣ ἐφ' ἕτερον χῶρον ἡμᾶς αὐτȣ̀ς μεταβιβάζȣσα, ϗ ἑπομένως τὴν τῆς κινήσεώς τε ϗ ἐκτάσεως ἀψευδῆ ἰδέαν ἡμῖν πορίζεσθαι χορηγȣ̃σα.

Οὕτως ἀναγκαία τῇ τῆς ἐκτάσεως ἰδέᾳ ἡ κίνησις, ὡς τὴν ἐκείνης ἔννοιαν κτᾶσθαι δυνατὸν ταύτῃ μόνῃ, εἰ ϗ τῶν πρὸς αἴσθησιν ἐκτατῶν μηδὲν ὅλως ὑπῆρχε· τὸ τῶν ἀτόμων ἐλάχιςον, ȣ̓ τὸ τῆς ἁφῆς ὄργανον αἰσθάνεσθαι δύναιτ' ἂν, πρὸς αἴσθησιν ἐκτατὸν ȣ̓χ ὑπάρχει· ταύτῃ ϗ, ὄντων ἀναγκαίως ἐλασσόνων τῶν τȣ́τȣ μερῶν, ἢ τȢ̃ περὶ ταῦθ' ὅλȣ, ἐξ ἀνάγκης ϗ τ' αὐτȣ̃ μέρη τὴν τῆς ἁφῆς, φέρε, διαπέφευγεν αἴσθησιν· ἀλλ' εἴγε, ὄντος ἐν κινήσει τȣ̃ τῆς ἁφῆς ὀργάνȣ, κατὰ διαδοχὴν πλείω τῶν αὐτȣ̃ σημείων πρὸς τ' ἄτομȣ τȣ́δε διατίθηται, τὴν τῆς ἐκτάσεως, ἰδέαν διὰ τȣ́τȣ ϗ μόνȣ δυνατὸν κατασκευάζειν· ἥ τε γὰρ τȣ̃ ὀργάνȣ κίνησις ϗ ἡ τῶν κατὰ διαδοχὴν θλίψεων συνέχεια, αἷς τȣ̃το διατίθεται, τ' ἄτομον πολλαπλασιάζειν ϗ τὴν ἔκτασιν παρέχειν δοκȣ̃σι· πρόδηλον ἄρ, ἐγγινομένας ταύτας τοῖς ἐν κινήσει ὀργάνοις τῆς ἁφῆς πρὸς τῶν ἐκτὸς, τὴν τῆς ἐκτάσεως ἀψευδῆ συγκροτεῖν ἔννοιαν· ϗ ἔθ' ὁμοίως, ȣ̔́τω ξυνδεδεμέ-

γας ἀλλήλων ἀρτᾶσθαι τὰς τῆς κινήσεώς τε ϗ ἐκτάσεως ἰδέας, ὡς ὡρισμένην ἔκτασιν ἐναργῶς κατανοεῖν ἄλλως, ἢ τῇ ταχύτητι τοῦ κινητοῦ, ὃ ταύτην ἐν τῷ δοθέντι χρόνῳ διήκει, ἀμήχανον. ἀντιςρόφως δὲ, τὴν τῆς τοῦτο ταχύτητος ἀκριβῆ ἰδέαν ἀδύνατον ἔχειν, πλὴν εἰ μὴ διὰ τῆς ἐκτάσεως, ἣν ἐν τῷ δοθέντι χρόνῳ ἐκεῖνο διανύει· ϗ ἡ τοῦ χρόνου ἄρ ἰδέα τῇ τῆς ἐκτάσεως ἐγχωρεῖ κατὰ ταυτά· ταύτῃ κἂν τῷ φισικομαθηματικῷ λογισμῷ τῶν τριῶν, χρόνου, ταχύτητος, ϗ ἐκτάσεως, οὕτω συνδυάζεσθαι δύω τούτων δύνανται, ὡς παριςᾶν τὸ τρίτον ἐκτιθέμενα· (τὴν γὰρ ἔκτασιν τοῦ τῶν γεωμετρούντων ἀπολύτου διαςήματος, ὃ οὐδὲν ἀλλ', ἢ ἡ, ὡς οἷόν τε καθολικευθεῖσα τῆς ἐκτάσεως ἰδέα, ἥκιςα διακρίνω.) οὕτω δ' ἀλλήλων ἀχωρίςους ἐν τοῖς καθ' ἡμᾶς λογισμοῖς τὰς τρεῖς ταύτας ἰδέας δεῖ τυγχάνειν, ὡς κἂν τῇ αὐτῶν γεννέσει· ϗ τοσούτῳ μᾶλλον σαφεςέρας, ὅσῳ μᾶλλον ἄν τις ταύτας ἀλλήλαις παραβάλλειν ἐξεπίςαιτο· αἱ δὲ τοῦτε διαςήματος ϗ τοῦ χρόνου, αἵγ', ὁπωσοῦν, πάντῃ ἀντικειμένης φύσεως ἀλλήλαις δοκοῦσι, μείζω πρὸς ἀλλήλας κτῶνται τὴν σχέσιν, ἢ ὡς κατὰ πρώτην θεωρίαν εἶναι πιςευτέας· τὴν ἀφῃρημένην ἔκτασιν, εἴτ' οὖν τὸ διάςημα, οἷα ἄμετρόν τι ὅλον κατανοοῦμεν· ἀναλλοίωτον, ἀνενέργητον, ἀναύξητον, ἀμείωτον, ἄτρεπτον, οὗ τὰ ὑποτιθέμενα μέρη πάντ' ἀεὶ ἐν αἰωνίῳ ἀκινησίᾳ ὑπάρχει· τοὐναντίον δὲ, ἅπαντα τὰ τοῦ χρόνου μέρη οἴχεσθαί τε ϗ ἀδιαλείπτως ἑαυτὰ παράγειν δοκοῦντα, οἱονεὶ ἄπειρόν τινα σειρὰν ἡμῖν παρίςησιν, ἧς δυνατὸν ἀεὶ μηδὲν ὑφίςασθαι, ἢ μόνον τῶν σημείων ἀδιαίρετόν τι, ὃ τὸ, τ' ἤδη μὴ ὂν ξυνδεῖ, καὶ

τὸ,

τὸ, ὅπερ ὔπω ἔτι πάρεστιν· ἀλλ᾽ εἰ καὶ τὰ τῆς ἀφῃρημένης ἐκτάσεως, εἴτ᾽ οὖν τοῦ διαστήματος, μέρη ὑποτεθεῖεν διαμένοντα, τὴν μέντοι τούτων διαδοχὴν κατανοεῖν ἐστιν, ὅτε κινούμενόν τι σῶμα ταῦτα διήκῃ· εἰ δὲ καὶ τὰ τοῦ χρόνου μέρη ὄλλυσθαί τε καὶ τρέχειν ἄνευ διαλείμματος δοκεῖ, τὸ γεμὴν διάστημα, ὃ διέρχεταί τι τῶν ἐν κινήσει σωμάτων, πήγει, ἵν᾽ οὕτως εἴπω, τὸ τοῦ χρόνου ἴχνος, καὶ τῇ τούτου κάφῃ καὶ διαφευκτικῇ ἀφαιρέσει διαμονῆς τι εἶδος παρέχεται· σύνδεσμός τις ἄρα ἡ κίνησις, ἅττε τὰς οὕτω διαφερούσας τὸ δοκοῦν ἰδέας τοῦτε χρόνου καὶ τοῦ διαστήματος ξυνδοῦσά τε καὶ τὸ μόνον μέσον, ᾧ τὰς τῶν ἰδεῶν δύω ταύτας δυναίμεθ᾽ ἂν κτᾶσθαι, καὶ φαινόμενον, ὅγε πραγματικότητά τινα τῇ τοῦ χρόνου διδόναι δύναιτ᾽ ἂν, οὖσα.

Εἰ καὶ τῶν μεταξὺ τοῦτε χρόνου καὶ τοῦ διαστήματος σχέσεων οὐκ εὐαριθμήτους ἄλλας δύναιτ᾽ ἄν τις ἔτι καταλέγειν, ἡμῖν ἀλλ᾽ οὖν διελθεῖν ἔδοξεν ἐν ταῦθα, ὅσαι τῇ τῆς ἐκτάσεως φύσει σαφήνειαν οὐ τὴν τυχοῦσαν καταχέειν ἔχουσιν· ὁ τῶν σωμάτων ἁπάντων σύνδεσμὸς, τό, τε διάστημα καὶ ὁ χρόνος, περιέχοντα, τὸ μὲν ἁπάσας τὰς ἐνδεχομένας συνυπάρξεις, ὁ δ᾽ ἁπάσας τὰς δυνατὰς διαδοχὰς, ὃν σταθερᾷ καὶ μονοειδεῖ ταχύτητι κινεῖσθαι ὑποτιθέμεθα, δι᾽ αὐτὸ τοῦτο, ὅτι μονάδα μέτρου πάσης διαδοχῆς αὐτὸν ποιούμεθα· ἁπάσης γὰρ μετρούσης μονάδος φύσις, τὸ ταύτην μονοειδῆ τυγχάνειν, ἢ καὶ μονοειδὲς ἐν ἅπασι τοῖς αὐτοῦ σημείοις ὑποτίθεται τὸ διάστημα, ὡς τουτὶ ξυνάμα τῷ χρόνῳ τὸ τῆς κινήσεως

με-

μέτρον γίνεται· ἄλλως δὲ τὸ τȣ̃ χρόνȣ ϗ τοῦ διαςήματος μονοειδὲς ȣ̓κ ἂν τραπείη, εἰ μὴ πρὸς πραγματικῶν ὑπάρξεων, ἃς τῶν δυεῖν τούτων ἰδεῶν εἰδικῶς ἀποκλείει ἡ ἀφαίρεσις· διὰ τὸν αὐτὸν λόγον ϗ αἱ τῶν ἰδεῶν δύω αὗται, οἷα ἐκτὸς τῶν φυσικῶν, οἷς μόνοις ὁρίζεσθαί πως δύνανται, θεωρȣ́μεναι, ἀόριςοι γίνονται· τȣτῶν δ' ἐκτὸς, ἑκατέρα σύνθετος ἐκ μερῶν, ἃ τῷ αὐτῶν ὅλῳ ȣ̓δεμίαν ἔχει τὴν ὁμοιότητα, εἴτ' ȣ̓̃ν ἅπαντα τὰ αἰσθητὰ τῶν τῆς ἐκτάσεώς τε ϗ διαμονῆς μερῶν, ἀνέτατα ϗ διαμένοντα ȣ̓κ εἰσίν· ἐπεὶ γὰρ ἡ τῆς διαδοχῆς ἰδέα ἐξ ἀνάγκης τῇ τῆς διαμονῆς ἐγχωρεῖ, τὸ τῆς διαμονῆς μέρος τȣτὶ, ὅπερ ἁπλῇ ἀντιλήψει ἀνταποκρίνεται, ϗ ἐν ᾧ διαδοχῆς τινος ȣ̓κ ἀντιλαμβȣνόμεθα, διαμονή τις ἥκιςα πέφυκε· ϗ τὸ τῆς ὕλης ἄτομον, ȣ̓̃ τὰ μέρη διακρίνειν αἱ ἐν ἡμῖν αἰσθήσεις ȣ̓κ εἰώθασιν, ἐκτατὸν, πρὸς αἴσθησιν, ȣ̓κ ἔςι· πόνον ȣ̓τὸν τυχόντα κατεθέμην, ἵνα τὴν ἀφῃρημένην ἔκτασιν τῆς αἰσθητῆς διακρίνοιμι· ταυτῷ γὰρ προφερόμεναι ὀνόματι, ὡς λίαν διαφερȣ́σας τὰς ἐκδοχὰς ἀσπάζονται· τῆς ἐκτάσεως, ἀληθὴς μὲν αἰσθητὴ, ἡ ἁπτή τε ϗ τοῖς αἰσθήμασι βεβηκεῖα, ἅπερ αἱ τῶν σωμάτων ἐπιφάνειαι, ὅτας ἡ ἁφὴ διέρχεται, ἡμῖν ἐνδιεγείρȣσιν· ὁρατὴ δὲ, εἰ ἀπολύτως βȣ́λει ἀποδέχεσθαί τινα, τῶν αἰσθημάτων εὐθές τι μὲν ȣ̓̃, ἐπαγωγὴ δέ τις, τῇ τȣ́των ἀνταποκρίσει ἑδραζομένη, ϗ ἣ περὶ τῆς ἁπτῆς κρίνομεν, μετά τινα τῶν ὑπ' ὄψιν ἡμῖν φαινομένων· τέλος δ' ἀφῃρημένη, ἡ τῶν τῆς ὕλης διαςάσεων ἰδέα, ὅσαι μεταφυσικῇ ἀφαιρέσει ἁπασῶν τῶν τȣ̃ σώματος ἰδιοτήτων ϗ ἑπομένως ἁπάσης ὡριςμένης ἰδέας χωρίζονται· ἄλλως γὰρ ἀτεχνῶς ȣ̓̃

ἢ πρὸς

ἢ πρὸς τῶν αἰσθητῶν ἰδιοτήτων, ὡρισμένην τυγχάνειν τὴν ἔκτασιν, ἀδύνατον· τῶν ἄρ᾽ ἐκδοχῶν τῶν δ᾽ ἴδιον ὅρον ἔχειν ἑκάστην, πρὸς σαφεστέραν αὐτῆς ἀνάπτυξιν, εὐχῆς ἔργον· ἀλλ᾽ εἴτ᾽ ἐπινεύοντι, εἴτε καὶ παραιτουμένῳ τὴν τῶν σημείων αἴρειν σύγχυσιν, ἀποκλείειν γεμὴν τῶν ἰδεῶν τούτων τὴν ἀσάφειαν, ὠφελιμώτατον, ὅπερ, ἐφ᾽ ᾧ γίνεσθαι, δέον, ὁσάκις περὶ ἐκτάσεως ὁ λόγος, τὴν ἀκριβῆ σημασίαν, ἣν ἂν τῇ λέξει ταύτῃ ἀπονέμοιμεν, ὁρίζειν· μόνῃ γὰρ τῇδε τῇ προσοχῇ γένοιντ᾽ ἂν ἐκποδῶν, ἢ αἴροιντο, αἱ τῶν λογομαχιῶν, ὅσαι τοὺς φιλοσόφους ἀεὶ ποτ᾽ ἀλλήλων διαζευγνύουσιν, ἄπειροι.

ζητεῖται, ἐπ᾽ ἄπειρον διαιρετὴ, ἡ ἔκτασις, ἀλλὰ πότερον, περὶ φαινομένης, ἢ ἀφῃρημένης; εἰ περὶ ἐκείνης, δῆλον, ὡς οὖσα φυσικὴ, ἣν αἰσθήσει γινώσκομεν, καὶ τῇ ὕλῃ μᾶλλον ἁρμόζουσα, διαιρετὴ ἐπ᾽ ἄπειρον οὐ δοκεῖ· μετὰ γὰρ τῶν διαιρέσεων τινας, τὸ ταύτης φαινόμενον αἴρεται, ἐς τὸ μηδὲν, ὡς πρὸς τὰ ἡμέτερα τῶν ὀργάνων, ἀπολῆγον· εἰ δὲ περὶ ταύτης, τῇ τῶν ἡμετέρων ἰδεῶν κατασκευῇ χωροῦντος τοῦ πρὸς ἀρέσκειαν, τὴν τοῦ ζητήματος, περὶ τῆς εἰς ἄπειρον διαιρέσεως, λῦσιν τοῦ περὶ ταύτην ὁρισμοῦ, φημὶ δεῖν ἐξάγειν· εἴπερ ἐκτατὸν ὑπάρχειν βούλει ἅπαν νοητὸν μέρος τῆς ἐκτάσεως, ἡ ἐπ᾽ ἄπειρον διαίρεσις χώραν ἕξει· τὰ γὰρ νοερῶς διαιρούμενα μέρη, δυνατὸν ἀπείρῳ ἀριθμητικῇ προόδῳ παρίστασθαι, ἅπερ οὐδὲν ἧττον, ἢ καὶ οἱ ταύτης ἀριθμοὶ, πέρατα οὐχ ἕξουσι, καὶ ἄπειρα κατὰ ταυτὰ, εἴτ᾽ οὖν ὁ τῆς διαιρέσεως ἔσχατος ὅρος οὐδέποτ᾽ ὁρισθήσεται· τῶν δὲ τῆς ἀφῃρημε-

με-

μένης ἐκτάσεως ὁρισμῶν τις ἄλλος ἐφ' ἑτέραν ἂν ἀγγῃ λῦσιν, ἢ τὸ τῆς περὶ τὴν ἔκτασιν πραγματικῆς ἀπειρίας, ζήτημα κατὰ ταυτὰ ἂν λυθείη· ἀλλ' αὕτη, ὡς πρὸς τὴν αἰσθητὴ πραγματικῦ τινος ἤρτηται μέτρυ, ὃ τῶν ἀμηχάνων λαβεῖν· ἡ γὰρ ἀφῃρημένη ἐκ ἄλλως, ἢ ἄπειρος θεωρεῖται, ἢ οἷα τῶν τῆς ὕλης κατηγορουμένων πάντων κεχωρισμένη, ὡς ἐδὲν ὅλως εἰς ἑαυτὴν, καθ' ὃ ἤδη δεδήλωται, ἔχεσα, ὃ ταύτην περατῦν, ἢ ὁρίζειν, δύναιτο.

Ζητεῖται ἔτι, συνίςησι τὴν τῆς ὕλης ἐσίαν ἡ ἔκτασις; ἀπαντῶ πρῶτον, πολυσήμε ὄντος τῦ τῆς ἐσίας ὀνόματος, τὴν τέτε σημασίαν, πρὶν ἢ χρῆσθαι, ὁριςέον· ἐπαναγομένε μὲν τῦ ζητήματος ἐπὶ τόδε, κατηγορέμενον ἐδὲ τῆς ὕλης, ὡς ἅπαντα τὰ ταύτης λοιπὰ τῶν κατηγορυμένων ὀρθῷ λόγῳ τέτε πηγάζειν; δῆλον, ὡς ὃ πώσποτ' ἂν τῇ σημασίᾳ ταύτῃ ληφθῇ ἡ ἔκτασις, τὴν τῆς ὕλης ἐσίαν ἥκιςα συνίςησι· τὸ γὰρ ἀδιάβατον, ἢ τῶν δυνάμεων ἄλλην τινα, ἧς τοῖς τῶν σωμάτων ἐγνωσμένοις πᾶσι δεῖ, ταύτης ἐξάγειν, ἀμήχανον· ἐπαναγομένε δ' ἐπὶ τὸ, δυνατὸν ἀνέκτατον ὑπάρχειν τὴν ὕλην; ἡ ἰδέα, ἣν ταύτῃ ἀπονέμομεν, ὁσάκις ἂν ἐξ ἀμαθίας, ἢ λήθης, τῶν ταύτης κατηγορεμένων ὅ, τιῦν παραλείπωμεν, ἀτελής· ἀλλ' ἐ μᾶλλον ἐσιώδης αὐτῇ ἡ ἔκτασις, ἢ αἱ ταύτης λοιπαὶ τῶν ποιοτήτων, αἵπερ ἡ καὶ αὕτη, ἵν' ἡμῖν ἐνεργῶσι, ξυνθηκῶν τινων ἤρτηνται· τεθεῖσαι δὴ αὗται, τῇ αὐτῇ ἀνάγκῃ ἐνεργῦσιν, ᾗ κἀκείνη, καὶ πᾶσαι, μηδὲ ταύτης ἐξαιρεμένης, ἀλλήλων ἐκ ἂν ἄλλῳ τῳ διαφέροιεν, ἢ ταῖς τῶν θλίψεων διαφόροις, αἷς τὰ ἐν ἡμῖν διατιθέασιν ὄργανα· τοῖς

ὅλοις

ὅλοις ἤδη ἀμηχανῶ, ὅπως οἱ τῶν μεταφυσικευομένων κορυφαῖοι σφᾶς αὐτὰς πείσαντες, πείθειν ϗ ἡμᾶς ἐπιχειρῆσιν, ὡς τῶν ποιοτήτων τοιαύτη πρώτη ἡ ἔκτασις, οἷα πρὸς ἀκρίβειαν ἐφεδρεύει τοῖς σώμασι, ϗ ὑπὸ εἶδος ταυτὸ, ῷ ϗ ταῖς ἐν ἡμῖν ἀντιλήψεσι, τῶν δευτέρων, αἵγε, κατ᾽ αὐτὰς, ὐδεμίαν ἔχυσι τὴν ὁμοιότητα ταῖς ἐν ἡμῖν ἐνδιεγειρομέναις τῶν ἀντιλήψεων, τύτω διαφέρυσα· ἀλλ᾽ εἰ μὲν περὶ αἰσθητῆς ἤτοι διαλέγονται, ὅτυ χάριν ἁπάσας τὰς ἄλλας ςεροῦσι τῦ πρώτας; εἰ δὲ περὶ ἀφῃρημένης, τί τὰς ἐν ἡμῖν ἰδέας ἐπὶ τὴν ὕλην μετάγειν ἐπείγονται, οἱ διαγινώσκειν ὁμοιότητά τινα ταύτης τοῖς ἐν ἡμῖν αἰσθήμασιν, ὐ μετρίας πειρῶνται τῆς εναντότητος; ἀλλὰ τὸ τῆς τοιαύτης ἀντιφάσεως αἴτιον ἐντεῦθεν, ἔχοντος τῦ τῆς αἰσθητῆς ἐκτάσεως φαινομένυ, πρὸς μὲν τὴν ἀφὴν, ᾗ πασῶν τῶν αἰσθήσεων κρεῖττον ἡ τῶν ὄντων πραγματικότης γινώσκεται, ἀμεσόν τινα σχέσιν, πρὸς δὲ τὴν ὅρασιν, ᾗ μᾶλλον, ἢ καθ᾽ ἁπάσας τὰς ἄλλας, ἀσχολλεῖται, αἰσθάνεται, τὰ τῶν ἀντικειμένων ἐκμαγεῖα χρονιώτερον διατηρεῖ, ϗ τῇ φαντασίᾳ τὸ πλέον χαρίζεται, πλαγίαν, τὴν ὕλην ἐκείνης ἄνευ ταῖς ἐσωτερικαῖς ϗ ἐξωτερικαῖς ἡμῶν αἰσθήσεσιν ἀεὶ παρύσης, ῥᾷςα παριςᾶν, ἀμήχανον· ταύτῃ κἀντεῦθεν, οἷα πρώτην καὶ ἀρχοειδῆ, τῶν κατηγορυμένων ὐσιῶδες, μᾶλλον δὲ, οἷα αὐτὴν τὴν τῶν σωμάτων ὐσίαν, αὐτὴν θεωρῦντες, τὸ τῆς φύσεως ἑνιαῖον τῆς τῶν περὶ τὴν ὕλην μερῶν ἐκτάσεώς τε ϗ συνεχείας ἀρτῶσι, τὴν ἀρχὴν ἐν τῇ ἐνεργείᾳ, ἣν πρὸς ἄλληλά τε κἀπὶ τὰ ἐν ἡμῖν ὄργανα γυμνάζει τὰ

με-

μέρη ταῦτα, χρεὼν γινώσκειν, τὴν τῆς ὕλης ἀληθῆ οὐσίαν, ὡς πρὸς ἡμᾶς, συνιστῶσῃ.

Τέλος δ', ἐπεὶ θαῤῥεῖν χρὴ ἐν ἅπαντι, ταύτῃ καὶ ξύμφημι, ὡς τὰ ζητήματα, ὑπὲρ ὧν ὧδεί μοι ὁ λόγος, οὐ τοσαύτης ὠφελείας, ὅσων ἀκανθῶν ἀνάπλεω· κἀπεὶ τῆς μὲν ἐφ' ὁμοίᾳ ὕλῃ ἀπάτης τὸ κοινὸν ἐλάχιστα μετέχει, ἡ δὲ τῶν πραγματικῶν ἐπιστημῶν, ὅσαι παρατηρήσει τὰς τῶν ὄντων ἰδιότητας ἀνακαλύπτουσι, καὶ τὴν τούτων χρῆσιν ξυντιθέμεναι, πολλαπλασιάζουσι ταύτας, ἐπίδοσις μᾶλλον ὠφελεῖ, ἢ κατὰ τὴν τῶν θεωρητικῶν, αἵγ' ἐν ψιλαῖς ἰδέαις ὁρίζονται, ταύτῃ καὶ ὠφέλιμον, μᾶλλον δ' ἀναγκαῖον, ἀλλήλοις τὰ ὄντα παραβάλλοντας, τὰς τούτων σχέσεις καθολικεύειν· χρῆσθ' ἀλλ' οὐν ξὺν ὠφελείᾳ καθολικευομέναις ταύταις, τὰ τῶν ἀντικειμένων πραγματικὰ, ἐφ' ἃ αὗται ἀναφέρονται, μηδέποτε τῆς αὐτῶν ὁράσεως ἀφιστῶντας, ὅρον, ἐφ' ὃν ἱστᾶν χρὴ τὴν ἀφαίρεσιν, πήγειν, οὐδὲν ἧττον ἐπάναγκες· τούτῳ δέ μοι δοκῶ πελάζειν, ὁσάκις ἐπὶ ταύτας, ἀορίστους, καὶ τῶν πραγμάτων. (ὅσα τὴν αὐτῶν ἀνωφελῆ βεβαιότητα διατηρῇ ἐν ἅπαντι ἄλλῳ κόσμῳ, τῶν νόμων πάντῃ διαφόροις διοικημένῳ, μηδὲν ἡμῖν ξυμφέροντα, ἐφ' ᾧ τὴν αὐτῶν δύναμιν καὶ τὸ εὖ εἶναι ἐν τῷ τῇδε βίῳ αὔξομεν), ἀφισταμένας ἀληθείας παραγίνομαι.

## Περὶ διαστήματος μεταφυσικοῦ.

Τῶν καὶ πάνυ περιπύστων ὂν, τὸ περὶ φύσεως τοῦ διαστήματος ζήτημα, τούς τε πάλαι, καὶ

καθ'

καθ' ἡμᾶς φιλοσοφοῦντας ἀλλήλων διέστησε· πέφυκε δὲ, κατὰ τοὺς τούτων πλείους, τὸ μᾶλλον οὐσιῶδες διὰ τὴν, ἥν γε ταῖς τῆς μεταφυσικῆς ὠφελιμωτέραις τῶν ἀληθειῶν παρέχεται ἐπίῤῥοιαν.

Ὁριζόντων γε μὴν τοῦτο διαφόρως καὶ πάντη ἀντικειμένως, ὁ μὲν, ὡς ἄνευ σωμάτων, οὐδὲν, οὐδὲ πραγματικόν τι ὂν τοῦτο εἰς ἑαυτὸ, ἀλλὰ διανοίας ἀφαίρεσις, ἰδέα ὄντος, οὐδὲν ἀλλ' οὖσα, ἢ ἡ τῶν ὄντων τάξις, καθ' ἣν ταῦτα συνυπάρχει, καὶ ἀσώματον οὐδὲν· οἱ δὲ, τοὐναντίον, ἀπολυτόν τι ὂν, πραγματικὸν, καὶ τῶν σωμάτων, ὅσα γ' ἐν τούτῳ, διακεκριμένον, καὶ ἀψηλάφητος, διαβατὴ μὴ στερεὰ ἔκτασις, τὸ καθόλου δοχεῖον, ᾧ τὰ τούτῳ ἐμβαλλόμενα τῶν σωμάτων χωρεῖ, καὶ ἐν βραχέσιν, εἶδος αὔλου ῥευστοῦ, ἐπ' ἄπειρον ἐκτεινομένου, ἐν ᾧ ταῦτα περινήχεται.

Τῆς περὶ τὸ τῆς ὕλης διακεκριμένον διάστημα δόξης προέστησαν, τῶν μὲν πάλαι, ὁ Ἐπίκουρος, ὁ Δημόκριτος, καὶ ὁ Λεύκιππος, οἵπερ, ὡς ἀσώματον, ἀψηλάφητον, ἀνενέργητον, ἀπαθὲς, ὄν τι, τοῦτ' ἐφρόνουν, τῶν δὲ καθ' ἡμᾶς, Γασσένδος ταύτην ἀνεκαίνισεν· ὁ δὲ περιβόητος Λώκιος, ἐν τῷ περὶ διανοίας ἀνθρωπίνου, τὸ ψιλὸν διάστημα τῶν σωμάτων, ὅσα τοῦτο πληροῖ, οὐ διακρίνει, εἰμὴ τῇ διαβατότητι.

Κεῖλλος, ἐν τῇ περὶ ἀληθοῦς φυσικῆς εἰσαγωγῇ, καὶ ἅπαντες οἱ περὶ Λώκιον, τῆς δόξης ταύτης προέστησαν· ὁ αὐτὸς Κεῖλλος θεωρήματα, οἷς ἀποδεικνύειν σπεύδει, ὡς ἁπάσῃ ὕλῃ ἐ-

λά-

λάχιςα διαςήματα, εἴτ᾽ ἐν ἀπολύτως κενοὶ πόροι, ἐγκατεσπάρκαται, ἐν δὲ τοῖς σώμασι μεῖζον τὸ κενὸν, ἢ τὸ ςερεὸν τῆς ὕλης, ἐξέδοτο· οἱ τὰ φυσικὰ τήμερον περιτ'ότεροι διϊσχυρίζονται, ὡς ἡ τῦ παντὸς ςερεὰ ὕλη ἐπ᾽ ἐλάχιςόν τι ἐπανήκει.

Τὸ κατὰ κύριον Νεύβωνα κῦρος τὴν περὶ τ᾽ ἀπολύτε κενῦ πλειόνων μαθηματικῶν δόξαν συνέχεε· φρονεῖ γὰρ ὁ μέγας ἦτος ἀνὴρ, κατὰ Λώκιον, ὡς τὴν τῆς ὕλης διμιεργίαν δυνατὸν ἑρμηνεύειν, πλείω τῶν τῦ διαςήματος μερῶν ἀδιάβατα, ὑποτιθεμένες, πεποιῆσθαι τῷ θείῳ· ἐκ γὰρ τῦ καθόλε σχολεῖε, ὃ πρὸς τὰ τῶν αὐτῦ ἀρχῶν τέλη, πρόδηλον, ὡς τὴν τῦ θεῦ ἀμετρίαν, τὸ διάςημα ὑπάρχειν, ἐδόξαζεν· ἐν δὲ τῇ καθ᾽ αὐτὸν ὀπτικῇ τὸ τῦ θεῦ αἰσθητήριον, εἴτ᾽ ἐν, ὡς διὰ τέτε πανταχῦ παρὸν τὸ θεῖον, αὐτὸ ὠνόμαζεν.

Ἵνα τήν τε τῦ Νεύθωνος ϗ τὴν αὐτῦ περὶ τ᾽ ἀπολύτε διαςήματος δόξαν, κατὰ τῦ κυρίε Λεϊβνιτίε, ὃς μηδὲν ἀλλ᾽ ὑπάρχειν τὸ διάςημα, ἢ τὴν τῶν συνυπαρχόντων σωμάτων τάξιν, κρατύνῃ ὁ κύριος Λώκιος, ἐ τὰ τυχόντα ἠγωνίετο· τὰς τῶν ἀποδείξεων ἀκριβεςέρας, αἷς οἱ τῶν δυεῖν δοξῶν τέτων προςάται ἐχρήσαντο, ϗ ἔτι τὰς, ἅς γε πρὸς ἀλλήλους ἀντιςρόφως ποιῦνται, ἀνθιςάσεις, ἡμῖν ὧδε προςιθέναι ἔδοξεν.

Οἱ

Οἱ τ' ἀπολύτȣ ϗ πραγματικȣ̃ διαςήματος προςάται, ἅπασι τοῖς, ὅσαπερ αὐτοῖς ἡ φαντασία πορίζεται, ἐπιχειρήμασι τὴν αὐτῶν ἰδέαν ἐδράζȣσι πρῶτον· τηνάλλως ὑμεῖς, φασὶν ȣ̓̃τοι, ἅπασαν τήντε ὕλην ϗ τὰ σώματα ἐξον τȣ̃τε, τὸν τόπον. ὃν αὕτη ϗ ταῦτα καταλαμβάνει, ἔϑ' ὑφίςαϑαι εἰδότες, ὡς τȣ́τῳ αὐτὰ ταῦτα, τὰς αὐτὰς διαςάσεις τε ϗ ἰδιότητας τηρȣ̃ντι, δυνατὸν ἐντίϑεσϑαι· ἐπὶ τὰ τῆς ὕλης ἐπανιόντες πέρατα, ἐπέκεινα ταύτης ἄπειρόν τι εἴσεσϑε διάςημα, ἐν ᾧ δύναιτ' ἂν χώραν τὸ πᾶν μεταβάλλειν· τὸ διάςημα, ὃ τῶν σωμάτων τινὶ καταλαμβάνεται, ȣ̓χ ἡ τȣ́τȣ ἀπολύτως ἀνεξάρτος ἔκτασις, ἀλλ' αὐτὴ ἡ διάςασις, ᾗ τὸ ἐκτατὸν αὐτὸ σῶμα ἐνυπάρχει· ȣ̓ γάρ ἡ τινος, ἢ ἡ πλειόνων, ἢ ἡ πεπερασμένȣ τȣ τῶν ὄντων, διάϑεσις, τȣ̃το, οἷα ἀφ' ἑνὸς ἐφ' ἕτερόν τι τῶν ὑποκειμένων μὴ μεταβαῖνον, ȣ̓δὲ τὰ τῶν διαςημάτων πεπερασμένα, αἱ τῶν πεπερασμένων ὑποςάσεων ἰδιότητες, ὡς μηδὲν ἄλλ' ὄντα ταῦτα, ἢ τὰ τȣ̃ ἀπείρȣ διαςήματος, ἐν ᾧ αἱ τῶν ὑποςάσεων πεπερασμέναι αἵδε ὑφεςήκασι, μέρη· εἶτα δὲ τὰς, ἅςγε περὶ τῶν ἐντ' ἀπολύτως πλήρει κινȣμένων σωμάτων ἔχοιεν, δυσκολίας προορῶντες οἱ αὐτοὶ ȣ̓̃τοι σοφοὶ, τρεῖς κατ' ἐκείνων τὰς τῶν ἀνϑιςάσεων ἀρχοειδεῖς προβάλλονται, τὴν μὲν πρώτην, ἐκ τ' ἀδυνάτȣ τῆς ἐν τῷ πλήρει κινήσεως, τὴν δὲ, τȣ̃ ἐν τοῖς σώμασι διαφόρȣ βάρȣς, τὴν τρίτην, τῆς ἀνϑιςάσεως, ᾗ τὰ ἐν τῷ πλήρει κινȣ́μενα τὴν αὐτῶν κίνησιν ἐν βραχεῖ χρόνῳ δέον ἀπολλύειν· ἀλλ' ἀνηκȣ́σης τῆς τῶν δυσκολιῶν τȣ́των ἐξετάσεως,

τῷ

τῷ τε πλήρει ϗ κενῷ, αἱ τῶν προασπίσεων τε ϗ ἐφόδων λοιπαὶ, αἷς οἱ τ᾽ ἀπολύτε διαςήματος προϊςάμενοι χρῶνται, ἐν τοῖς ὧδ᾽ ἀμέσως ἑπομένοις ἐκτίθενται, τῆς Κλαρκίε πρὸς Λεϊβνίτιον πέμπτης ἀπαντήσεως ἐξαγόμεναι· δοκεῖ δ᾽ ἐν ταύτῃ ὁ σοφὸς ἄγλος ὑπὸ τὰς ἀυτε σημαίας ἐκκενῶσαι πάσας τὰς ἀυτε δυνάμεις.

„ Ο῾ τῆς συγχίσεώς τε ϗ ἀντιλογίας, ἃς „ πρὸς ἀλήλες περὶ φύσεως τε διαςήματος εὑ„ ρίσκεσιν οἱ πλείες τῶν φιλοσοφέντων, ἀπα„ χρῶν λόγος, ἔτος, φησὶν ὁ κύριος Κλάρκιος, „ τάγε μοι δοκεντα, τυγχάνει· φύσει μὴ „ προσέχοντες οἱ ἄνθρωποι, τῆς ἀναγκαιοτά„ της διακρίσεως, ἧς ἄνευ σαφῶς συλλογίζεσ„ θαι, ἀμήχανον, ἀμελεσι· βέλομαι λέγειν, „ ὡς διακρίνειν, καίπερ ἀεὶ τἔτο ποιεῖν ὤφειλον, „ τὲς ἀφῃρημένες ὅρες τῶν συγκεκριμένων, οἷοί„ περ, ἡ ἀμετρία ϗ τ᾽ ἄμετρον, ἐδένα λόγον „ ποιενται· ἔτω κατὰ ταυτὰ ϗ τῶν πραγμά„ των διαγινώσκειν τὰς ἰδέας, οἷαίπερ, ἡ τῆς, „ ἣν ἔχομεν ἐν τῷ νῷ ἀμετρίας ϗ ἡ τ᾽ ἀμέτρε, „ ὃ πράγματι ἐκτὸς ἡμῶν ὑφέςηκεν, ἐκ ἐπι„ μέλονται· ἐγῷμαι δ᾽ ἁπάσας τὰς, ἃς ἔχο„ μεν, τῆς τε διαςήματος φύσεως θιγέσας, ἢ „ ἃς δυνατὸν κατασκευάζειν, ἐννοίας ἐπανάγεσ„ θαι ἐπὶ ταυτασί· τὸ διάςημα, ἢ ἐςὶ ψι„ λόν τι μηδὲν, ἢ ἐκ ἄλλο, ὅ, τι μὴ ἁπλῆ „ ἰδέα, ἢ ἁπλῆ σχέσις του πρὸς ἄλλο τι, „ ἢ ὑποςάσεώς τινος ὕλη, ἢ ταύτης ἰδιό„ της.

„ Σκ.

„ Σαφὲς, ὡς ἐ ψιλὸν μηδὲν· τὸ γὰρ μη-
„ δὲν, ποσότητα, διαςάσεις, ἰδιότητάς τινας
„ ἐκ ἔχει· ἡ ἀρχὴ ἤδε τὸ παντοίας ἐπιςήμης
„ πρῶτον θεμέλιον, ὡς τὴν διαφορὰν, ἢ με-
„ ταξὺ τοῦ ὑφεςῶτος, ἢ μὴ, παρεχομένη
„ καθορᾶν.

„ Δῆλον ὡσαύτως, ὡς ἐδὲ ψιλὴ ἰδέα·
„ ἐ γὰρ, εἰ ἐ ἰδέαν αὐτοῦ κατασκευάζειν,
„ ὑπὲρ τὸ πεπερασμένον, ἀμήχανον, λόγῳ
„ μέντοι διδασκόμεθα, ὡς μὴ πράγματι ἄ-
„ πειρον ὑπάρχειν αὐτὸ τἔτο, ἀντίφασις.

„ Ο'υχ ἧττον βέβαιον, ὡς ἁπλῆ σχέσις
„ τἔ πρὸς ἄλλοτι, τῆς πρὸς ἄλληλα θέσεως,
„ ἢ τάξεως τέτων προκύπτεσα, αὐτὸ ἐκ ἐςι·
„ ποσότης γὰρ τἔτο, ὃ περὶ τῶν σχέσεων,
„ οἷαίπερ, ἦτε θέσις ἐ ἡ τάξις, λέγειν ἀδύ-
„ νατον· προςίθημι δ᾽ ὡς, εἴπερ ὁ ὑλικὸς ἔτος
„ κόσμος, ἐςιν, ἢ δυνατὸν ὑπάρχειν, πεπε-
„ ρασμένος, ἀνάγκη, πραγματικὸν, ἢ δυνα-
„ τὸν, ὑπάρχειν διάςημά τι τοῦ παντὸς ἐπέ-
„ κεινα.

„ Προδηλότατον ἔτι, ὡς ἐδ᾽ ὕλη· εἰ γὰρ,
„ ἦν ἂν ἀναγκαίως ἄπειρος ἤδε, κἐδ᾽ ἂν ἦν
„ διάςημά τι, τῇ κινήσει μὴ ἀντικείμενον, ὃ τῇ
„ πείρᾳ ἀντιβαίνει.

„ Ο'υχ ἧττον ὁμολογἐμενον, ὡς ἐτ᾽ εἶδος
„ ὑποςάσεως· τὸ γὰρ ἄπειρον διάςημα, ἔςιν ἡ
„ ἀμετρία, ἐ ἐτ᾽ ἄμετρον, ὅτ᾽ ἄπειρός τις ὑπό-
„ ςασις, ἔςιτ᾽ ἄμετρον, κἐχὶ ἡ ἀμετρία, ὡς

„ ἐδ᾽

„ ȣ̓δ' ἡ ὑπόϛασις, διαμονή· ἡ γὰρ ἄπειρος
„ διαμονὴ, ἔϛιν ἡ αἰωνιότης, κȣ̓χὶ, τὸ ὂν τὸ
„ αἰώνιον· ἀλλ' ὑπόϛασίς τις, ἧς ἄπειρος ἡ δια-
„ μονὴ, ἔϛιν αἰώνιόν τι ὂν, κȣ̓χὶ ἡ αἰωνιό-
„ της.

„ Ἔπειτ' ἄρ' ἐκ τῶν εἰρημένων ἀναγκαίως,
„ ὡς τὸν αὐτὸν τρόπον ἰδιότης τις τὸ διάϛημα,
„ ὂν ϗ ἡ διαμονὴ· ἡ ἀμετρία, ἰδιότης τ' ἀμέ-
„ τρȣ ὄντος, ὡς ἡ αἰωνιότης, τȣ̃ αἰωνίȣ.

„ Τὸ θεῖον ἐν διαϛήματι, ἢ χρόνῳ, ȣ̓χ
„ ὑφέϛηκεν· ἡ γὰρ αὐτȣ̃ ὕπαρξις, αἴτιον τȣ́-
„ των, ....., ὡς ταύτης ἀναγκαίων ἀκολου-
„ θειῶν, κȣ̓χὶ τȣ́τȣ διακεκριμένων ὄντων, ἐν οἷς
„ αὐτὸ ὑφέϛηκε.

Τὸ διάϛημα, φασὶ, τȣ̓ναντίον, οἱ περὶ Λεϊβνίτιον, πρᾶγμά τι, ψιλῶς σχετικὸν, ὡς ὁ χρόνος, τάξις τῶν συνυπαρχόντων ὂν, ἢ καὶ ὥσπερ τάξις τῶν διαδοχῶν· εἰ γὰρ ἰδιότης, εἴτ' ȣ̓̃ν κατηγορημένον, ὑποϛάσεώς τινος ἰδιότητα ἐχρῆν ὑπάρχειν· ἀλλὰ τὸ πεπερασμένον κενὸν διάϛημα, ὃ μεταξὺ δυοῖν σωμάτων ὑποτίθεται, ἧςτινος ὑποϛάσεως ἰδιότης, ἢ διάθεσις; φαῖεν ἂν, ὡς τ' ἄπειρον διάϛημα, ἔϛιν ἡ ἀμετρία; ἀλλ' ἤδη τὸ πεπερασμένον διάϛημα, εἴτ' ȣ̓̃ν ἡ μετρητότης, ἤτοι ἡ πεπερασμένη ἔκτασις, ταύτῃ ἀντικειμένη· διάθεσιν δ' ἑκάϛȣ τινος τὴν ἔκτασιν δέον ὑπάρχειν· ἀλλ' εἰ τὸ διάϛημα, κενὸν, κατηγορημένον ἄνευ ὑποκειμένȣ ἔϛαι· ταῦτά τοι καὶ ἰδιότητά τινα τȣ̃το τιθέμενοι, ἐς τὴν δόξαν, ἣ τῶν πραγμάτων τάξιν τινὰ ποιεῖ, κȣ̓χὶ ἐς ἀπό-

λυτόν τι, ἐμπίπτομεν· εἴγε ἀπόλυτός τις πραγματικότης αὐτὸ, τοῦταις ὑποστάσεσιν ἀντικειμένην ἰδιότητα ὑπάρχειν ἤδη πολλοῦ γε καὶ δέον, καὶ μᾶλλον ὑφιστάμενον, ἤπερ αὗται, ἔσται, καὶ ὀλλύειν μὲν, ἢ ἐς τὸ μηδὲν αὐτὸ μεταβάλλειν, τὸ Θεῖον οὐκ ἂν δύναιτο· ὡς οὐχ ὅτι τοῖς πᾶσιν ἄμετρον, ἀλλὰ καὶ ἄτρεπτον, καὶ ἔτι, καθ᾽ ἕκαστον τῶν αὐτοῦ μερῶν αἰώνιον, καὶ παρὰ τὸ Θεῖον, ἄπειρά τιν᾽ ἐντεῦθεν τὰ αἰώνια. ἅπαντα γὰρ, τῇ ὑποθέσει ταύτῃ, τὰ τοῦ Θεοῦ κατηγορούμενα τῷ διαστήματι ἀνήκει· εἰ γὰρ ἦν δυνατὸν τοῦτόγε, ἦν ἂν πράγματι ἄπειρον, ἄτρεπτον, ἄκτιστον, ἀναγκαῖον, ἀσώματον, πανταχοῦ παρόν· ἐντεῦθεν ἀρχόμενος ὁ ῥαψῳδὸν, γεωμετρικῶς ἀποδεικνύειν ἔσπευσεν, ὡς κατηγορούμενον τοῦ Θεοῦ αὐτὸ, τὴν τοῦτ᾽ ἄπειρόν τε καὶ ἀπεριόριστον οὐσίαν ἐκτιθέμενον.

Ἁπασῶν τῶν κατὰ τῆς τοῦ διαστήματος πραγματικότητος ἀποδείξεων, ἡ γενναιοτέρα τυγχάνει ἥδε· εἰ ἀπόλυτόν τι ὂν ὑπῆρχε τοῦτο, εἴχομεν ἄν τι, οὗ τὸν ἀποχρῶντα λόγον ἔχειν, ἦν ἂν τῶν ἀδυνάτων· ἀκούσωμεν τοῦ Λεϊβνιτίου ἐν τῇ κατὰ Λωκίου τρίτῃ αὐτοῦ ἐπιστολῇ.

„ Ἀπολύτως μονοειδές τι τὸ διάστημα, καὶ „ παρὰ τὰ τούτῳ ἐνόντα, τῶν αὐτοῦ σημείων θάτερον θατέρου ἀπολύτως οὐδὲν ὅλως διαφέρει· „ ἕπεται δ᾽ ἐκ τούτου, (τεθέντος, ὡς αὐτὸ ἐν „ ἑαυτῷ ἄλλο τι, ἢ ἡ τῶν πρὸς ἄλληλα σωμάτων τάξις), ὡς τὸν λόγον, δι᾽ ὃν τὸ Θεῖον, „ τηρούντων πρὸς ἄλληλα τὰς αὐτὰς θέσεις τούτων, οὕτως ἐν τούτῳ ταῦτα, καὶ οὐκ ἄλλως, τέ-

„ θει-

„ θεικε, ϗ δι᾽ ὃν ἐχ ἅπαντ᾽ ἀντιϛρόφως, κατ᾽
„ ἀμοιβὴν, φέρε, τῆς ἕω ϗ δύσεως, εἴληπται,
„ ἀδύνατον ἔχειν· ἀλλ᾽ εἰ μηδὲν ἄλλο τι τȣτο,
„ ἢ ἡ τάξις αὐτὴ, εἴτ᾽ ȣ̃ν ἡ σχέσις, καὶ τῶν
„ σωμάτων ἄνευ, πάντῃ ȣδὲν ἀλλ᾽, ἢ ἡ τοῦ
„ ταῦτ᾽ ἐντίθεσθαι τȣ́τῳ δυνατότης, τῶν δὲ
„ δυεῖν τȣ́των κατασάσεων, ἡ μὲν τοιαύτη, οἵα
„ περ ἐςὶν, ἡδ᾽ ἀνάπαλιν ληφθεῖσα, ἀλλήλων
„ ȣ̓κ ἂν διέφερον· ἡ ἄρα τȣ́των διαφορὰ μόνη
„ τῇ περὶ τὴν τȣ̃ διαςήματος εἰς ἑαυτὸ πραγ-
„ ματικότητα χειμερικῇ ὑποθέσει βέβηκεν· ὅτι
„ πρὸς τῆς ἀληθείας αὐτῆς θατέρα τῇ ἑτέρα
„ ἐπ᾽ ἀκριβὲς ταὐτὴ, ὡς ἀπολύτως ἀλλήλων
„ ἀδιάκριτοι· κτ.

Τῷ συλλογισμῷ τῷδ᾽ ἀπαντήσαντος Κλαρ-κίȣ, ὡς ὁ τῆς τȣ̃ παντὸς θέσεως ἐν τῷ διαςήματι ἀποχρῶν λόγος, μόνη ἡ τȣ̃ θεȣ̃ ἁπλῆ θέλησις, ταύτῃ μὴ ςέργειν ἐκεῖνον, κατὰ τοῦ-τȣ κυρίως ȣ̓δὲν ἐναντίον ἀποδείκνυσιν.

Κατασκευαζομένης ȣ̃τω τῆς τȣ̃ διαςήματος ἰδέας τοῖς περὶ Λεϊβνίτιον, δυνατὸν διὰ τῆς ἐρευ-νης ταύτης, κατ᾽ αὐτȣ̀ς, τῶν ἀπατηλῶν φαινο-μένων, ὅσα τῇ αὐτȣ̃ φύσει ξυμβαίνει, τὴν ἀ-πάτην ἀνακαλύπτειν· δύω τινα, ἢ ἀλλήλων δι-αφέροντα, σκεπτόμενοι, ϗ τȣ́των θάτερον θα-τέρȣ διακρίνοντες, τῷ αὐτῶν νοῒ θάτερον, παρὰ θάτερον, ἐνυπάρχειν, τȣ́των ἀντιλαμβανόμεθα· ȣ̃τως ἅπαν, ὅ, τι, ἡ διαφέρον ἡμῶν, θεωρȣ̃μεν, τȣ̃θ᾽, ὡς ἐκτὸς ἡμῶν ὁριζόμεθα· ὡς πολλῶν ὄντων τῶν τȣ̃θ᾽ ὑποδειγμάτων, οἰκοδομὴν, φέρε, ἣν ȣ̓δέποτ᾽ ἐθεασάμεθα, τῇ αὐτῶν φαντασίᾳ πα-

ριςῶντες, οἷάπερ ἐκ τὸς ἡμῶν, ταύτην ταττόμεθα, καί περ εὖ εἰδότες, ὡς ἡ μὲν, ἣν ἔχομεν, ἰδέα ταύτης ἐν ἡμῖν, ἐκείνη δὲ, παρὰ ταύτην, ἴσως ἐθ᾽ ὑφέςηκε τὸ σύνολον· ταύτην ἀλλ᾽ ἐν ἡμεῖς ἐκτὸς ἡμῶν παριςῶμεν, οἷα ἡμῶν αὐτῶν διαφέρεσαν αὐτὴν γινώσκοντες· ὁμοίως, ἀνθρώπες δύω κατ᾽ ἰδέαν παριςῶντες, ἢ τῆς τ᾽αὐτε ἀνθρώπε διττῆς εἰκόνος ἀντιλαμβανόμενοι διανοίᾳ, θατέραν, παρὰ θατέραν, τιθέμεθα, ὡς, ἵν᾽ ἅμα ἕνα καὶ δύω τὸν αὐτὸν ὑπάρχειν φαντάζηται, βιάζεσθαι τὸν νῦν ἀδυνατῦμεν.

Ἔπετ᾽ ἐντεῦθεν, ὡς πλείω ἀλλήλων διαφέροντα, ταῦθ᾽ ἡμῖν, οἷα ἓν, παριςῶν, μὴ προκυπτέσης τέτων ἐννοίας τινος, τῇ διαφορᾷ ταύτῃ καὶ ἑνώσει προσημμένης, ἀμήχανον· τὴν δὲ τοιαύτην ἔννοιαν ἔκτασιν καλῦμεν· ὅτως ἔκτασιν ἀπονέμομεν τῇ γραμμῇ, παρ᾽ ὅσον πλείοσι διαφόροις τῶν ταύτης μερῶν προσέχοντες, οἷα θάτερα, παρὰ θάτερα, ὑφιςάμενα, ταῦθ᾽ ὁρῶμεν, καί περ ἀλλήλοις συνημμένα, καὶ ταύτῃ ἕν τι καὶ μόνον ὅλον συνιςῶντα.

Τὴν τῆς ἐκτάσεως ἰδέαν ἡμῖν ἐμφύεσθαι διαφορᾷ καὶ ἑνώσει, ὅτως ἀληθὲς, ὡς τῶν φιλοσοφέντων τινας, τὴν ἡμετέραν ψυχὴν, οἷα ἐκτατόν τι, ὑπάρχειν βέλεσθαι, πλείες διαφόρες τῶν δυνάμεων ἐν αὐτῇ σημειέντας, ἕν τι καὶ μόνον συνιςῶτας ὑποκείμενον, ὅπερ ἤτοι γε ἀπατῶνται· τὰ τῶν ὄντων τινος κατηγορέμενά τε καὶ τὲς τρόπες, οἷα ὄντα κεχωρισμένα ἀπ᾽ ἀλλήλων, ὑφιςάμενα, θάτερον, παρὰ θάτερον, θεωρεῖν, τῇ τῆς

ἐκ-

ἐκτάσεως ἰδέα ἐστὶ καταχρῆσθαι· οὔτοι γὰρ καὶ ταῦτα τοῦ, ὅπερ εἰδοποιοῦσιν, ἀχώριστα.

Καὶ μικρὰ προσέχοντι τῇ τῆς ἐκτάσεως ἰδέα, εὔδηλον, ὡς θεωρούμενα μὲν ἀφαιρέσει τὰ ταύτης μέρη, μὴ περιεργαζόμενα δὲ τοῖς τούτων ὅροις, ἢ σχήμασιν, ἐσωτερικὴν διαφορὰν οὐδεμίαν δέον ἔχειν, ὡς ὅμοια ἀλλήλοις ὑπάρχειν, καὶ ἀλλήλων μὴ διαφέρειν, ἢ τῷ ἀριθμῷ, ὀφείλοντα· ἐπεὶ γὰρ, ἵνα τὴν τῆς ἐκτάσεως ἰδέαν κατασκευάζωμεν, οὐδὲν ἄλλο σκεπτόμεθα, ἢ τὴν τῶν πραγμάτων πληθὺν καὶ τὴν τούτων ἕνωσιν, ἐξ ὧν ἡ θατέρου τούτων, παρὰ τὴν θάτερου, ὕπαρξις προκύπτει, καὶ ἅπαντ' ἄλλον προσδιορισμὸν ἀποκλείομεν, ὄντων ταυτῶν τῷ τε πλήθει καὶ τῇ ἑνώσει ἁπάντων τῶν μερῶν, δυνατὸν θάτερον τούτων, ἀνθ' ἑτέρου, ἀποκαθιστᾶν, μὴ ὀλλυμένων τῶν δυοῖν τῶν δὲ προσδιορισμῶν, ἤτοι τῆς πλήθυος καὶ ἑνώσεως, αἷς μόναις προσέχομεν, καὶ ἑπομένως οἷα δήποτ' αὐτῆς μέρη δύω ἀλλήλων μὴ διαφέρειν, ὅ, τι μὴ, ἢ δύω, καὶ οὐχ ἕν· ταύτῃ καὶ οἷα μονοειδῆ, ὁμοίαν καὶ μηδὲν ἔχουσαν ἐσωτερικὸν προσδιορισμὸν, ὃς ἀλλήλων ταῦτα διακρίνει, δέον ἐννοεῖν πᾶσαν ἔκτασιν· τούτων γὰρ κειμένων, ᾗ βουλοίμεθα, ἀεὶ ταυτὸ ὂν προκύψει· διὸ καὶ τὴν τοῦ ἀπολύτου διαστήματος, ὅπερ, οἷα ὅμοιόν τε καὶ ἀδιάκριτον, θεωροῦμεν, ἰδέαν ἐντεῦθεν πορίζομεθα· ἡ τῆς ἐκτάσεως ἔννοια ἥδε, ἡ αὐτὴ τῇ τοῦ γεωμετρικοῦ σώματος· διῃρημένης μὲν ἐς ὅσαουν τῷ ἀριθμῷ γραμμῆς τινος, ἀθροιζομένων δὲ τούτων οἷα δήποτε πρὸς ἄλληλα μεταθέσει, ἡ αὐτὴ γραμμὴ ἀεὶ προκύψει· ταυτὰ καὶ περὶ ἐπιφανείας καὶ γεωμετρικοῦ σώματος.

Τῆς

Τῆς κατὰ τὴν πλεόνων ὄντων ὕπαρξιν διαφορᾶς ϗ τῆς αὐτῶν τέτων ἑνώσεως κατασκευάζεσιν ὄν τι τῇ φαντασίᾳ, ἡ ἔκτασις, ἢ τὸ φανταςικὸν τὲτό γε ὄν, ἡμῖν ἀφωρισμένη παντὸς πραγματικᾶ, ὃ ταύτην ἀφαιρέσει χωρίζομεν, δοκεῖ, οἷα λογιζομένοις, ὡς δυνατὸν, αὐτὴν παρ' αὐτῆς ὑφίςαθαι· τῇ γὰρ ἀντιλήψει ταύτης ἄλλων προσδιορισμῶν, ἢ τῶν ὄντων, ἅπερ ὐκ ἄλλως θεωρέμενα, ἢ ἦ διαφέροντα ϗ ἡνωμένα, περιέχειν αὐτὴν δύνανται, ὐδεῖ· ἀντιλαμβάνεσθαι γὰρ ἐν μέρει τὴν διάνοιαν τῶν τὸ κατ' ἰδέαν ὄν, ὃ καλῦμεν ἔκτασιν, συγκροτέντων προσδιορισμῶν, εἶτα δὲ ϗ τῶν ἄλλων ποιοτήτων, ὅσαι τέτυ νοερῶς χωριζόμεναι, τῆς, ἣν ἔχομεν περὶ αὐτῦ, ἰδέας ὐκέτι μέρυς τυγχάνυσιν, ἐπὶ τὸ κατ' ἰδέαν ὂν ἐκεῖνο ἅπαντα ταῦτα δοκεῖ ἄγειν, ἀφοσιοῦντας αὐτῷ, ὅσα δεχομένη, οἷα δοχεῖον, ἐγχυθὲν τέτῳ ῥευςόν τι, περιέχει ἡ ἔκτασις· ὕτω θεωρῦντες, ὡς δυνατὸν, ἵνα πλείω διάφορα τῶν ὄντων ἅμα ὑπάρχῃ ἐν τῷ κατ' ἀφαίρεσιν ὄντι τέτῳ, ὃ φαμὲν ἔκτασιν, τὴν τῦ διαςήματος κατασκευάζομεν ἔννοιαν, ἢ μηδὲν ἄλλο τῷ ὄντι, ἢ ἡ τῆς ἐκτάσεως, τῇ δυνατότητι συνημμένη, ἵνα τοῖς συνυπάρχυσί τε ϗ ἡνωμένοις ὦσιν, οἷς αὐτὴ κατεσκεύαςαι, τὺς προσδιορισμὺς, ὧν ἀφαιρέσει προαπημφίεςο ταῦτα, ἀποδῷ· ὁρίζειν ἄρα, προςιθέασιν οἱ περὶ Λεϊβνίτιον, τὸ διάςημα, τάξιν τῶν συνυπαρχόντων, εἴτ' ὖν ὁμοιότητα τρόπου ᾧ τὰ ὄντα συνυπάρχει, οὐκ ἄλογον· ἡ γὰρ τέτυ ἰδέα ἀναφύεται ἐκ τῦ μόνον προσέχειν κυρίως τῷ περὶ ταῦτα τρόπῳ, ᾧ θάτερον, παρὰ θάτερον ὑπάρχει, ϗ παριςᾶν, ὡς ἡ πλειόνων ὄντων συνύπαρξις αὕτη τάξιν, ἢ ὁμοιότητα τῷ τῦ ὑπάρχειν

χειν τρόπω, παράγει, ῷ λαμβανομένε, ἀντὶ πρώτε, τῶν ὄντων τέτων τινος, ἄλλο τι γίνεται τέτε δεύτερον, εἶτα δὲ τρίτον, κτ.

Πρόδηλον, ὡς τὸ τῆς ἐκτάσεως κατ' ἰδέαν ὂν, ὃ τῆς πληθύος τε ϗ ἑνώσεως ἁπάντων τῶν ὄντων τέτων κατασκευάζομεν, ἐσίαν τινα χρὴ δοκεῖν· πλείω γὰρ ἅμα ὑπάρχοντα, ϗ τῶν ἐσωτερικῶν προσδιορισμῶν ἁπάντων ἀπηλλαγμένα, φανταζομένοις, διαμένον ἡμῖν τετὶ φαίνεται· ἡ δὲ δυνατὸν, διὰ τῶν τῆς διανοίας ἐνεργειῶν τινος, ἀποδιδόναι τοῖς ἐσι τοῖσδε τὲς προσδιορισμὲς, ὧν ἀφαιρέσει ταῦτ' ἀπεκδυσάμεθα, ἐπὶ ταῦτά τι, ὃ μὴ ἐκτῶντο, τῇ φαντασίᾳ δοκεῖ μετάγειν· ταύτῃ ϗ προσδιαρισὸν ἤδη τὸ ὂν τῦτο φαίνεται.

Ὁμολογέμενον ἄρα, προάγεσιν οἱ περὶ Λεϊβνίτιον, ὡς διάςημα μὲν ἐκ ἔχομεν, ἀλλὰ πραγματικὰ ϗ συνυπάρχοντα ὄντα, ὧν ἄνευ τετὶ εκ ἂν εἴη, ἐδ' αὐτὰ ταῦτα τὰ ὄντα, τῦτο, ἀλλ' ὄν τι, ἀφαιρέσει κατασκευαζόμενον, ϗ τῶν ὄντων ἐκτὸς ἥκιςά πε ὑφιςάμενον, ἐδὲ τοῖς ὑποκειμένοις, ἐξ ὧν τὴν τετε ἀφαίρεσιν ποιέμεθα, ταυτόν· ταῦτα γὰρ ἀπειρότητά τινα πραγμάτων, ὧν, τὴν τε διαςήματος κατασκευάζοντες ἔννοιαν, ἠμελήσαμεν, περιέχει.

Τὸ διάςημα πρός τὰ τῶν ὄντων πραγματικὰ λόγον ἔχει, ὃν οἱ ἀριθμοὶ πρὸς τ' ἀριθμέμενα, ὧν γινομένων ὁμοίων, μονάδα τινα, κατὰ τὸν ἀριθμὸν, κατασκευάζει ἕκαςον· ὅτι τοὺς ἐσωτερικὲς προσδιορισμὲς ἀφαιρῦντες τέτων, ἐκ

ὐκ ἄλλως ταῦτα θεωρῦμεν, ἢ ἢ πλῆθῦν τινα, εἴτ' ὖν πλείυς μονάδας, παριςᾶν δυνάμενα· ἄνευ γὰρ πραγματικῆς πλήθυος τῶν ὄντων, ἀλογιζόμεθα, πραγματικὸς ϗ ὑφεςῶτας ἀριθμὸς ὐκ ἂν εἴχομεν, ἀλλὰ μόνον δυνατὸς· κατὰ ταυτὰ, ὡς πραγματικῶν μονάδων ὐκ ἂν ἠυπορῦμεν, πράγματι ὑφιςάμενα ὄντα μὴ κτώμενοι, ὕτως ὐδὲ τῦ διαςήματος ἄλλα πραγματικὰ μέρη ὑπάρχει, ἢ τὰ πρὸς τῶν πράγματι ὑφιςαμένων ἐκτατῶν ὄντων δηλὄμενα· ὡς ἀποδέχεσθαι τῦτο μέρη ὐκ ἂν ἄλλως ἢ δυνατὸν, ἢ παρ' ὅσον ἀλλήλοις συνυπάρχοντα πραγματικὰ ὄντα ὑφέςηκε· τὰς ἄρα τῷ διαςήματι προςιθέασιν οἱ περὶ Λεϊβνίτιον, ἀποδείξεις ἁρμόζειν βαληθέντας, τῦ κατὰ φαντασίαν διαςήματος ἐξαγομένας, ἐς τὸν τῆς ἀπάτης λαβύρινθον, ὗ τὴν ἔξοδον ὐκ ἂν ποθ' εὕρωσιν, ἀμήχανον, μὴ ἐμπίπτειν.

Τοιύτων ὖν ὐσῶν τῶν περὶ φύσεως τῦ διαςήματος δυεῖν ἀντικειμένων δόξῶν, ἑκατέρα τῶν φιλοσοφύντων ἐγκρίτυς ἔσχε προςάτας· πέρας τ' ἀνὰ χεῖρας ἐδαφίῳ ἐπιθήσω· τὕτῳ ἔγκριτόν τινα προσθεὶς σημείωσιν τῶν φυσικευομένων μεγίςυ τινος, οἷός περ, ὁ κύριος Μυσχεμβροέκιος, ὃς ἡμῖν ἑαυτῶν ἑρμηνεύει ὡδίπως.

„ Αἱ περὶ δυνατότητος, ἢ ἀδυνατότητος, τῦ „ διαςήματος τοσαῦται ϗ τοιαῦται τῶν διαλέ„ ξεων, ἐφ' ὅτῳ τῶν ὠφελίμων; ξυμβαίη γὰρ „ ἂν, μόνον δυνατὸν τῦθ' ὑπάρχειν, ἐν δὲ τῷ „ παντὶ τύτυ μέρος μηθὲν εὑρίσκεσθαι, καί τινι „ καῦτα πῦ αἱ τῶν δυσχερειῶν τοσαῦται ὠφε„ λιμοι; ταυτὰ ϗ κατὰ τῶν τῆς τύτυ ἀντιτοιυ-

„ με-

„ μένων ἀδυναλότητος· πλείυς τύτων ὑ τὸν τυ-
„ χόντα χρόνον ἀναλίσκυσι, διϊσχυριζόμενοι,
„ ὑσαν ἐπιςήμην τὴν φιλοσοφίαν ἑρμηνεύειν δεῖ
„ τὴν δυνατότητα· ἀλλ᾽ εἴη ἂν ἤδη πάνυ ἀνω-
„ φελὴς δήπυ, κὐδ᾽ εὐαρίθμοις ἀπάταις ὑπο-
„ κειμένη ἥδε· τίς γὰρ ὠφέλειά μοι τῷόντι, τὸν
„ ἐμαυτῦ κατατρίβοντι χρόνον, ζητεῖν, ὅ,τι δυνατὸν
„ ἐν τῷ παντὶ, ἀμελεῖν δὲ τῆς ἐν τῦτ᾽ ἀληθείας;
„ ἄλλως τε ϗ ὁ ἐν ἡμῖν νῦς τῶν πάντη πεπερασμένων,
„ ἢ ὡς δύνασθαί ποτε προγινώσκειν, ὅ,τι δυνατὸν,
„ ἢ ἀδύνατον; ὕτω γὰρ εὐάριθμα τῶν ὄντων ἐ-
„ πιςάμεθα, ὡς τὰς ἀκολυθεῖν δυναμένας τοῖς,
„ οἷς δυνατοῖς οἰόμεθα, ἐναντιότητας ἥκιςά που
„ προορῶμεν.

## Περὶ Τόπυ.

Τὸ τῶν σωμάτων τινι καταλαμβανόμενον μέρος τῦ διαςήματος, ἀκίνητον ὂν, τῦτο ἐςὶ τόπος· ὅρα σῶμα ϗ διάςημα.

Τ᾽ Ἀριςοτέλει ϗ τοῖς τύτω ὀπαδοῖς εἰς ἐσωτερικὸν ϗ ἐξωτερικὸν διαιρυμένυ, ἐκεῖνος μὲν, διάςημα, ἢ χωρίον, ὅ,τι τῶν σωμάτων τι καταλαμβάνει, ὗτος δ᾽, ὃς τύτων τι περιβάλλει, ὅν ἐστι, πρώτην, κοίλην, ἀκίνητον ϗ τῦ σώματος περιεκτικὴν ἐπιφάνειαν καλεῖ.

Διαφερομένοις ἐν ταῖς σχολαῖς περὶ τῦ ἐσωτερικῦ, ζητεῖται, πότερον, πραγματικόν τι ὂν, ὗτος, τῶν ἄλλων ἀνεξαρτήτως ὑφιςάμενον, ἢ μόνον φανταςικὸν, εἴτ᾽ ὖν ἐπιτηδειότης ϗ δεκτικότης τῦ ταῦτα δέχεσθαι.

Οἱ μὲν, οἷα θετικόν τι ὂν, ἀσώματον, αἰώνιον, ἀνεξάρτητον καὶ ἄπειρον, τοῦτον ἀποδέχονται, τὰς αὐτῶν προτάσεις κρατύνοντες, ἄχρι τοῦ καὶ διϊσχυρίζεσθαι, ὡς οὗτος τὴν τοῦ θεοῦ συνίστησιν ἀμετρίαν.

Τοὐναντίον, οἱ περὶ καρτέσιον, ὁ ἐσωτερικὸς, φασὶν οὗτοι, κατ' ἀφαίρεσιν θεωρούμενος, τῆς τῶν σωμάτων, ὅσα ταύτῃ ἐμπεριέχεται, ἐκτάσεως ἥκιστα διαφέρει· ταύτῃ κοὐδ' αὐτῶν γε τούτων· ὅρα ὕλη.

Ζητεῖται ἔτι τοῖς σχολαστικοῖς, πότερον, κινητὸς ὁ ἐξωτερικὸς, ἢ οὔ. τὸ τούτου ἀκίνητον ἐπάγουσιν οὕτω; πᾶν, ὅ, τι κινεῖται, ἀνάγκη τὴν αὐτοῦ λείπειν χώραν, ὅγε ξυμβαίνειν οὐκ ἂν δύναιτο, εἰ τῷ κινητῷ συνεκινεῖτο ὁ τόπος· εἰ γὰρ ἐκείνῳ συνεκινεῖτο οὗτος, τὸ κινητὸν χώραν οὐκ ἂν ἤμειβεν· ἄτοπον ἀποφαινόμενοί τινες τὴν τ' ἀριστοτέλους δόξαν ταύτην, διϊσχυρίζονται, ὡς, εἰ κινούμενόν τι τόπον ἀμείβει, ἢ τῇ αὐτοῦ ἐξωτερικῇ ἐπιφανείᾳ συνεχῶς ἀνταποκρίνεται διαφόροις τῶν σωμάτων, ἢ μέρεσι τοῦ διαστήματος, λέγειν ἐχρῆν ὁμοίως, ὡς καὶ ἐν πραγματικῇ ὂν ἠρεμίᾳ τοῦτο, χώραν συνεχῶς μεταβάλλει.

Ἐν δρυμῶνι πύργος, φέρε, ἢ ἐν θαλάττῃ σκόπελος, συνεχῶς κινοῦνται, ἢ χώραν ἀμείβουσι, καινῷ ἀέρι, ἢ ὕδατι περιβαλλόμενα κατὰ συνέχειαν ἑκάτερα.

Ἵνα τῆς δυσκολίας ταύτης τὴν λύσιν δῶσιν, ἐπ' ἄπειρα τῶν μέσων καταφεύγουσι· κατὰ σκοτίσας, ὁ τόπος, οὐκ ἀκίνητος, ἢ ἰσοδυνάμως· ὁ περιβάλλων, φασὶν οὗτοι, ἀὴρ τὴν τοῦ πύργου ἐπιφάνειαν, εἰ καὶ τούτου, πνέων, ἀφίσταται, ὅμοιός τις γεμὴν καὶ τούτῳ ἰσοδύναμος τὸν αὐτοῦ τόπον ἐπέχει· οἱ Θωμίσαι τὴν τοῦ ἐξωτερικοῦ τόπου ἀκινησίαν τοῦ τοῦτον ἀεὶ ἐπίσης ἀφίσασθαι τούτου κέντρου καὶ τῶν τοῦ παντὸς ἀρχοειδῶν σημείων ἐξάγειν μᾶλλον ἐπείγονται· οἱ ὀνομασικοὶ, τὸ τοῦ ἐξωτερικοῦ τόπου ἀκίνητον ἀνταποκρίσει τινὶ μετὰ δυνατοῦ τινος μέρους τῆς θείας ἀμετρίας βέβηκεν· ἀλλ' ἅπαντα τὰ ὀνείρατα ταῦτα, ἃ τὴν αὐτοῖς οἰκείαν χώραν εὑρίσκειν ἀνάγκη ἐν εἰδικῇ τινι πραγματείᾳ τῆς περὶ ἀνθρωπείου πνεύματος ἱσορίας, ἐν ᾗ καὶ ὡς ἐλάχισον καταλήψονται χῶρον, ἡμεῖς μὲν ἄσμενοι παραιτούμεθα.

Ἀρνούμενοι δ' οἱ περὶ καρτέσιον τὴν περικυκλοῦσαν ἐπιφάνειαν, εἴτ' οὖν, ὃ τὸ σῶμα περικυκλοῖ, ὑπάρχειν τὸν ἐξωτερικὸν τόπον, προΐσανται, τοῦτον τυγχάνειν τὴν πρὸς τὰ γειτνιῶντα θέσιν σώματός τινος, ὡς ἐν ἠρεμίᾳ θεωρουμένου· οὕτως, ὁ πύργος, φασὶν, ἐντ' αὐτῷ διαμένει τόπῳ, εἰ καὶ ὁ τοῦτον περιβάλλων ἀὴρ μεταβάλλῃ, τὴν αὐτὴν ἀεὶ πρὸς τὰ ὄρη, τὰ φυτὰ, τὰ τῆς γῆς ἄλλα μέρη θέσιν τηρῶν· δῆλον, ὡς τὸ περὶ τόπου ζήτημα, τῷ διασήματι ἀνήκει.

Εἶχον ἂν λόγον οἱ περὶ καρτέσιον, εἰ τό, τε διάστημα ϗ ἡ ἔκτασις, πραγματικόν τι ϗ διακεκριμένον τῆς ὕλης, μὴ εἶεν· ἦν δ' ἡ ἔκτασις, εἴτ' οὖν τὸ διάστημα ϗ ἡ ὕλη, ἡ διάφορα, τὸν τόπον ἤδη, οἷα διακεκριμένον τῶν σωμάτων ϗ ἀκίνητον ϗ διαβατόν τι τ' ἀορίστου διαστήματος μέρος, δέον θεωρεῖν· δῆλον γὰρ, ἡ νοεῖν ἔθος, μὴ μετ' ἀκριβολογίας φιλοσοφοῦντας, ὑπάρχειν ἀόριστόν τι διάστημα, ὅπερ, οἷα γενικὸν τόπον πάντων τῶν σωμάτων, θεωροῦμεν, ϗ οὗ τὰ διάφορα μέρη, ὄντ' ἀκίνητα, ὁ εἰδικὸς τόπος τυγχάνει, τῶν διαφόρων σωμάτων, ὅσα τούτοις ἀντιπροκρίνεται· τέλος δὲ, τὸ ζήτημα τόδε, εἰ ϗ τῇ τῆς κινήσεως, ἣν ἅπαντες ἐπιστάμεθα, θεωρία πάντη ἀνωφελές, ἀλλ' ὅπως ποτ' ἂν ᾖ, τῆς περὶ τὸ διάστημα ϗ τὸν τόπον κοινῆς ϗ ἁπλῆς ἰδέας ταύτης χρεὼν ἄρχεσθαι, ἁπλῆν τινα ϗ σαφῆ ἔννοιαν τῆς κινήσεως παρέχεσθαι βουλομένους.

Δυοῖν ὄντων, μετὰ τὴν ἰδέαν ταύτην, τῶν τοῦ τόπου εἰδῶν, τὸ μὲν, ἀπόλυτον, τὸ δὲ, σχετικόν; κἀκεῖνο μὲν, τοῦ ἐν τῷ παντὶ διαστήματος μέρος, σωμάτων πλῆρες, ϗ ὁρίζεσθαι ἀδύνατον· τωόντι γὰρ, τεθέντος, τῶν σωμάτων τι, οἷον, τὸ Α. ἐντ' ἀπείρῳ κεῖσθαι διαστήματι, ὁρίζειν ἀπολύτως τὸν, ὅν γε καταλαμβάνει, τόπον, ἢ τὴν, ἐν ᾗ πέφυκε, θέσιν, οὕτως ἀμήχανον, ἢ ϗ λέγειν, ὡς πρὸς δεξιὰν, ἢ ἀριστερὰν, ἄνω, ἢ κάτω, κτ. ἐστιν· αἱ γὰρ διάφοροι σχέσεις αὗται, παραθέσει πρὸς τ' ἄλλα τῶν σωμάτων, τοιαῦται· κἀπεὶ ἐν τ' ἀπείρῳ τόπῳ τῷδε οὐδὲν ὑφέστηκε τῶν σωμάτων, πρὸς ὃ δύναιτ' ἀναφέρεσθαι τὸ Α, ἀπόλυτόν τινα τόπον ὁρίζειν, τῶν

ἀνε-

ἀνεφίκτων· καλεῖν τὴν ἐσωτερικὴν ἐπιφάνειαν, ἣ τὰ σώματα περιβάλλει, τόπον, ἀμήχανον· τὰ γὰρ ἴσα τῶν στερεῶν, ἀεὶ ἴσους τόπους καταλαμβάνει, εἰ καὶ τὰς τούτων ἐπιφανείας δυνατὸν ὑπάρχειν ἀνίσους, κατὰ τὴν, ἣν ἐντοῖς αὐτῶν σχήμασι ῥᾶον εὑρεῖν, διαφοράν· ἡ μὲν ἑνὸς κυβικοῦ ποδὸς ἔκτασις, ἔστι σταθερῶς ἡ αὐτὴ, εἰς ὅσα δήποτ' ἂν οὗτος διαιρεθῇ, ἡ δὲ περὶ τοῦτον ἐπιφάνεια, ἐξ τετραγώνων ποδῶν· διαιρουμένου ἀλλ' οὖν τοῦδε, παραλλήλῳ ταῖς αὐτοῦ πλευραῖς τομῇ, εἰς μέρη δύω, ἡ τούτων ἐπιφάνεια τετραγώνων ποδῶν ὀκτὼ ἔσται, ἥγε μᾶλλον καὶ μᾶλλον αὔξει, πληθυνομένης τῆς διαιρέσεως· λέγειν δ' ἔτι, ὡς ἡ σώματός τινος θέσις, ἔστι τόπος, ἀμήχανον· εἶναι γὰρ ταύτην, ὡς εἰπεῖν, μείζω, ἢ ἐλάττω, ἀδύνατον, ὡς τρόπος τοῦ τόπου αὕτη μᾶλλον, ἢ ὁ τόπος αὐτός· ἔχοντος μέρη τοῦ διαστήματος, δυνατὸν ἦν λέγειν, τον σώματός τινος ἀπόλυτον τόπον, ὑπάρχειν τὸ τοῦ διαστήματος, ὃ τοῦτο καταλαμβάνει, μέρος.

Σχετικὸς τόπος, ἐστι θέσις τις, ἣ τῶν σωμάτων τι πρὸς τὰ, οἷς τοῦτο παρατίθεται, δυνατὸν ἀναφέρεσθαι· ἐπιστάμεθα δὲ τὸν τούτου σχετικὸν, τὴν αὐτοῦ θέσιν πρὸς τὸ ἡμέτερον σῶμα παραβάλλοντες· φαμὲν γὰρ πρὸς δεξιὰν, ἢ ἀριστερὰν, ἔμπροσθεν, ἢ ὄπισθεν, κτ. αὐτὸ τοῦτο τυγχάνειν.

Δυνατὸν ἄρα τὸν τοῦ σώματος σχετικὸν μένειν τὸν αὐτὸν, εἰ καὶ ὁ τούτου ἀπόλυτος μεταβάλλῃ, ὅγε ξυμβαίνει, ὅτε τῶν σωμάτων πλείω τὴν αὐτὴν τοῦ διαστήματος σχέσιν καὶ θέσιν πρὸς

ἀλ-

Εἰ καὶ τῷ ὀνόματι, χρόνος, καθὰ καὶ τῷ, διάστημα, εὖ οἶδεν, ὅ,τι λέγει ἕκαστος, καὶ τοῦ ἐν αὐτῷ ὑποκειμένου ἰδέαν τινα ἔχει, ὁρίζειν μέντοι τοῦτο, οὐκ ἂν οἷός τ' εἴη· ξυμβαίνει γὰρ ἐπὶ τοῦ χρόνου, ἢ κἀπὶ τοῦ τῶν ἐν ἡμῖν διαφόρων αἰσθήσεων ὑποκειμένου, ὧν εἰ καὶ σαφῆ τὴν ἰδέαν ἔχομεν, ἀλλ' οὐ καὶ διακεκριμένην, ὡς ταῦθ' ὁρίζειν ἀμηχανοῦντες, εἰ καὶ ταῖς τῶν ἐπωνυμιῶν ἀκριβέσιν αὐτὰ σημαίνομεν· ὅ,τι ποτε διὰ τῶν ὀνομάτων τῶνδε, λύπη, χαρὰ, θερμότης, ψυχρότης, λέγειν βουλόμεθα, ἴσμεν, ἀλλ' ἄλλοις διδαχῇ τὰς τῶν ἐννοιῶν ἁπλουστάτας ταύτας ἀναπτύσσοντες, ἵν' αὐτὰς ἀναλύωμεν, τῶν δυσκολιῶν οὐ ταῖς τυχούσαις συναντῶμεν, ὃ οὐδ' εὐαρίθμοις ἄλλαις τῶν ἀφῃρημένων ἁπλῶν ἰδεῶν

ἀκο-

ἄλληλα σώζει, ταὐτοχρόνως καὶ ὡσαύτως κινούμενα, ὡσεὶ μὴ εἶεν, ἢ ἓν καὶ ταὐτὸ τὸν ὄγκον. ἀκολουθεῖ γεμὴν ἔσθ' ὅτε, τῶν σωμάτων, τὰ μὲν σαθερῶς ἐν τῇ αὐτῇ μένειν χώρᾳ, τὰ δὲ, ταύτην ἀμείβειν· κἀπεὶ ἐν τῇδε τῇ ὑποθέσει, τὰ μὲν πρῶτα τὸν αὐτὸν περὶ ἑαυτὰ ἀπόλυτον τόπον τηρεῖ, τὰ δ' οὒ, ταύτῃ καὶ ἑκάτερα τὸν αὐτὸν σχετικὸν τόπον σώζει· ὅρα κίνησις·

## Περὶ χρόνου μεταφυσικοῦ.

Εἰ καὶ πᾶσις ἐναργεςάτην ἰδέαν ἔχει τοῦ πράγματος, ὃ πάντες δηλοῦμεν, ὅτε τὴν λέξιν, χρόνος, ἀπαγγέλλομεν, οὐ μήν γε καὶ παντὸς, οἶμαι, ταύτην, τοιαύτην κτᾶσθαι, ὡς τὸν ἀποχρῶντά τε καὶ πραγματικὸν ὁρισμὸν τούτου πᾶσι ῥᾳςʹ ἀποδιδόναι.

ἀκολουθεῖ, οἷαί περ, ἡ τῆς ὑπάρξεως, ὑποστάσεως, οὐσίας, κινήσεως, κτ. αἵγε τῶν πάντη ἁπλῶν, εἴτ᾽ οὖν ἀφῃρημένων, οὖσαι, εἰδικὴν, ἢ ταύτας μεταφυσικῶς ἂν ὁρίσαιμεν, οὐδεμίαν ἡμῖν ξυγχωροῦσιν, ὡς μηδὲν ἄλλ᾽ ἔχειν ἐν τῷ νῷ ἐπιτρέπησαι, ἢ τῶν ἰδεῶν τινας ξυγκεχυμένας· ἐντεῦθεν ταύτας ἑρμηνεύειν, καὶ ἄλλοις αὐτὰς κατανοεῖν διδόναι, βουλομένους, καταφεύγειν ἀνάγκη, οὐκ ἐπὶ τὸν περὶ ταύτας ὁρισμὸν, τὴν δὲ τῶν μέσων καταγραφὴν, οἷς αὐτάς γ᾽ ἐποριςάμεθα· ταύτην δὲ, οἷα πραγματικὸν ὁρισμὸν, ἀποδεχόμενοι, καὶ τοὺς ἄλλους, οἷα τοιοῦτον, αὐτὴν ἀσπάζεσθαι ἐθέλομεν· ἐκ τούτου συνεχῶς ἕπεται, ξυγχέειν τὸ μέσον, ἅπερ αὐτὰς πορίζόμεθα, αὐτῇ τῇ τοῦ ὑποκειμένου, ὅπερ ὁρίζειν ἀμηχανοῦμεν, οὐσίᾳ· εἰ μὴ ἐκτὸς ἀλλήλων ὑφίςατο τὰ σώματα, πῶς ἂν ὄντες, οἷοίπερ ἐσμὲν, τὴν τοῦ διαςήματος ἰδέαν κτᾶσθαι δυναίμεθα; ἐντεῦθεν τὸν τούτου ὁρισμὸν ἐξάγομεν, ὡς διάςημα ἐςὶν, ὁ τῶν σωμάτων τόπος, ἐν ᾧ ὑφέςηκεν, ἢ ὑφίςασθαι, ταῦτα δύναται.

Τὰ τὸ διάςημα καταλαμβάνοντα, ἢ τοῦτ᾽ ἔχοντα καταλαμβάνειν, σώματα, ταῦτα τυγχάνει, ἅπερ ἡμῖν τὴν τούτου ἰδέαν παρέχεται, μέτρον αὐτοῦ γινόμενα· προσέχοντι δὲ, οὗτος, οὐχ ὁρισμὸς, ἀλλὰ μέσον, ᾧ τὴν αὐτοῦ ἰδέαν ἐποριςάμεθα· εἰ γὰρ διαβατὰ ταῦτα, καὶ θάτερον ἐκτὸς θατέρου μὴ ὑφίςατο, ταύτην οὐκ ἂν εἴχομεν· καὶ δὴ λέγοντες, διάςημα ἐςὶν, ὁ τῶν σωμάτων τόπος, τῷ ὀνόματι, τόπος, ἐχρησάμεθα, ὃ μὴ μόνον τοῦ διαςήματος ἐπώνυμον, ἀλ-

ἀλλὰ καὶ ὁρισμοῦ ἐπ᾽ αὐτῷ δεῖ, ὃν οὐκ ἂν δοίημεν, ἢ ἀποκαθιστῶντες, ἀντ᾽ αὐτοῦ, τοὔνομα τοῦ διαστήματος, ὅγε οὔπω ἔθ᾽ ὥρισται.

Τόπος ἐστὶ μέρος τοῦ διαστήματος, ὃ τῶν σωμάτων τι καταλαμβάνει, ἢ καταλαμβάνειν δύναται.

Συνάγειν ἐντεῦθεν, ἀπαγγέλλοντας τοὔνομα, διάστημα, ἢ τόπος, τῶν ἰδεῶν οὐδεμίαν ἐκτίθεσθαι, οἷα κενοῖς ἐννοιῶν ὅροις χρωμένους, ἄτοπον· ἐγώτε καὶ τῶν ἐμοὶ μαθητῶν ὁστισοῦν, οὕτω σαφεῖς τε καὶ θετικὰς, τὰς τοῦ τόπου καὶ τοῦ διαστήματος ἰδέας ἔχομεν, ἢ καὶ τὰς τῶν ὑποκείμενα ἐχουσῶν, τὰ τοῖς ὀνόμασι, ζωὴ, θάνατος, σχέσις, ἐγὼ, σὺ, θεὸς, ψυχὴ, σῶμα, δηλούμενα· κατὰ ταῦτα, φήσας, χρόνος ἐστὶν, ἡ τῶν ἀτόμων στιγμῶν συνεχὴς ἀκολουθία, ἐν αἷς τὰ κατὰ διαδοχὴν γινόμενα ξυμβαίνει, ἢ ξυμβαίνειν δύναται· τὸν μὲν χρόνον οὐχ ὡρισάμην, ἀλλὰ τὸν τρόπον μόνον ἐνεδειξάμην, ὥγε τὴν τούτου ἰδέαν πορίζόμεθα· εἴγε τῶν διαδοχῶν, εἴτ᾽ οὖν γινομένων, ἢ τῶν τῆς καταστάσεως μεταβολῶν, ὧν θατέρα πρὸ τῆς ἑτέρας ὑφέστηκεν, οὐδεμία ἦν, ὡς μὴ ἀρχομένης ὑφίστασθαι τῆς δευτέρας, ἢ οὐδ᾽ ἡ πρὸ ταύτης οὐκέτι ὑφέστηκεν, ἰδέαν, ἢ διαμονὴν, τῷ χρόνῳ οὐκ ἂν εἴχομεν· ἔχειν δὲ ταύτην, ὑπάρχειν κατὰ διαδοχὴν ξυμβάντα, οὐκ ἀρκεῖ, ἀλλὰ δεῖ καὶ γινώσκειν ταῦτα, κατὰ διαδοχὴν αὐτὰ ἀλλήλοις ἑπόμενα ὁρῶντας, τὴν τῶν ἡγουμένων μνήμην τηρεῖν, τὴν τῆς ἡμῶν αὐτῶν συνεχοῦς τε καὶ ἀνταποκρινομένης τοῖς κατὰ διαδοχὴν διαφόροις τοῖσδε γινομένοις

ὑπάρ-

υπάρξεως συνείδησιν έχοντας, ώς, άνευ τέτων, τε παρωχημένε, ήτοι των γινομένων, όσα έσχεμεν χώραν, έχ υφέςηκε δε, κ ανθ' ων τα πράγματι γινόμενα πάρεςι, μηδέποτε μνείαν ποιέμενοι, ιδέαν της διαδοχής έδεμίαν αν είχομεν· τη άρα γνώσει κ μνήμη τα κατα διαδοχήν γινόμενα ποριζόμενοι, την της διαμονής κ τε χρόνε ιδέαν ταύταις οφείλομεν· η διαμονή προς τα γινόμενα λόγον έχει, όν ο τόπος προς τα τέτον πληρέντα· η μεν, μέρος τε χρόνου, τη της υπάρξεως των γινομένων συνεχεία καλας μετρεμένη, ο δε, τε διαςήματος, τη σωματός τινος, ό τέτον πληρεί, συνεχεί υπάρξει καταμετρέμενος· ο χρόνος προς τα γινόμενα λόγον έχει, όν το διάςημα προς τα σώματα· τουτο μεν γαρ, η των τόπων, εν οίς υφέςηκεν, η υφίςαθαι δύναται, ταύτα, συνεχής ακολεθία, ο δε, η των ατόμων ςιγμών, εν αίς τα κατα διαδοχήν ξυμβάντα υφίςαται, η δύναται υφίςαθαι, συνεχής ακολεθία· έδεν έτω ράον, η τόπον τιν εννοείν, εν ω, προς ακρίβειαν όντι κενώ, των σωμάτων έδεν υφέςηκε.

Φαίη άν τις, ως το κενόν, άτε μηδεν εαυτω εμπεριέχον, έκ έςιν όλως διάςημα; κατα ταυτα, δύω, μάλλον, η ήττον αλλήλων αφιςάμενα, σημεία τε χρόνε ράςα δυναμένω νοείν, μεθ' ων τε πρώτε άχρι τε δευτέρε έδεν εν τέτοις των ξυμβάντων όψομαι, ότι αι πάντων, όσα με περικυκλοί, μεταβολαι άπασαι, αλλήλας κατα διαδοχήν υπεισερχόμεναι, πεπαύκαται, ερείμοι τις, ως ταίς των ςιγμών δυσι ταύταις εκατέρας άχρι της ετέρας έδεις ενυπάρχει χρόνος;

νος; φήσει μοί τις, φημὶ, ὡς ὀυχ ὅπως τῶν μέσων ὀυδὲν, ᾧ τὴν τῆς διαμονῆς ταύτης ἔκτασιν καταμετρεῖν δυνάμεθα, ἀλλ᾽ ὀυδ᾽ αὐτὴν τὴν τῶν ἡμετέρων ἰδεῶν διαδοχὴν, ἔχομεν; ὡς, τῶν κατὰ διαδοχὴν ξυμβάντων μηδὲν χώραν ἔχειν, ὑποτίθεται, ὅσῳ ποτ᾽ ἂν ἀλλήλων τὰ δύω ταῦτα νῦν ἀποςῇ; ἀλλὰ κἂν τῶν ξυμβάντων μηδὲν τούτοις ἐνῇ, ὀυχ ἧττον γεμὴν δυνατον ὑπάρχειν τι τούτων, καὶ, φέρε, τῶν τοῦ ἡλίου περιόδων ὁλοσχερής τις· ταύτῃ καὶ βεβαιοῦν, μηδένα τοῖς δυσὶ τούτοις ἀτόμοις χρόνον ἐμπεριέχεσθαι, πάντων ἄτοπον, ἐκ τοῦ τὸν χρόνον κακῶς ξυγχέειν τοῖς ξυμβάντοις, ὅσα τοῦτου μέτρον γινόμενα, τὴν τῆς διαμονῆς ἰδέαν κατασκευάζει, ἑπόμενον· τοσοῦτον ἐθέλω λέγειν, ὡς, ὄντος μὲν ἐμοῦ κωφοῦ, κρουόμενός τις τῶν κωδώνων, ὀυ κραδαίνει, ὀυδὲ τῇ αὐτοῦ ἐνεργείᾳ τὸν ἐν τοῖς ὠσί μου ταράττει ἀέρα, ὃς τὴν αἴσθησιν, ἣν ἦχον καλῶ, ἐν τούτοις διεγείρει· ἢ, ἐιργομένου ἐν ἑιρκτῇ, ουδένα ὁρῶντος, ἐπὶ γῆς ἐςιν ὀυδεὶς· ἀλλ᾽ ὅγε ταῖς ἀληθείαις αὐταῖς δυνατὸν λέγειν, τοῦτ᾽ ἐςὶν, ὡς, τ᾽ ἀνθρώπῳ, ᾧ τῶν κατὰ διαδοχὴν ξυμβάντων μηδὲν ἔγνωςαι, ὀυδ᾽ ὡσαύτως ἡ τῶν ἐν τούτῳ ἰδεῶν διαδοχὴ, ςερουμένῳ μέσου, δι᾽ ὀυ τὴν τοῦ χρόνου, ἢ τὴν τῆς διαμονῆς, ἰδέαν κτήσαι τ᾽ ἂν, εἰ καὶ τούτῳ ὁ χρόνος ἐςὶν, ὡς μὴ ὑφιςάμενον, ἀλλ᾽ ὀυχ᾽ ἧττον ὄυτος πραγματικὸς, ἢ πραγματικὸν καὶ τὸ διάςημα, ὀυθ᾽ ὡσαύτως τοῦτο εἴη ἂν πλῆρες, εἰ καὶ τὴν τῆς ὑπάρξεως τῶν τοῦτο πληρούντων γνῶσιν ἐκεῖνος ὀυκ ἔχει· ὅτι ἐκ τοῦ τὴν πράγματός τινος ἰδέαν μὴ ἔχειν ὀυχ ἕπεται, μηδ᾽ ὑφίςασθαι τοῦτο· ὄυτως ὡρισαι μένου τὸν χρόνον, εἴγ᾽ ὁρισμὸς ὄυτος εἴη, συνεχὴς ἀκολουθία

ςιγ-

ςιγμῶν, ἐν αἷς τὰ κατὰ διαδοχὴν ξυμβάντα δεδύνηται, ἢ δύναται, χώραν ἔχειν· ἐν μιᾷ τινι τῶν τῆ ἡλίȣ κυκλοφοριῶν χωρεῖν ἠδύνατο τι τῶν ξυμβάντων, εἴδε μὴ τȣ̃το, ȣ̓δ᾽ ἡ ἐκείνȣ γε κυκλοφορία εἶχε τὴν αὐτῆς κίνησιν· ϗ πρὸς, εἰ ȣ̓δεμίαν ἐν ἡμέραις 365 ὁ ἥλιος, οἱ ἀςέρες, ϗ ἅπαντα, μηδενὸς ἐξαιρȣμένȣ, ἐκτῶντο τὴν κίνησιν, ἀλλὰ τὴν αὐτῶν μετέβαλλον κατάςασιν, ὡς ἐν μεγίςῃ τε ϗ ἀκριβεῖ ἀδρανίᾳ, εἴτ᾽ ȣ̓ν ἀνενεργησίᾳ, ἅπανθ᾽ ὑφιςάμενα, ἤδ᾽ αὕτη γε μὴν τέλος ἡ τȣ́των τοιαύτη κατάςασις, εἴτ᾽ ȣ̓ν ἡ διαμονὴ, εἴη ἂν ἴση μιᾷ τινι τῶν τȣ̃ ἡλίȣ περιόδων· προτείνοι δ᾽ αὖτις, ὡς ἤδ᾽ ἡ διαμονὴ, ἴση τῷ μηδενὶ, χώραν ἄλλως ȣ̓κ ἔχȣσα, ἢ ὡς μὴ ἦν ἤδη χρόνος· ξύμφημι, ὡς, εἰ ϗ ταύτην ȣ̓δὲν ἐμέτρησεν, ἀλλ᾽ ȣ̓δὲν ἧττον πραγματικὴ, κατὰ τὸν τῆ κώδωνος ἦχον, εἰ ϗ τȣ́τȣ μηδὲν ȣ̃ς ἤκȣεν· ἀλλ᾽ εἶγε κατὰ τὸν χρόνον ἐκεῖνον, ὅ, τι ȣ̃ν νοȣ̃ν ἐσκέπτετο, τὰ τῶν ξυμβάντων διάφορα, ὅσπερ ἂν ἐν τῷ τῆς ἁπάντων καθόλȣ ἀδρανίας, πλὴν τῆς ἑαυτȣ̃, διαςήματι ἐχώρει, δυνάμενον ὑποτίθεσθαι, τȣ̃τον ἔσχεν ἂν καταμετρεῖν, διαμονήν τιν᾽ αὐτῷ προσάπτον, κἂν μηδὲν τῶν ἄλλων, ὅσαπερ ἐς ἀδράνιαν ἐν τῷ χρόνῳ τȣ́τῳ ἐτέλει, τῆς διαμονῆς ταύτης εἶχεν ἀντιλαμβάνεσθαι· ȣ̓σης δὲ, ὡς πρὸς ταῦτα, οἷα ȣ̓δεμιᾶς τῆς διαμονῆς, ἥτ᾽, ἐν ᾗ ἤδ᾽ ἤρξατο, ϗ ἡ, ἐν ᾗ γ᾽ ἔληξε, ςιγμὴ, ἀλλήλων ἀμέσως ἁπτόμεναι αὐτοῖς ἔδοξαν, ϗ ἅπαν τὸ τȣ́των ἑκατέρας διάςημα ὑπῆρξεν ἂν αὐτοῖς, οἱονεὶ μὴ ὑφιςάμενον.

Τῶν διαφόρων μέσων, οἷς τὸν χρόνον καταμετρȣ̃μεν, τὰ μὲν, φυσικὰ, ὡρισμένα, ϗ ἁπλῷ κανόνι ὑποκείμενα· οἷα, ἡ τῶν ἀςέρων κίνησις, ἣ τὰς ἡμέρας, τȣ̀ς μῆνας ϗ τὰ ἔτη παρέχεται· ἡ τȣ̃ ἡλίȣ χρόνιος, δίδȣσα τὸ πρωῒ, τὴν μεσημβρίαν ϗ τὴν ἑσπέραν, ὧν εὑρόντες τὸ μέσον, εἰς ὥρας, λεπτὰ πρῶτα, δεύτερα καὶ τρίτα διὰ τῆς τῶν αἰωρητῶν κινήσεως αὐτὴν διαιρȣ̃μεν· τὰ δὲ, ἤτε τῶν πρὸς ἀρέσκειαν ξυμβάντων ϗ ἡ τῶν ἐν ἡμῖν ἐννοιῶν ἀκολȣθία, ὧν μᾶλλον, ἢ ἧττον, διακεκριμένην τηρȣ̃ντες τὴν μνήμην, ὡς τῇ τῆς ἐν ἡμῖν ὑπάρξεώς τε ϗ μνείας συνειδήσει ξυνοδευομένην, τῇ ξυμπάντων τῶν μέσων τῶνδε ξυνάψει τὴν τῆς διαμονῆς καὶ τοῦ χρόνȣ ἰδέαν πορίζόμεθα· ἵνα δ' ἀκριβεςάτην ϗ μᾶλλον ἀφωρισμένην κτώμεθα τὴν τȣ́των ἔννοιαν, δέον, τῶν γινομένων τι κατὰ διαδοχὴν ἐν ταῖς αὐτȣ̃ προόδοις ἔχοντας, διαφόρων ξυμβάντων, κατὰ διαδοχὴν ἀνταποκρινομένων διαφόροις σημείοις τῆς διαμονῆς τȣ́τȣ, ὅπερ, οἷα κοινὸν μέτρον, ἡμῖν ὑπηρετεῖ, ἀντιλαμβάνεσθαι· ȣ̔́τω, παρέρχεσθαι διαδεχόμενα ἄλληλα, διάφορα τῶν ξυμβάντων ἐν μιᾷ ἡλίȣ περιόδῳ, ϗ διαφόροις κατὰ διαδοχὴν σημείοις τῆς τȣ́τȣ κυκλοφορίας ἀνταποκρινόμενα, μᾶλλον δὲ, γινόμενόν τι, διαμένον, ὅσον ἡ κυκλωφορία ἥδε, ὁρῶσιν, ἐντεῦθεν ἡ τȣ̃ ἔτȣς, ἡ τῶν ἐν τȣ́τῳ παρῳχηκότων ξυμβάντων, ἔτι δὲ ϗ ἡ τȣ̃ ὁλοσχερȣ̃ς ἔτος διαμένοντος πράγματος ἰδέα ἡμῖν ἐγγίνεται· εἴγε τὴν τȣ̃ ἐντελείοσι τῶν ἡλίȣ κυκλοφοριῶν ὑφιςαμένȣ, οἷον, τὴν τῆς περὶ οἶκον, ἢ βασιλείαν τινα, ὑπάρξεως κυκλωφορίαν ἑτέρᾳ τινι ξυνάπτωμεν, τὴν πλειόνων ἐτῶν, ἑνὸς αἰῶνος, δέκα αἰώνων,

νων, κτ. ἰδέαν κατασκευάζομεν, ἢ παντὶ πρόδηλον· ὐδὲν ἄλλο τοσαύτην καταχέει τῦ χρόνυ τὴν ἀσάφειαν, ὡς τὰ τῶν μεταφυσικῶν περὶ τύτυ ζητήματα· τίς, φασὶν ὗτοι, ἡ τῦ χρόνου ὐσία; ὓς ἡδέως ἂν ἀντεροίμην, τίς, ἡ τῆς ὑπάρξεως; ὁ χρόνος, ὑπόστασις, ἢ τρόπος, ταύτης; ὐμενῦν, ἀλλὰ σχέσις μεταξὺ τῶν κατὰ διαδοχὴν ξυμβάντων, ὧν ἄνευ ἰδέαν τύτυ ὐδεμίαν ἂν ἔχοιμεν· ἀλλὰ ταυτὶ λέγων, τὴν τῦ χρόνου ὐσίαν ὐκατανοῶ· πῶς κατανοήσω; ἀφῃρημένης ἰδέας ὗτος, ὑποκείμενον, τοιαύτης τῇ ἁπλότητι, οἷα καὶ ἡ τῆς ὑπάρξεως, ἢ ξυνθέσεως πάντῃ ἀνεπίδεκτος.

Τῦ αἰωνίυ καὶ ἀναγκαίυ ὄντος ἐστι τις χρόνος, ὐδὲν ὅλως ἴσμεν. ὅ,τι γὰρ ἂν ποτέ τις φῇ περὶ τύτυ, ὐκ ἂν ἢ ἄλλο τι εἰρηκὼς, ὅ,τι μὴ τῶν προτάσεων πάνυ προπετεῖς· τίποτ' ἴσμεν ἡμεῖς, ὅ,τι τῷ τοῦ ποιητοῦ ὑπερτελεῖ νῷ ἔνεστι;

## Περὶ κινήσεως μηχανικῆς.

Μηχανικὴ κίνησις, ἣν ὡσαύτως καὶ τοπικὴν καλῦσιν, ἡ συνεχὴς καὶ κατὰ διαδοχὴν μεταβολὴ τόπυ, ὡς ἐκ σώματος, εἴτ' ὐν ἡ σώματός τινος κατάστασις, ᾗ κατὰ διαδοχὴν αὐτὸ διαφόρυς τόπυς μεταβάλλει· ἢ ᾗ κατὰ διαδοχὴν διαφόροις μέρεσι τῦ διαστήματος πάρεστιν· ὅρα τόπος· ἡ ταύτης θεωρία καὶ οἱ νόμοι, τὸ τῆς μηχανικῆς ἀρχοειδὲς ὑποκείμενον.

οἱ

Οἱ μὲν πάλαι τῶν φιλοσοφȣ́ντων γενικώτερόν τε ϗ πλατύτερον τὴν κίνησιν θεωρȣ̃ντες, ταύτην σώματός τινος ἐκθατέρας εἰς ἑτέραν κατάςασιν ὡρίσαντο διάβασιν, διαιρȣ̃ντες αὐτὴν εἰς εἴδη, οἷα, ἡ δημιȣργία, γέννεσις, φθορὰ, αὔξησις, μείωσις ϗ μετάθεσις, εἴτ' ȣ̃ν, ἡ ἐκ τόπου εἰς τόπον κίνησις.

Οἱ δὲ καθ' ἡμᾶς τȣ̓́σχατον τȣ́των ἀποδεχόμενοι, τὰ λοιπὰ ἐπ' αὐτὸ τȣ̃το ϗ μόνον ἀνάγȣσι· ταύτῃ κἀν ταῦθα περὶ μόνης ἐρȣ̃μεν τῆς μεταθέσεως, εἴτ' ȣ̃ν τῆς τοπικῆς κινήσεως, ἧς τ' ἄλλα τρόποι, ἤτοι ἀποτελέσματα.

Ἀποφασκόντων τὴν τῆς κινήσεως ὕπαρξιν ϗ δυνατότητα ȣ̓κ εὐαρίθμων τῶν πάλαι, ψιλοῖς μέντοι σοφίσμασι, ϗ σφίσιν αὐτοῖς δόξαν προμνωμένων, εἰ ϗ τοῖς πᾶσι προδήλοις ἀντιλέγειν δόξωσιν ἐπήβολοι, ϗ τῆς αὐτῶν ὑψηλῆς ἀγχινοίας ποιȣμένων ἐπίδειξιν, τȣ̃ τȣ́των χαρακτῆρός τε ϗ γένȣς ȣ̓δὲ τήμερον ἔτ' εὐάριθμοι· ὅρα τὰς, ἃς ȣ̓̃τοι ἐπάγȣσι, δυσκολίας κατα τῆς ἐν τῇ κινήσει ὑπάρξεως.

Εἰ ἔςι κίνησις, αὕτη, ἢ ἐν τῇ παραγȣ́σῃ αἰτίᾳ, ἐςὶν, ἢ ἐν τῷ κινȣμένῳ, ἢ ἐν ἀμφοτέροις· ȣ̓κ ἐν τῇ παραγȣ́σῃ ῥιπτομένȣ γὰρ σώματός τινος, ἀδύνατον λέγειν, ταύτῃ ἐκείνην ἐνεῖναι, ὡς ἐνȣ̃σαν τῷ ῥιπτομένῳ. ἀλλ' ȣ̓δ' ἐν τȣ́τῳ, ὡς τῆς ἐνεργȣ́σης αἰτίας ἀποτέλεσμα, ἡ κίνησις, τὸ δὲ κινητὸν, δίχ' ἀποτελέσματος.

## Α'πάντησις.

Η' κίνησις, νῦν μὲν ἐν τῇ παραγούσῃ αἰτίᾳ, νῦνδ' ἐν τῷ κινουμένῳ· οὕτω δὲ, κινουμένου τοῦ ἐν τῇ σφενδόνῃ λίθου, καὶ ταύτης περιαγομένης, τὴν χεῖρα, περὶ ἣν ἡ σφενδόνη, οἷα αἴτιον τῆς κινήσεως, δέον θεωρεῖν, ὡς ἐν κινήσει, οὖσαν, κἀκ ταύτης ἐπ' ἐκείνην περιαγομένην διαβαινούσῃ, τέλος δ' ἐν δοῦσαν ταύτην, τὸ τῆς κινήσεως ὑποκείμενον, γίνεται ὁ λίθος· τ' ἄρα τοῦ σοφίσματος τοῦδ' ἀτόπημα, τὸ τοῖς διαφόροις χρόνοις μὴ προσέχειν, ἐν οἷς ἅπαντα ταῦτα ξυμβαίνει.

Διόδωρος δ' ὁ κρόνος ἐσυλλογίζετο οὕτω· τὸ κινούμενον, ἢ ἔνθα ἐστὶ, κινεῖται, ἢ ἔνθα οὐκ ἔστιν· ἄμφω γὰρ, ἀδύνατον· εἰ γὰρ, ἔνθα ἐστὶ, τοῦ οἰκείου τόπου οὐδέποτ' ἐκστήσεται· ἀλλ' οὐδ, ἔνθα οὐκ ἔστι, κινηθήσεται· ταύτῃ κοὐδέποτ' ἐν κινήσει.

## Α'πάντησις.

Τῆς δοκούσης ταύτης δυσκολίας ἀπολύεται ὁ τῆς κινήσεως ὁρισμὸς, ὡδὶ· τὸ σῶμα, οὐκ ἐν ᾧ ἐστὶ τόπῳ, κινεῖται, ἀλλ' ἐκ τοῦ, ἐν ᾧ ἐστὶν, ἐς τὸν, ὃς ἀμέσως ἕπεται.

Τῶν κατὰ κινήσεως σοφισμάτων τὸ μᾶλλον περίπυστον, ὅπερ ὁ ζήνων ἀχιλλέα καλεῖ, τὴν τούτου δύναμιν, ἣν ἀήττητον ᾤετο, δηλώσων· τιθέμενος γὰρ μετὰ τὴν χελώνην δεκάκις ταχύτερον ταύτης ἐκεῖνον τρέχοντα, ταύτῃ μίλ-

λιον

λιου μεῖζον, ἢ ἐκείνῳ, χαρίζεται, ὡς ἱ συλλογιζόμενος.

Ἔςʼ ἂν τὸ μίλλιον, ὥπερ ἐκείνη ἐκείνε ἡγεῖται, παρέλθη ἔτος. αὐτη τὸ μιλλίε δέκατον διανύσει· ἐς δʼ ἂν αὖ τἔτʼ ἐκεῖνος διέλθῃ, ἤδε τὸ τἔ μιλλίε ἑκατοςημόριον διαδραμεῖται, καὶ οὕτως ἐκ δεκάτε ἐς δέκατον ἀεὶ προϊέσης αὐτῆς ἐκείνε, ἐδέποθʼ ἔτος ἐκείνην καταλήψεται.

Ἀπάντησις.

Α. εἰ καὶ ἦν ἀληθὲς, ὡς ἐκεῖνος αὐτὴν ἐδέποτε καταλήψεται, ὑπάρχειν γεμὴν ἐντεῦθεν ἀδύνατον τὴν κίνησιν, ἐχ ἕπεται· πράγματι Γὰρ ἑκάτεροι κινἔνται, ὡς ταύτῃ ἀεὶ ἐκεῖνος πλησιάζων, ἀπειράκις ἐλάχιςον ἡγεῖσθαι τἔτε ἀεὶ ὑποτιθεμένη κἀκείνη.

Β. τῷ σοφίσματι τῷδε πρῶτος γρηγόριος ὁ τἔ ἁγίε Βικεντίε ἐπʼ εὐθείας ἀπήντηκεν, ὃς τὸ τἔτε ψεῦδος ἀποδείξας, τὸν ὅρον, ἐφʼ ὃν δεῖ ταύτην ἐκεῖνον καταλαβεῖν, διὰ τῆς ἀπείρου ἀριθμητικῆς προόδε, ἐπὶ τῷ τἔ μιλλίε τέλει καὶ ἑνὶ ἐννάτῳ τἔτε ὡρίσατο· ἅπαν γὰρ τὸ ταύτης ἄθροισμα, πεπερασμένον· ὅτι, πεπερασμένην ταύτην εἶναι, καὶ μὴ, ἀντίφασις· ὅ,τιἔν ὅλον πεπερασμένον, πἔς τις, φέρε, ἐξ ὡρισμένων καὶ ἀορίςων σύγκειται· πεπερασμένος μὲν ἔτος, ὡς ἁπλῶν ὄντων ἀριθμόν τινα περιέχων, ὃν, ἐς ἄπειρα, μᾶλλον δʼ ἐς πεπερασμένην ποσότητα μερῶν, διαιρεῖσθαι, δυνατὸν ὑποτίθεσθαι, οἷάπερ ἀφηρη-

ϱημένην ἔκτασιν αὐτὸν θεωϱοῦντά με· οὕτω, λαβὼν τὸ τούτου ἥμισυ τῷ νοΐ, εἶτα δὲ τὸ τοῦ ἡμίσεως ἥμισυ; εἶτ᾽ οὖν τὸ ἐκείνου τέταϱτον, καὶ αὖ πάλιν ἔτι τὸ τοῦ τεταϱτημοϱίου ἥμισυ, ἤτοι τὸ αὐτοῦ ἐκείνου ὄγδοον, ἐπ᾽ ἄπειϱον οὕτω τῇ διανοίᾳ χωϱήσω, λαμβάνων ἀεὶ καινὰ ἡμίση τῶν τ᾽ ἀϱιθμῷ αὐξόντων μεϱῶν, ἅπεϱ ἅμα ληφθέντα, οὐκ ἄλλο, ἢ ὁ ὅλος ποὺς αὐτός· κατὰ ταυτὰ δὲ, καὶ ἅπαντα τὰ τῶν ἀπείϱων δεκάτων δέκατα, ἴσα τῷ τοῦ μιλλίου, ἐν οὕγε καὶ πεπεϱασμένου χϱόνου τινος τῷ τέλει, ἐκείνην ἐκεῖνον καταλαβεῖν ἀνάγκη· ὡς ἅπαντα τὰ δέκατα ταῦτα ἐν αὔξουσι τοῦ χϱόνου μέϱεσιν, ὧν τ᾽ ἄθϱοισμα πεπεϱασμένον δίδωσι χϱόνον, αὐτὸν παϱελθόντα.

Οἱ τῶν πάλαι καὶ καθ᾽ ἡμᾶς φυσικευομένων, τὴν τῆς τοπικῆς κινήσεως φύσιν ὁϱίζειν, τῶν δυσκολιῶν συναντῶσιν οὐ μετϱίαις· οἱ ἐκ τοῦ πεϱιπάτου, κίνησις, φασὶν, ἐστὶν, ἐνέϱγεια ἐν δυνάμει, παϱ᾽ ὅσον ἐστὶν ἐν δυνάμει· ἀϱισ. 3. φυσ. κεφ. 11. ἀλλ᾽ ἀσαφέστατος ὤν, ὡς τὰ τῆς κινήσεως ἴδια μὴ ἀναπτύσσων, πϱὸς τϱόπου καὶ ἀποβάλλεται.

Κίνησις ἐστὶν, ἡ σώματός τινος, ἢ ἡ ἐν τούτῳ μέϱους τινος διάβασις, ἐκ θατέϱου εἰς ἕτεϱον τόπον· ὁ τοῦ ἐπικούϱου, ᾧ τῶν καθ᾽ ἡμᾶς ἑπόμενοί τινες, κίνησις, φασὶν, ἐστὶ, διάβασις σώματος, ἐκ διαστήματος εἰς διάστημα· ἀντὶ τοῦ, τόπος, διάστημα ἀποκαθιστῶντες.

Κι-

Κίνησις ἐςὶ, διάβασις, ἢ ἀπόςασις μέρους τȣ τῆς ὕλης, τῶν ἀμέσως τȣ́τῳ συνεχομένων μερῶν, ἐφ᾽ ἕτερα· καρτεσιανῶν· ξυνᾴδων ȣ̃τος τῷ τȣ̃ ἐπικȣ́ρȣ, ȣ̓κ ἄλλῳ τῳ ἐκείνῃ διαφέρει, ἢ ὅτι ἐκεῖνος μὲν, σῶμα ϗ τόπον περιέχει, ȣ̃τος δ᾽, ὕλην ϗ συνέχειαν μερῶν.

Κίνησις ἐςὶν, ἡ σώματός τινος κατὰ διαδοχὴν διάβασις ἀφ᾽ ἑνὸς εἰς ἕτερον τόπον, ἐν ὡρισμένῳ χρόνῳ, ἁρμοζομένȣ κατὰ διαδοχὴν ἅπασι τοῖς τȣ̃ διαςήματος μεσολλαβȣ̃σι μέρεσι· βορέλλȣ ϗ τῶν μετὰ τȣ̃τον νεωτέρων.

ξυνᾴδουσι δὴ, ὡς κίνησις ἐςὶν, ἡ σώματός τινος ἐκ τόπȣ εἰς τόπον μετάθεσις, ὅπȣ μέντοι ἤδε βέβηκεν, ἀλλήλοις πάντι διαφέρονται· κἀντεῦθεν ϗ αἱ κατὰ τȣ́τȣς τῆς κινήσεως διαιρέσεις, διάφοροι.

Ο᾽ ἀρις. ϗ οἱ περὶ τȣ̃τον, εἰς φυσικὴν ϗ βίαιον ταύτην διαιρȣ̃σι· κἀκείνη μὲν, ἧς ἡ ἀρχὴ, εἴτ᾽ ȣ̓̃ν ἡ κινητικὴ δύναμις, τῷ κινȣμένῳ ἐμπεριέχεται, οἷα, ἡ τȣ̃ πρὸς τὸ τῆς γῆς κέντρον φερομένȣ σώματος· αὕτη δὲ, ἧς ἐξωτερικὴ ἡ ἀρχὴ, ϗ ἤγε τὸ κινȣ́μενον ἀνθίςαται, οἷάπερ, ἡ τοῦ πρὸς τ᾽ ἄνω ῥιπτομένȣ λίθȣ.

Εἰς ἀπόλυτον δὲ ϗ σχετικὴν διαιρȣ̃ντων ἐν γένει ταύτην τῶν καθ᾽ ἡμᾶς, ἐκείνη μὲν, ἡ τ᾽ ἀπολύτȣ τόπȣ μεταβολὴ, ἣν ἐν τȣ́τῳ ποιεῖται τὸ κινȣ́μενον, ȣ̓ τὴν ταχύτητα μετρεῖσθαι δεῖ τέλος τῇ τȣ̃ ἐκείνῳ διανυομένȣ ἀπολύτȣ διαςήματος ποσότητι· ὅρα τόπος· αὕτη δὲ, ἡ κοινῇ

σχε-

σχετικȣ̃ τόπȣ μεταβολὴ, ἣν ποιεῖται τὸ κινȣ́μενον, ȣ̓ μετρεῖται ἡ ταχύτης τῇ ποσότητι τοῦ σχετικȣ̃ διαςήματος, ὃ διήνυσε.

Γ'ν' ὅτωπερ ἀλλήλων αὗται διαφέρȣσι, κατίδωμεν, θῶμεν, κινεῖσθαί τι τῶν σωμάτων ἐν νηΐ· ἠμερȣ́σης μὲν ταύτης, ἀπόλυτος, ἡ τȣ́του κίνησις, κινȣμένης δὲ, σχετική· παρὰ γὰρ τὴν ἑαυτȣ̃, καὶ τῆς κατ' ἐκείνην ἔτ' ἐκεῖνο μεθέξει· διανυόντων ἐπὶ μέρη ταὐτὰ, τῆς μὲν, ὁδὸν, φέρε, δυοῖν ποδῶν, τȣ̃ δὲ, ἑνὸς, ἡ μὲν τȣ́τȣ ἀπόλυτος, ποδῶν τριῶν, ἡ δὲ σχετικὴ, ἑνός.

Τὴν σώματός τινος ἀπόλυτον, ἢ σχετικὴν, ἀποφαίνεσθαι κίνησιν, πάντη δυσχερές· ἀνάγκη γὰρ ἔχειν σῶμά τι, ὅγ' ἐνςαθερᾷ ὂν ἠρεμίᾳ γινώσκομεν, καὶ ἀντὶ σημείȣ, ὑπȣργȣ̃ν, ἵνα τὴν τῆς τῶν ἄλλων κινήσεως ποσότητα ἐπιςάμενοι, ταύτην διὰ τȣ́τȣ κρίνωμεν· δίδωσιν ἡμῖν, μᾶλλον δὲ δείκνυσιν ὁ κύριος Νεύθων γενικά τινα τῶν μέσων περὶ τȣ́τȣ ἐν τῷ κατ' ἀρχὰς τῶν αὐτοῦ μαθηματικῶν ἀρχῶν σχολίῳ.

Ἵνα τὰς αὐτȣ̃ ἰδέας ἡμῖν ὁ μέγας ȣ̃τος ἀναπτύξῃ φιλόσοφος, θῶμεν, φησὶν, ἠρτημένας νήματος δύω σφαίρας, κἀν τῷ κενῷ περὶ τὸ τῆς αὐτῶν βαρύτητος κοινὸν κέντρον περιαγομένας· κἄπει, ἐξ ὑποθ. ȣ̓δὲν ἐν τȣ́τῳ τῶν ἄλλων σωμάτων, ᾧ δυνατὸν ταύτας παρατίθεσθαι, αἵδε δὲ περιαγόμεναι, ἀεὶ τὴν αὐτὴν θέσιν πρὸς ἀλλήλας τηρȣ̃σι, κρίνειν, εἰ ἐν κινήσει αὗται, ἢ, ὅθεν κινȣ̃νται, ἄλλως ἀμήχανον, ὅ, τι μὴ τὴν τȣ̃, ὃ ταύτας ξυνδεῖ, νήματος ἐξετάζοντας τάσιν·

διὰ γὰρ ταύτης, γνωσθείσης, δυνατὸν γινώσκειν, πρῶτον μὲν τὴν δύναμιν, ᾗ τοῦ, περὶ οὗ αὗται κινοῦνται, ἄξονος ἀφίςασθαι τείνουσιν, εἶτα δ' ἐντεῦθεν καὶ τὴν τῆς ἐν ἑκατέρᾳ κινήσεως ποσότητα· ἵν' ἤδη τὴν τῆς κινήσεως ταύτης διεύθυνσιν, ἣν ἐξ ἐναντίας ἴσαι ὠθήσεις, κατὰ παραλλήλους διευθύνσεις, ἑκατέρᾳ διδόασι, κατανοῶμεν, αὔξειν, ἢ μειοῦσθαι, δεῖ τὴν τοῦ νήματος τάσιν, τῇ τῶν δυνάμεων, τῶν μᾶλλον, ἢ ἧττον, τῇ πρώτῃ κινήσει ξυμπνεουσῶν, μεταδόσει.

Διὸ καὶ, μεταδιδομένων ταύταις τούτων διευθύνσει, ᾗς καὶ ἡ πρώτη αὐτῶν κίνησις, ἔςαι ἡ τάσις ἥδε, ἡ, ὡς οἷόν τε, μείζων· ὥςε, εἰ κατὰ διαδοχὴν μεταδίδονται αὐταῖς ἴσαι τε καὶ ἐν διαφόροις διευθύνσεσι ςεναὶ κινήσεις, γνωσόμεθα, ὡς, τὰ μέγις' αὐξούσης τῆς τοῦ νήματος τάσεως, αἱ τῶν δυνάμεων μεταδοθεῖσαι διευθύνσεως τυγχάνουσιν, ᾗς καὶ ἡ πρώτη κίνησις, ἐξ οὗ καὶ τὴν διεύθυνσιν ταύτην εἰσόμεθα· ὅπως ἄρα τὴν τῆς δυεῖν μόνων σφαιρῶν κινήσεως ποσότητα καὶ διεύθυνσιν δυνατὸν εὑρεῖν ἐν τῷ κενῷ, ἐκ τούτων δῆλον· τεθέντων ἤδη περὶ ταύτας ὡντινωνοῦν ἄλλων σωμάτων ἐν ἠρεμίᾳ, γινώσκειν, εἴπερ ἐκείναις, ἢ τοῖσδε παρακειμένοις, ἔνεςιν ἡ κίνησις, ἀδύνατον, πλὴν εἰ μὴ θεωρίᾳ, ᾗ καὶ πρότερον, τῆς τοῦ νήματος τάσεως, ἥπερ εὑρεθεῖσα, ἡ τῇ τῶν δυεῖν σφαιρῶν φαινομένῃ κινήσει τυγχάνει ἀνήκουσα· συνάγειν ἄρα δυνατὸν, ταῖς μὲν σφαίραις ἐνεῖναι τὴν κίνησιν, τοῖς δὲ τῶν σωμάτων παρακειμένοις τὴν ἠρεμίαν.

Διαι-

Διαιρȣ̃σι δ' ἕτεροι τὴν κίνησιν εἰς τὴν ἰδίαν, ϗ μὴ, εἴτ' ȣ̓̃ν τὴν ἐξωτερικήν· κἀκείνη μὲν, ἡ ἀφ' ἑνὸς ἰδίȣ τόπȣ ἐφ' ἕτερον, ὃς ἐντεῦθεν ἴδιος ϗ αὐτὸς ȣ̔̃τος καθίϛαται, μετάθεσις σώματός τινος, ὡς ὑπὸ τȣ́τȣ μόνȣ, πλὴν τῶν ἄλλων, πληρȣ́μενος· τοιαύτη, ἡ τȣ̃ ἐν τῷ ὡρολογίῳ τροχȣ̃ κίνησις.

Ἡ μὴ ἰδία, ἐξωτερικὴ, ἀλλοτρία, ἤτοι κοινὴ, ἡ σώματός τινος διάβασις ἐκ κοινȣ̃ τινος τόπȣ ἐπ' ἄλλον τοιȣ̃τον, οἷάπερ, ἡ τȣ̃ ἐν τῇ νηΐ κινȣμένȣ ὡρολογίȣ. κτ.

Ἅπασαι αἱ διάφοροι διαιρέσεις αὗται προκύπτειν δοκȣ̃σι τῆς διαφόρȣ σημασίας, ἣν ἀπονέμȣσι τῇ λέξει, ὁρισμῷ ϗ διαιρέσει ταύτην διαλαβεῖν πᾶσαν βȣλόμενοι.

Οἱ μὲν, διὰ τȣ̃ τῆς, καθ' αὐτȣ̀ς, κινήσεως ὁρισμȣ̃, φέρε, τὸ κινȣ́μενον σῶμα, ȣ̓χ ὡς πρὸς τὰ παρακείμενα, ἀλλὰ πρὸς τ' ἄτρεπτον ϗ ἄπειρον διάϛημα, θεωρȣ̃σιν· οἱ δὲ, ȣ̓χ ὡς πρὸς τȣ̃το, ἀλλὰ πρὸς τὰ πάνυ ἀφεϛηκότα· οἱ δὲ τέλος, ȣ̓ πρὸς ταῦτα, ἀλλὰ μόνον πρὸς τὴν τȣ́τῳ συνεχῆ ἐπιφάνειαν· ὁριζομένων γεμὴν τῶν διαφόρων τῶνδε σημασιῶν, ἡ διαφορὰ ἤδε ὡς λίαν διασαφίζεται· ἐπεὶ γὰρ δυνατὸν τριχῇ θεωρεῖν ἅπαν κινητὸν, ἕπεται ϗ τὰ τῆς κινήσεως εἴδη ὑπάρχειν τρία, ὧν τὸ μὲν πρὸς τὰ τȣ̃ ἀπείρȣ ϗ ἀτρέπτȣ διαϛήματος μέρη ἀναγόμενον, τοῖς περὶ τȣ̃το σώμασι μὴ προσέχοντας, ἀπόλυτον ϗ ἀληθῆ ἰδίαν κίνησιν ἀποκαλεῖν· τὸ δὲ πρὸς τὰ περικυκλȣ̃ντα ϗ πάνυ ἀφεϛηκότα, ἀδυ-

να-

ναῖον κινεῖσθαι, σχετικῶς κοινήν· τὸ δὲ πρὸς τὰς τῶν συνεχῶν καὶ μᾶλλον ἀλλήλοις πελαζόντων ἐπιφανείας ἔσχατον, σχετικῶς ἰδίαν.

Ἀπόλυτος ἄρα καὶ ἀληθὴς ἰδία κίνησις, τοῖς τοῦ ἀπείρου καὶ ἀτρέπτου διαστήματος διαφόροις τῶν μερῶν προσαρμόζεσθαι σώματι· παρὰ ταύτην, ἄλλο τι εἶδος αὐτῆς, ὃ εἴη ἂν ἰδία καὶ ἀπόλυτος κίνησις, οὐκ ἴσμεν· ἀεὶ γὰρ ἥδε ταῖς αὐτῷ τῷ κινητῷ ματαδιδομέναις τῶν δυνάμεων παράγεταί τε καὶ μεταβάλλει, καθ᾽ ἂν ᾖ ἄλλη, ἢ τοιαύτη· ἄλλωστε δὲ, ἵν᾽ ἐν κινήσει τίθηται δι᾽ ὠθήσεως ἅπαντα τ᾽ ἄλλα σώματα, καὶ αἱ τούτων κινήσεις ὦσιν ἀνάλογοι ταύτῃ, τὰς τούτων πραγματικὰς δυνάμεις ἐπ᾽ αὐτὴν χρεὼν ἀνάγειν.

Σχετικῶς κοινὴ κίνησις, ἡ τῆς σώματός τινος θέσεως μεταβολὴ πρὸς τὰ περὶ αὐτὸ, ἡ αὐτὴ οὖσα τῇ, περὶ ἧς φαμὲν, οἱ ἄνθρωποι, αἱ πόλεις, ἡ γῆ αὐτὴ κινεῖται.

Τοιαύτη, ἧς τῶν σωμάτων τι πειρᾶται, ὅτε, εἰ καὶ πρὸς τὰ περὶ αὐτὸ ἠρεμεῖ, πορίζεται μέντοι σὺν τούτοις ὡς πρὸς τ᾽ ἄλλα, ἅπερ, οἷα ἀκίνητα, θεωρεῖται, σχέσεις κατὰ διαδοχήν· ξυμβαίνει δὲ αὕτη, ὅθ᾽ ὁ μὲν τούτων ἀπόλυτος τόπος μεταβάλλει, τηρεῖται δ᾽ ὁ σχετικός· τοιαύτη δὴ, ἡ τοῦ ἐπὶ τῷ καταστρώματι καθεύδοντος ναύτου κίνησις, πρὸς τὴν τῆς κινουμένης νηός· ἢ ἡ τοῦ τετελευτηκότος ἰχθύος πρὸς τὴν τῶν θαλαττίων ῥευμάτων, ἃ τοῦτον παραφέρει.

Ἡ αὐτὴ ὡσαύτως ἐςὶ, περὶ ἧς ὁ λόγος, ὅτε τὴν τῆς σώματός τινος κινήσεως ποσότητα, καὶ τὴν, ἥπερ ἄλλο τι ὠθεῖ, δύναμιν λογιζόμεθα· ἐκπιπτύσης τῆς χειρὸς, φέρε, ξυλίνης σφαίρας, πρὸς μεῖζον βάρος, μολύβδυ ἀνάπλεω, ἔθος ἤδη τήν τε τῆς κινήσεως ποσότητα καὶ τὴν δύναμιν, ἣ τ' ἄλλα κινεῖν ἔχει, λογίζεσθαι διὰ τῆς περὶ αὐτήν γε ταύτην τὴν σφαίραν ταχύτητος, καὶ τοῦ περὶ τὸν αὐτῇ ἐνόντα μόλυβδον βάρυς· ἵν' ἄρα τὴν δύναμιν αὐτὴν καθ' αὑτὴν καὶ τὰ ταύτης ἀποτελέσματα, ὅσα τῇ αἰσθήσει ὑποπίπτει, κρίνωμεν, ὐκ ἀλόγως τῷ τοιῷδε λογισμῷ χρώμεθα, ὡς παρὰ τὴν, ἣν ἐν ταύτῃ θεωρῦμεν, κίνησιν, ὐδεμίαν ἄλλην ἐχύσης τῆς σφαίρας· ταύτῃ καὶ, ὡς ἤδη παρατετήρειται, μόνῳ τῷ τὸν λίθον τῇ γῇ πελάζοντα φαίνεσθαι χρωμένους, ὁρίζειν αὐτὴν ταύτην ἀδύνατον.

Σχετικῶς ἰδία κίνησις, ἡ κατὰ διαδοχὴν προσαρμογὴ σώματός τινος τοῖς τῶν συνεχῶν σωμάτων διαφόροις μέρεσι· σημειωτέον δ', ὡς, λέγοντας, ἡ κατὰ διαδοχὴν προσαρμογὴ σώματός τινος, νοεῖν δεῖ, ἅμα πᾶσαν λαμβανομένην τὴν τύτυ ἐπιφάνειαν, τοῖς τῶν συνεχῶν σωμάτων διαφόροις μέρεσιν ἁρμόζεσθαι· ὕτω σχετικῶς ἰδία κίνησις, ἧς πειρώμεθα, ὅτε, εἰ καὶ ξὺν ἄλλοις τῶν σωμάτων σχετικῶς κοινῇ κινήσει μετατιθέμεθα, τὴν γεμὴν σχέσιν μεταβάλλομεν, ὡς, ἐν τῇ ἀναπεπταμένοις ἱςίοις πλεύσῃ, φέρε, νηῒ, βαδίζοντες· τὴν γὰρ ἐμαυτῦ σχέσιν, ἣν πρὸς τὰ ταύτης, συμπροϊύσης μοι, μέρη ἔχω, ἀεὶ βαδίζων, μεταβάλλω· ξυνόντα μὲν τὰ παντὸς κινυμένυ μέρη, ἐν κοινῇ σχετικῇ κινήσει

πε-

πέφυκε· διαιρέμενα δ' ἀπ' ἀλλήλων ϗ κινέμενα, ἢ πρότερον, σχετικὴν ἰδίαν πορίζονται· πρόσθες ἔτι, τὴν ἀληθῆ ϗ φαινομένην κίνησιν, ἀλλήλων ἔσθ' ὅτε πάνυ διαφέρειν· οἰομένες τὰς, ἃς ἀπολλείπομεν, ὄχθας φεύγειν, ἀφισαμένης τέτων τῆς ἡμᾶς ἀγέσης νηὸς, ἀπατῶσιν ἡμᾶς αἱ αἰσθήσεις, ὃ τε τὰ ὑποκείμενα ἐν ἠρεμίᾳ κρίνειν ξυμβαίνει, ὅθ' αἱ τέτων εἰκόνες ἐπὶ τῇ ἀμφιβληςροειδεῖ τ' αὐτὰ σημεῖα ἀεὶ καταλαμβάνωσι.

Τοῖς περὶ τὴν κίνησιν διαφόροις ὁρισμοῖς τοῖς δε ἰσάριθμοι τε τόπε ἕπονται· ἀληθῆ μὲν γὰρ ϗ ἀπολύτως ἰδίαν κίνησιν ϗ ἠρεμίαν λέγοντες, τόπον ἤδη, τὸ τ' ἀπείρε τε ϗ ἀτρέπτε διαςήματος μέρος, ὃ τὰ σώματα πληροῖ, νοέμεν· κοινὴν δὲ σχετικὴν κίνησιν, τόπον αὖ, τὸ διαςήματός τινος, εἴτ' ἐν διαςάσεως κινέμενον μέρος· ἰδίαν τελος σχετικὴν, ἢ πράγματι πάνυ τι μὴ ἰδίᾳ, τόπον ϗ ἤδη, τὴν τῶν, ὡς ἔγγιςα, παρακειμένων σωμάτων, ἤτοι τὴν τῶν αἰσθητῶν διαςημάτων ἐπιφάνειαν· ὅρα τόπος.

Εἰ ϗ ἡ τῆς ἀνὰ χεῖρας πραγματείας φύσις, ἐν ᾗ δεῖ τὰς τῶν φιλοσόφων δόξας ἑρμηνεύειν, ἐν τῇ, περὶ φύσεως, ὑπάρξεως ϗ διαιρέσεως τῆς κινήσεως, ἡγεμένη ἀκριβολογίᾳ εἰσελθεῖν ἐβιάσατο, προσθεῖναι μέντοι, ὡς ἅπασαι αἱ ἐξετάσεις αὗται, ἀνωφελεῖς ἐν τῇ μηχανικῇ, ἅττε τὴν τῆς κινήσεως ὕπαρξιν ὑποτιθεμένη, ϗ τὴν κίνησιν ὁρίζεσῃ, κατὰ διαδοχὴν προσαρμογὴν σώματός τινος διαφόροις συνεχέσι μέρεσι τ' ἀορίσε

ςȣ διαςήματος, ὅγε, οἷα τόπον τῶν σωμάτων θεωρȣ̃μεν, ἥκιςα δεῖ ἐπιλανθάνεσθαι.

Εἰ ϗ τῷ τῆς ἠρεμίας ὁρισμῷ πάνυ ξυνᾴδουσιν οἱ φιλοσοφȣ̃ντες, ἀλλήλοις μέντοι ϗ διαφέρονται· πότερον, ψιλὴ τῆς κινήσεως ςέρησίς τις, ἢ θετικόν τι αὐτῆς· τῆς μὲν πρώτης δόξης Μαλεμβράγχιος ϗ τῶν ἄλλων ȣ̓κ εὐάριθμοι ἐγένοντο· τῆς δὲ δευτέρας, καρτέσιος ϗ οἱ περὶ τȣ̃τον, διϊσχυριζόμενοι, ὡς, ἀδυνατȣ̃ντος τȣ̃ ἐν ἠρεμίᾳ σώματος, ἐν ταύτῃ διαμένειν, ϗ τοῖς τȣ̃τ᾽ ἐξάγειν αὐτῆς ἐπειγομένοις μὴ ἀνθιςαμένȣ, ἡ μὲν κίνησις, τῆς ἠρεμίας παῦσις, ἢ τȣ̓ναντίον ἐκείνης αὕτη, καλεῖσθαι δύναται.

Ἰσχυρώτερα ἐπιχειρήματα τῶν πρώτων· θῶμεν, ἠρεμȣ́σης σφαίρας τινος, ταύτης τὴν ἠρεμίαν παύειν τὸ θεῖον βȣλόμενον, τίποθ᾽ ἕψεται ἤδη; ἀεὶ ἐν κινήσει μένειν· ἀλλὰ θῶμεν, ὡς αὕτη κινεῖται, τὸ δὲ θεῖον βȣλόμενον αὐτὴν παύειν κινȣμένην, τί ἐκ τȣ́τȣ; παύσεται κινȣμένη, ἤτοι ἠρεμήσει· ἡ γὰρ δύναμις, ᾗ τὸ κινȣ́μενον ἐν τῇ αὐτῇ κινήσει μένει, ἡ τȣ̃ θείȣ θετικὴ θέλησις, ὅθ᾽ ἡ, δι᾽ ἧς τὸ ἠρεμȣ̃ν, ἐν τῇ αὐτῇ ἠρεμίᾳ μένει, ȣ̓δὲν ἄλλο, ἢ ἡ καθόλȣ θετικὴ θεία θέλησις, ᾗ τȣ̃θ᾽ ὑπάρχειν αὐτὸ βȣ́λεται· ἀλλ᾽ ἅπαντα ταῦτα, τὸ ἐν ἀρχῇ αἰτεῖσθαι· ἡ γὰρ δύναμις, εἴτ᾽ ȣ̃ν ἡ ἕνειξις, ᾗ τὰ, εἴτ᾽ ἐν ἠρεμίᾳ, εἴτ᾽ ἐν κινήσει, τῇ αὐτῶν ἐμμένῃ καταςάσει, ȣ̓κ ἄλλ᾽, ἢ ἡ τῆς ὕλης ἀδρανία· ὥςε, εἰ δυνατὸν ἦν τῷ θείῳ, τῆς τȣ̃ σώματος καταςάσεως ἐν ἀκαρεῖ μὴ μέλλειν, κἂν ἀεὶ τῆς τȣ́τȣ ὑπάρξεως ἔμελλεν αὐτῷ, τὸ πρότερον ἐν κινήσει,

ἢ ἐν ἠρεμίᾳ, ἀεὶ ἐν τῇ αὐτοῦ καταστάσει διετέλει· τί ἄρα ποιοῦν τὰ σώματα ἀνθίστασθαι μὲν κατὰ τὴν τῆς αὐτῶν ὕλης ποσότητα, προσβάλλειν δ' ἄλλῳ τῳ ταχύτητι, τῇ δοθείσῃ, τοσούτῳ μείζονι ταχύτητι ἀναγκάζον τοῦτο κινεῖσθαι, ὅσῳπερ ἡ τῆς τοῦ ὠθοῦντος ὕλης πυκνότης τε καὶ ποσότης μείζων τῆς πυκνότητός τε καὶ ποσότητος τῆς ἐν τῷ ὠθουμένῳ ὕλης, ἡ τῆς ὕλης ἀνενεργησία, εἴτ' οὖν ἀδράνεια, τυγχάνει.

Τοὺς τῆς ἐνεργητικῆς, ἢ παθητικῆς, δυνάμεως τῶν ἀλλήλοις προσβαλλόντων σωμάτων τρόπους, δυνατὸν εἰς τρεῖς ἀρχοειδεῖς ἀνάγειν νόμους· Α. τῶν σωμάτων τι ἐν τῇ αὐτοῦ καταστάσει διαμένει, εἴτε τῇ τῆς ἠρεμίας, εἴτε τῇ τῆς κινήσεως, εἰ μὴ τῆς αὐτοῦ ἠρεμίας, ἢ κινήσεως, αἰτία τις τοῦτ' ἐξάγῃ· Β. ἡ τῇ σώματός τινος κινήσει ξυμβαίνουσα μεταβολή, ἀνάλογος ἀεὶ τῇ ἐπὶ τοῦτο ἐνεργούσῃ κινητικῇ δυνάμει, τῇ δὲ ταχύτητι καὶ διευθύνσει τοῦ κινουμένου μεταβολὴ οὐδεμία, ἢ πρὸς ἐξωτερικῆς τινος δυνάμεως· ταύτης γὰρ ἄνευ, γένοιτ' ἂν ἄλογος ἡ μεταβολή· Γ. ἡ ἀντενέργεια, ἀεὶ ἴση τῇ ἐνεργείᾳ· ἐνεργεῖν γὰρ ἐπ' ἄλλῳ τῳ οὐκ ἂν δύναιτό τι τῶν σωμάτων, εἰ μὴ τούτων θάτερον θατέρῳ ἀνθίσταται. οὕτως, ἡ ἐνέργεια καὶ ἀντενέργεια, ἀεὶ ἴσαι τε καὶ ἀντικείμεναι· χρεὼν ἀλλ' οὖν καὶ τούτων ἔτι πλείω θεωρεῖν ἐν τῇ κινήσει, εἴτ' οὖν,

Α. τὴν τῷ σώματι μεταδιδομένην δύναμιν, ἧς ἡ πρώτη αἰτία, τὸ πρῶτον ὄν, ὃ τοῖς αὐτοῦ ἔργοις ἐν τῇ δημιουργίᾳ μετέδω τῆς κινήσεως, κινητικὴ καλεῖται· ἢ τῶν προϊσταμένων φιλοσόφων,

φων, πᾶσαν πραγματικὴν κίνησιν, ἣν ἐν τοῖς σώμασιν ὁρῶμεν, ἀμέσως, πρὸς τοῦ δημιουργοῦ παράγεσθαι, ἰδέα, ἥκιστα φιλοσοφική· ὅτι, εἰ καὶ ὅπως ἐφ᾽ ἕτερον ἤδη μεταβαίνει σῶμα, καταvοεῖν οὐκ ἔχομεν, οὐχ ἧττον μέντ᾽ αἰσθητὸν καὶ ἀναμφίβολλον, ὅτι μεταβαίνει· οὕτως, ἀνατεθείσης τῷ πρώτῳ κινοῦντι τῆς καθόλου μεταδόσεως, ταῖς τῶν αἰτιῶν διαφόροις, ὅσας τὰ τῶν ὄντων αἰσθητὰ παρέχεται, ὅπως τὰς τῶν κινήσεων πραγματικὰς ἑρμηνεύωμεν, δυνατὸν ἀεὶ τὸν νοῦν προσέχειν· τοιαῦται δή, ἡ βαρύτης, ἣ τὴν τῶν οὐρανίων καὶ ἐπιγείων σωμάτων κίνησιν παράγει· ἡ τῆς ἐν ἡμῖν ψυχῆς δύναμις, ἣ τὰ τοῦ ἑαυτῶν σώματος μέλη, καὶ διὰ τούτων τ᾽ ἄλλα τῶν σωμάτων, ἐφ᾽ οἷς ἐνεργεῖ τὸ ἡμέτερον, ἐν κινήσει τίθεται· αἱ τῇ φύσει ἐγκατεσπαρμέναι, ἑλκτικαί, μαγνητικαὶ καὶ ἠλεκτρικαὶ δυνάμεις· ἡ ἐλαστική, ἣ μεγίστην ἔχει τὴν δραστικότητα· τέλος δ᾽ αἱ τῶν σωμάτων, ὅσαπερ ἀλλήλοις ξυναντᾷ, συνεχεῖς προσβολαί· ἀλλ᾽ ἥτις ποτ᾽ ἂν ᾖ τούτων, ἀεὶ ὑπὸ τοὔνομα τῆς κινητῆς δυνάμεως ἤδη ἐννοεῖται, ἧς μείζονι ἀνθιστάσει μὴ ἀναιρουμένης, ἀποτέλεσμα, ἐν μὲν μὴ πρὸς αἴσθησιν ἀνθισταμένῳ μέσῳ καὶ ὡρισμένῳ χρόνῳ κινεῖντι τῶν σωμάτων, ἐφ᾽ ᾧ διάστημά τι διήκειν, ἐν ἀνθισταμένῳ δέ, τῶν τοῦτο κωλυόντων τι ὑπερβαίνειν· τοῖς σώμασιν ἤδη μεταδίδοσι δυνάμεώς τινος, ἧς ὄντ᾽ ἐν ἠρεμίᾳ, οὐ μετεῖχον· οἴκοθεν γὰρ οὐδὲν τούτων τὴν αὐτοῦ μεταβάλλει κατάστασιν· μεταδοθείσης δὴ ἅπαξ τῶν σωμάτων τινὶ ἐν τ᾽ ἀπολύτῳ κενῷ κινήσεως, αἰωνίως τουτί, εἴγε δυνατὸν ἦν, ἐν αὐτῷ καὶ συνεχῶς ἐκινεῖτο, ἀεί ποτ᾽ ἐν ἴσοις χρόνοις διανύον ἴσα διαστήματα, οὐκ τῶν κωλυόντων τι-

τινος ἐν ἐκείνῳ τὴν αὐτȣ̃ δύναμιν μὴ ἀναιροῦντος.

Β. ὡς τȣ̃ χρόνȣ, καθ' ὃν κινȣμενόν τι τῶν σωμάτων, δοθὲν διάςημά τι διήκει, ἀφ' ἑνὸς ἐφ' ἑτερόν τι τῶν σημείων τȣ̃, ἡλικησȣ̃ν βραχύτητος, ζητȣμένȣ διαςήματος, μεταβαῖνον, μέρος, ὃ. τιȣ̃ν οἰχήσεται· ἡ γὰρ ςιγμὴ, καθ' ἣν ἐκεῖνο ἐπὶ τὸ τȣ̃ διαςήματος σημεῖον Α, ȣ̓χ ἡ αὐτὴ τῇ, ἥγ' ἐπὶ τὸ Β. ἅμα γὰρ ὑπάρχειν καὶ μὴ, ἀδύνατον ἅπαν ἄρα διανυόμενον διάςημα, ἐν ὅσῳ ȣ̃ν χρόνῳ διανύεται.

Γ. ὡς τὸ διάςημα, ὃ τῶν σωμάτων τι διανύει, ἡ πρὸς αὐτȣ̃ τȣ́τȣ κινȣμένȣ καταγραφομένη εὐθεία γραμμή· κινȣμένȣ ἄρα τȣ̃ μαθηματικȣ̃ σημείȣ, τὸ τῶν διαςημάτων διανυθησόμενον, μαθηματικὴ ἔςαι γραμμή: ἐπεὶ δὲ τȣ́των ȣ̓δὲν ἀνέκτατον, ταύτῃ καὶ τὸ διάςημα, ἀεὶ πλάτȣς τινος· τὴν ἄρ αὐτῶν τινος ὁδὸν καταμετρȣ̃ντες, ȣ̓κ ἄλλο, ἢ μόνον τὸ ταύτης μῆκος περιεργαζόμεθα.

Δ. ἡ τῆς κινήσεως ταχύτης, ἐςὶν ἡ ἰδιότης, ᾗ τὸ κινητὸν ἐν χρόνῳ διάςημά τι διανύει, τοσȣ́τῳ μείζων, ὅσῳπερ ἐν βραχυτέρῳ χρόνῳ μεῖζον διάςημα διήκει· ἐὰν τὸ Α σῶμα ἐν λεπτοῖς δυσὶ διάςημά τι διήκῃ, ȣ̓γε τὸ Β ἐν τέτταρσιν, ἡ ἐκείνȣ ταχύτης, τῆς τȣ́τȣ διπλασία· κίνησις, ἄνευ οἱασȣ̃ν ταχύτητος, ȣ̓δεμία· ἅπαν γὰρ διάςημα ἐν χρόνῳ, ὅς, μείζων, ἢ ἐλάττων, διανύεται· διάςημά τι, φέρε, ποδιαῖον δυνατὸν πρὸς σώματός τινος διανύεσθαι ἐν ὥρᾳ

ἢ

ἢ λεπτῷ, ὃ ταύτης ἑξηκοστημόριον, ἤτοι 60ον, ἢ δευτέρῳ, ὃ τούτου 3600ον, κτ. ἡ τούτου κίνησις, εἴτ' οὖν ἡ ταχύτης, μονοειδὴς, ἤτοι ἁπλῆ, ἢ μὴ, ἐπιταχυνομένη, ἢ ἐπιβραδυνομένη, ἰσάκις, ἢ ἀνισάκις, ἐπιταχυνομένη, ἢ ἐπιβραδυνομένη, εἶναι δύναται. ὅρα ταχύτης.

Ε τὸν τῶν σωμάτων ὄγκον, δι' οὗ τῇ τούτοις μεταδιδόναι, ἢ τούτων ἀφαιρεῖν τὴν κίνησιν, ἐπειγομένῃ δυνάμει ταῦτ' ἀνθίσταται, τῇ τε κινήσει καὶ ἠρεμίᾳ ἐπίσης ἀνθιστάμενα· οὗ σ' ἀναγκαία τις ἀκολουθία τῆς κατὰ τὴν ἐν τούτοις ἀδράνιαν δυνάμεως ἡ ἀνθίστασις ἤδε, ἀνάλογος τῇ τῆς αὐτῶν ἰδίας ὕλης ποσότητι, ὡς ἀνηκούσης τῆς ἐν τῇ ἀδρανίᾳ δυνάμεως ἑκάστῳ τῶν τῆς ὕλης μορίων· τοσούτῳ μᾶλλον ἄρα τῇ κινήσει, ἧς τούτῳ μεταδιδόναι βουλόμεθα, ἀνθίσταταί τι τῶν σωμάτων, ὅσῳ μείζω ποσότητα τῆς ἰδίας ὕλης περιέχει, εἴτ' οὖν ὅσῳ μείζονα ἔχει τὸν ὄγκον, ὄντων ἐν ἰσότητι τῶν ἄλλων ἁπάντων· οὕτως, ὅσῳ μείζονα ὄγκον ἔχει τῶν σωμάτων τι, τοσοῦτον ἐλάττω ταχύτητα ἐπιδέχεται τῇ αὐτῇ θλίψει, καὶ ἀνάπαλιν· αἱ ἄρα τῶν ἴσας θλίψεις ἐπιδεχομένων ταχύτητες, ἐν ἀντιστρόφῳ λόγῳ τῶν περὶ ταῦτ' ὄγκων τυγχάνουσι. διὰ τὸν αὐτὸν λόγον, τοσούτῳ δυσχερεστέρα εἶναι ἡ σώματός τινος κίνησις, ὅσῳ μείζων ὁ τούτου ὄγκος· ἴσαν γὰρ τὴν τοῦ οἱαδήποτε ταχύτητι κινουμένου κίνησιν, τῆς αὐτῆς ἡμῖν δυνάμεως δεῖ, ἧς καὶ τούτῳ μεταδιδόναι τῆς, ἣν ἀπώλεσε, ταυτοβαθμίου ταχύτητος· ἡ ἀνθίστασις ἤδε, ᾗ ἅπαν σῶμα τῇ τῆς αὐτοῦ πρώτης καταστάσεως μεταβολῇ ἀνθίσταται, τοῦ τῆς κινήσεως, δι' ἧς ἴση ἀεὶ τῇ ἀντενεργείᾳ ἡ ἐνερ-

ἐνεγεια, καθόλε τᾶδε νόμε βάσις, ὃν ἀνάγκη ἀποκαθιςᾶν, ἐφ' ᾧ τά τε σώματα πρὸς ἄλληλα ἐνεργεῖν ἔχειν, καὶ τὴν ἐν τῷ παντὶ ἅμα ἅπαξ παραγομένην κίνησιν, δυνατὴν ὑπάρχειν ἀφ' ἑνὸς ἐφ' ἕτερον τέτων ἀποχρῶντι λόγῳ μεταβαίνειν, ἢ ἄνευ ἐνέργειαν ἔχειν, ἀμήχανον· πῶς γὰρ ἂν ἐνεργήσῃ ἡ δύναμις, ἧ ἐδεμία ἀνθίςασις; ἕλκων σχοίνῳ τι τῶν σωμάτων, ὅσῃ ποτ' ἂν τεθ' ἕλκω εὐκολίῃ, πρὸς ἀμφοτέρων αὐτη τείνεται, ὃ τὴν τῆς ἀντενεργείας δηλοῖ ἰσότητα· εἰμὴ γὰρ ἐτείνετο αὕτη, ἐδ' ἂν ἔγωγε τεθ' εἷλκον· οἱ ζητᾶντες, πῶς ἂν ἕλκειν τι τῶν σωμάτων δυναίμην, εἴπερ ἴσῃ δυνάμει τῇ, ἣν ἕλκειν τετὶ δαπανῶ, πρὸς αὐτᾶ τεθ' ἑλκοίμην; ὅσοι, φημὶ, τὴν ἀνθίςασιν ταύτην προτείνεσιν, ἀγνοεῖν μοι δοκᾶσιν, ὡς ἕλκων αὐτὸ, ἐχ ἁπάσῃ χρῶμαι τῇ ἐμαυτᾶ δυνάμει, ὅπως τὴν, ἥμοι τετ' ἀντιτείνει, ἀνθίςασιν ἀναιρήσω, ἀλλ' ἴσῃ τῇ ἐκείνε, ἡ τὴν ἐκείνε ἀνθίςασιν νικήσαντι, τῇ λειπομένῃ μοι, ὑπὲρ τὴν αὐτᾶ ἀνθιςαμένην μοι καὶ μεταδιδομένην αὐτῷ, χρώμενος, ἐμαυτόν τε κἀκεῖνο προάγω· ὥςε, καί περ ἐσῶν ἀνίσων τῶν δυνάμεων, ἡ γεμὴν ἐνέργεια καὶ ἀντενέργεια, ἀεὶ ἴσαι· ταύτη καὶ ἡ τέτων ἰσότης, αἴτιον τᾶ πάσας τὰς κινήσεις παράγεσθαι.

ϛ. Τὴν τῆς κινήσεως ποσότητα, ἥτις ἐν ἀπειράκις ἐλαχίςῃ ςιγμῇ, ἀνάλογος τῷ τε ὄγκῳ καὶ τῇ ταχύτητι τᾶ κινεμένε· ὥςε ταχύτερον κινέμενον αὐτὸ τετο, μείζω τὴν κίνησιν ἔχει, καὶ δυοῖν σωμάτων, ὧν ἴση ἡ ταχύτης, τὸ μείζονα ὄγκον ἔχον, μείζω ἔχει καὶ τὴν κίνησιν· τὴν γὰρ ἐ τῷ ἐν σώματι μεταδιδομένην κίνησιν, ἐς τοσαύ-

το

το μερη δυνατὸν εννοεῖν διῃρημένην, ὅσα τῆς ἰδίας ὕλης αὐτὸ τοῦτο περιέχει. ἡ δὲ κινητικὴ δύναμις ἑκάστῳ τῶν μερῶν ανήκει, ὅσα τῆς τοῦ σώματος τοῦδε κινήσεως ἐπίσης μετέχει ἐν ευθεῖ λόγῳ τοῦ περὶ ταῦτα μεγέθους· οὕτως, ἡ τοῦ ὅλου κίνησις, τὸ τῆς τῶν μερῶν ἁπάντων κινήσεως ἄθροισμα· καὶ επομένως διπλασία εν τῷ, ὅπερ ὁ ὄγκος, διπλάσιος τοῦ εν ἄλλῳ τῳ, κινουμένων ἀμφοῖν ταχύτητι τῇ αὐτῇ.

Ζ. Τὴν τῆς κινήσεως διεύθυνσιν· ἄνευ γὰρ εἰδικοῦ πέρατος κίνησις, οὐδεμία· οὕτω πᾶν κινούμενον, ἀεὶ πρός τι τῶν σημείων τείνει, οὐ πλείοσιν, ἢ μιᾷ τινι τῶν δυνάμεων εἶκον, ἐφ' ἕν τι καὶ μόνον τούτων αὐτὸ διευθυνούσῃ, ἁπλῇ κινήσει κινημένον· σύνθετος δὲ κίνησις, ἐν ᾗ πλείοσι τῶν δυνάμεων, περὶ ὧν εἰρήσεται, εἴκει τὸ κινητόν· ἐν τῇ ἁπλῇ κινήσει ἡ ἐκ τοῦ κινητοῦ ἀγομένη εὐθεία ἐπί τι τῶν σημείων, ἐφ' ὃ τείνει, τὴν τῆς τούτου κινήσεως διεύθυνσιν παρίστησιν. ὁ κινηθὲν, ᾗπερ τὴν εὐθείαν ταύτην διήξει· οὕτως ἅπαν κινούμενον ἁπλῇ κινήσει, εὐθείαν γραμμὴν, ὅτε κινεῖται, καταγράφει.

Δυνατὸν ἄρα τὴν κίνησιν, οἷα τι εἶδος ποσότητος, θεωρεῖν, ἧς τὴν ποσότητα, ἢ τὸ μέγεθος, ὅπερ ενίοτε καὶ ῥοπὴν ὡσαύτως καλοῦσι, λογιζόμεθα, Α. διὰ τοῦ τῆς γραμμῆς, ἣν καταγράφει τὸ κινητὸν, μήκους· οὕτω, διερχομένου σώματός τινος ἑκατὸν ποδῶν διάστημα, ἡ τῆς τούτου κινήσεως ποσότης, μείζων, ἢ εἰ δέκα διῆλθε· Β. διὰ τῆς εν τῇ ὕλῃ ποσότητος. τῇ ἅμα, ἤτοι εν τ' αὐτῷ χρόνῳ κινουμένῃ, εἴτ' οὖν ἰδίᾳ τοῦ

φυ-

φυράματος, ἤτοι τῆς τοῦ σώματος στερεᾶς ἐκτάσεως, ἀλλὰ τοῦ ὄγκου. εἴτ' οὖν τοῦ ἐν τούτῳ βάρους· ὅτε γὰρ ἀὴρ καὶ αἱ τῶν ἄλλων ὑλῶν λεπταὶ, ὧν οἱ τῶν σωμάτων πόροι, πλήρεις, ἐνταῦθα, εἴτ' οὖν ἐν τῷ τῆς γραμμῆς λογισμῷ χώραν οὐκ ἔχουσιν· οὕτω, διερχομένου σώματός τινος, ὅ κυβικῶν ποδῶν δυοῖν, ἑκατὸν ποδῶν γραμμὴν, ἡ τῆς τούτου κινήσεως ποσότης, μείζων. ἢ ἡ τῆς τοῦ, ὅ κυβικοῦ ποδὸς, τὴν αὐτὴν γραμμὴν διήκοντος· ἡ γὰρ ὁλικὴ κίνησις, ἣν τῶν δυοῖν θάτερον ἔχει, τῷ τοῦ ἑτέρου ἡμίσει ἐνυπάρχει· ἡ δὲ σώματός τινος ὁλικὴ κίνησις, τὸ τῆς κινήσεως τῶν ἐν τούτῳ μερῶν κεφάλαιον.

Ἕπετ' ἐντεῦθεν, ὡς, ἵν' ἴσας κινήσεις, ἢ ῥοπὰς, ἔχῃ δύο σώματα, τὰς, ἃς γ' ἑκάτερον διέρχεται, γραμμὰς ἐν ἀντιστρόφῳ λόγῳ τῶν περὶ ταῦτ' ὄγκων δέον ὑπάρχειν, εἴτ' οὖν, ἐὰν θάτερον τούτων τριπλασίαν ἔχῃ ποσότητα ὕλης, ἢ τὸ ἕτερον, τὴν, ἣν ἐκεῖνο διήξει, γραμμὴν, τριτημόριον εἶναι δεῖ τῆς, ἣν τοῦτο διελεύσεται· οὕτω, τῶν τρυτάνης, ἢ μοχλοῦ τινος, ἄκρων ἀρτώμενα δύο τῶν σωμάτων, καὶ ὄγκους ἐν ἀντιστρόφῳ λόγῳ τ' αὐτῶν διαστήματος ἀπὸ τοῦ ἐν τῷ ὑπομοχλίῳ σημείου ἔχοντα, γραμμὰς ἐν ἀντιστρόφῳ λόγῳ τῶν ἐν αὐτοῖς ὄγκων, κινούμενα, καταγράψει.

## Ὑπόδειγμα.




Ἐὰν

Ἐὰν, φέρε, ὁ τȣ̃ σώματος Α ὄγκος, τριπλάσιος ᾖ τȣ̃ ἐν τῷ Β, ὧν ἑκάτερον τῶν τοῦ ΑΒ μοχλȣ̃, κ̀ τὸ ὑπομόχλιον, ἤτοι τὸ ϛερεὸν σημεῖον, ἐπὶ τὸ Γ, ἄκρων ȣ̃τως ἀναλόγως ἤρτηνται, ὡς, ἐπεὶ τὸ Β τȣ̃ Α ὑποτριπλάσιον, τὸ ΒΓ διάϛημα, τριπλάσιον εἶναι τȣ̃ ΑΓ, ὁ μοχλὸς ȣ̃τος ἤδη κινεῖσθαί ποθεν ȣ̓κ ἂν δύναιτο, ἢ εἰ τὸ ΒΓ διάϛημα, ὃ τὸ τῶν σωμάτων ἔλαττον διήκει, τριπλάσιον μὴ ᾖ τȣ̃ ΑΓ, ὃ παρ' αὐτȣ̃ τὸ μεῖζον διήκει· ἄμφω ἄρ' ȣ̓κ ἂν, ἢ τῶν δυνάμεων ἴσαις, ἐκινεῖτο· λόγον ἤδη, δι' ὃν, ὄντων ἐν ἴσοις διαϛήμασιν ἀπὸ τȣ̃ ὑπομοχλίȣ δυοῖν ἴσων σωμάτων, τὸ μὲν Α, φέρε, τεῖνον πρὸς τὰ κάτω βαθμοῖς κινήσεως τέσσαρσι μᾶλλον ἂν αἴροι τὸ Β, ἢ τεῖνον ἐξ ἴσȣ πρὸς τ' αὐτὰ κάτω τὸ Β τοῖς αὐτοῖς τέσσαρσι βαθμοῖς τῆς κινήσεως ȣ̓κ ἂν τὸ Α αἴροι, ȣ̓δένα ἂν ἔχοιμεν· ταῦτ' ἄρα κ̀ ὀρθῷ συνάγεται λόγῳ, ὡς ἐν ἰσοϛαθμίᾳ μενȣ̃σι, κ̀ δυνατὸν τῆς ἀρχῆς ταύτης ἅπασαν τὴν τῆς μηχανικῆς ἐπιϛήμην ἐξάγειν.

Ζητεῖται, πότερον, ἡ τῆς κινήσεως ποσότης, ἡ αὐτὴ ἀεί; ἀπαντῶσιν οἱ περὶ καρτέσιον, ὡς πρῶτον ὁ δημιȣργὸς τοῖς σώμασι μετέδω ποσότητός τινος τῆς κινήσεως, νόμῳ δὲ τοιῷδε, ὡς ἐν παντὶ εἰδικῷ σώματι ȣ̓δὲν τῶν ταύτης μερῶν ἀπόλλυσθαι, μὴ ἐπὶ τὰ τῆς ὕλης λοιπὰ μεταβαῖνον· κἀντεῦθεν συνάγȣσιν, ὡς, ἐὰν κινητόν τι ἑτέρῳ προσβάλῃ, τὸ πρῶτον τῆς αὐτȣ̃ κινήσεως ȣ̓ μεῖζον ἀπωλέσει, ἢ ὅσης τῷ δευτέρῳ μεταδώσει.

Ἀντιςρέφει τὴν ἀρχὴν ταύτην ὁ νεύθων, ἐφ' ὅρους τοιούσδε· αἱ τῶν ξυνθέσεων διάφοροι, ἃς δυνατὸν ἐκ δυεῖν κινήσεων γίνεσθαι, παριςᾶσι δήπου, ὡς οὐδεμία κίνησις ἐν τῷ παντὶ, ἀεὶ ἡ αὐτή· ἐὰν γὰρ νήματι ξυνημμένας ἀλλήλαις, θῶμεν, σφαίρας δύω, μονοειδεῖ, εἴτ' οὖν ἁπλῇ κινήσει περὶ τὸ τῆς αὐτῶν βαρύτητος κοινὸν κέντρον περιάγεσθαι, ἅμα δὲ μεταφέρεσθ' ἁπλῶς τοῦτο ἐπί τιν' εὐθεῖαν ἐν τῷ τῆς αὐτῶν κυκλικῆς κινήσεως ἐπιπέδῳ ἀγομένην, τὸ τῆς ἀμφοῖν κινήσεως ἄθροισμα, μεῖζον, ὅθ' ἡ ταύτας ξυνάπτουσα γραμμὴ κάθετος τῇ τοῦ κέντρου διευθύνσει, ἢ ὅτε ἐν τῇ αὐτῇ διευθύνσει τούτῳ αὕτη, ἐξ οὗ δῆλον, ὡς δυνατὸν, παράγεσθαί τε καὶ ἀπόλλυσθαι τὴν κίνησιν· ἔτι δὲ τὸ τῶν ῥευςῶν ἰξῶδες, ἡ τῶν περὶ ταῦτα μερῶν τριβὴ, ὡς καὶ ἡ τῆς τούτων ἐλαςικῆς δυνάμεως ἀδυναμία, πείθουσιν, ὡς πρὸς ἀπώλειαν μᾶλλον, ἢ παραγωγὴν, τῆς κινήσεως ἡ φύσις τείνει. ἀληθὲς ὁμοίως, ὡς ἡ τῆς κινήσεως ποσότης ἀεὶ μειοῦται· τὰ γὰρ πρὸς ἀκρίβειαν σκληρὰ, ἢ ἁπαλὰ, οὐδεμίαν ἔχοντα δύναμιν ἐλαςικὴν, οὐδόλως, μετὰ τὴν προσβολὴν, ἀναπηδῶντα, κινεῖσθαι συνεχῶς μόνον τ' αὐτῶν ἀδιάβατον κωλύει ταῦτα· καὶ ἐὰν δύω ταὐτοειδῆ τε καὶ ἴσα ἀλλήλοις ἐν τῷ κενῷ συναντῶσι ταχύτησιν ἴσαις, οἱ τῆς κινήσεως νόμοι διδάσκουσι, μένειν ἐν οἱῳδήποτ' ὦσι, τόπῳ δεῖν, τὴν αὐτῶν ἀπωλέσαντα κίνησιν· οὕτω, δύω ἴσα τούτων, ἀντικειμένας ἔχοντα κινήσεις, μετὰ τὴν προσβολὴν, μεγάλην ἐπιδέχεσθαι κίνησιν, οὐ δύνανται, εἰ μὴ πρὸς μόνης τῆς ἐλαςικῆς δυνάμεως, ταύτην δὲ τοσαύτην ἔχοντα, ὡς ἀναπη-

δᾶν μετὰ $\frac{3}{4}$, $\frac{1}{2}$, $\frac{2}{3}$, τῆς, ἥπερ ἀλλήλοις συνήντησαν, δυνάμεως, ἐν ταῖς τῶν ξυμβάντων τούτων διαφόροις, ἀπωλέσουσι τῆς αὐτῶν κινήσεως, $\frac{1}{4}$, $\frac{1}{2}$, $\frac{1}{3}$, οὕτω πείθουσιν αἱ πεῖραι· ἐὰν γὰρ δύω ἴσα τῶν αἰωρητῶν, μολύβδου, ἢ ἀπαλῆς οὔσης ἀργίλης, ἐκ τοῦ αὐτοῦ ὕψους κἀν τῷ αὐτῷ ἐπιπέδῳ πίπτωσιν, ὡς καὶ προσβάλλειν ἀλλήλοις, τὴν αὐτῶν ἀπωλέσουσι κίνησιν, εἰ καὶ μὴ πᾶσαν, μερικὴν ἀλλ' οὖν πάντως· ὄντα δ' ἐλαστικῆς τινος ὕλης, τῆς αὐτῶν κινήσεως οὐ τηρήσουσιν, ἢ ὅσην ἡ αὐτῶν ἐπιδέχεται ἐλαστικὴ δύναμις.

Ζητουμένου, ὅπως ξυμβαίνει, ἵν' ἡ κίνησις, ἥγ' ἐν ἑκάστῃ στιγμῇ ἀπόλλυται, συνεχῶς ἀνανεῶται, ὁ αὐτὸς οὗτος καθηγητὴς προστίθησιν, ὡς πρὸς ἐνεργητικῆς ἀρχῆς ἀνακαινίζεται, οἷα, ἡ τῆς βαρύτητος αἰτία, ᾗ τὴν αὐτῶν κίνησιν ἐν ταῖς αὐτῶν κυκλοφορίαις διατηροῦσιν οἵτε πλανῆται καὶ κομῆται, καὶ ἅπαντα τὰ σώματα ἐν τῇ αὐτῶν πτώσει μέγιστόν τινα βαθμὸν κινήσεως πορίζονται· ἡ τοῦ βρασμοῦ, ὃς ἐν τῇ τῶν ζώων καρδίῃ καὶ τῷ αἵματι τὴν θερμότητα καὶ κίνησιν συνεχῆς διασώζει, καὶ κατὰ συνέχειαν ἐνθερμότητι τὰ τῆς γῆς ἐσωτερικὰ μέρη διαφυλάττουσα, πλείω τῶν σωμάτων καὶ τὸν ἥλιον αὐτὸν πυρσοῖ· ἡ τῆς ἐλαστικότητος, ᾗ τὰ σώματα ἐπὶ τ' αὐτῶν πρῶτον εἶδος ἐπανάγεται· ἐν τῷ παντὶ γὰρ οὕτω πᾶσα κίνησιν ἄλλην οὐχ εὑρήσομεν, ἢ τὴν παραγομένην, ἤτοι ἐκ τῶν ἐνεργητικῶν ἀρχῶν τῶνδε, ἢ τῆς κατὰ βούλησιν ἐπιταγῆς.

Πε-

Περὶ δὲ τῆς ἐν κινήσει συνεχείας, εἴτ' ἂν τῆς αἰτίας, ἢ κινούμενον ἅπαξ τι τῶν σωμάτων, ἐν τῇ αὐτῇ καταστάσει διαμένει, διαφέρονται οἱ φιλοσοφοῦντες, ἢ προδεδήλωται· ἔστι γε μὴν ἀποτέλεσμά τι, αὐτη, ὃ τῶν τῆς φύσεως ἀρχοειδῶν νόμων τινος προδήλως πηγάζει, ἤτοι τοῦ, ὡς ἅπαν σῶμα ἐν τῇ καταστάσει τῆς αὐτοῦ κινήσεως, ἢ ἠρεμίας, διαμένει, εἰ μὴ πρὸς ἀλλοτρίων δυνάμεων κωλύνηται· ἐντεῦθεν ἕπεται, ὡς ἅπαξ ἀρχομένη κίνησίς τις, ἐπ' ἄπειρον διαρκοίη, εἰ μὴ πρὸς διαφόρων αἰτιῶν ἀπείργηται, οἷα, ἡ τῆς βαρύτητος δύναμις, ἡ τοῦ μέσου ἀνθίστασις, κτ. ὥστε, ἡ κατ' Ἀριστοτέλη ἀρχὴ, ὡς πᾶσα οὐσία ἐν κινήσει τὴν ἠρεμίαν διατίθησι, ἐστὶν ἄνευ βάσεως.

Οὐχ ἧττον δὲ διαφέρονται, περὶ τῆς ἐν τῇ κινήσει μεταδόσεως, ἤτοι τοῦ τρόπου, ᾧ τὰ τῶν σωμάτων κινούμενα πρὸς ἄλλων ἐν ἠρεμίᾳ διατίθεται, ἢ περὶ τῆς ἐν κινήσει τέλος ποσότητος, ἧς τὰ πρῶτα τοῖς δευτέροις μεταδίδωσι.

Παρατετήρηται ἡμῖν, ὡς ἡ κίνησις, τὸ τῆς μηχανικῆς ὑποκείμενον, ἡ δὲ μηχανικὴ, βάσις πάσης τῆς φυσικῆς φιλοσοφίας, ἢ δι' οὐδὲν ἄλλο καλεῖται μηχανικὴ, ἢ διὰ τὸν λόγον τόνδε.

Τῷ ὄντι δὲ, ἅπαντα τὰ τῆς φύσεως φαινόμενα, ἁπάσας τὰς ἐν τῷ συστήματι τῶν σωμάτων ξυμβαινούσας μεταβολὰς, τῇ κινήσει χρεὼν ἀπονέμειν, ὡς διὰ τῶν ταύτης νόμων κανονιζόμενα.

Ἡ ἄρ αἰτία, ἡ τοὺς καθ' ἡμᾶς φιλοσόφους ἅπαντας προτρέπει, ἵνα μετὰ τοσαύτης σπουδῆς τῇ ἐπιστήμῃ ταύτῃ ἀσχολῶνται, τάς τε ἰδιότητας καὶ τοὺς νόμους τῆς κινήσεως, εἴτε πείρᾳ, εἴτε καὶ ξυνάμα ταύτῃ τῇ τῆς γεωμετρίας χρήσει, ζητοῦντας, ἤδε ταύτῃ καὶ τῆς οὐ μετρίας ἐπιδόσεως, ἣν ἡ καθ' ἡμᾶς φιλοσοφία ὑπὲρ τὴν τῶν πάλαι πορίζεται, τοῖς τούτων πόνοις ὀφειλέται τυγχάνομεν· τῆς γὰρ κινήσεως ἐκεῖνοι, (εἰ καὶ ἄλλοθεν οὕτω τῆς περὶ ταύτην ὠφελείας ᾐσθῆσθαι ἐδόκουν, ὡς καὶ τῆς τῶν ὄντων κινήσεώς τε καὶ ἠρεμίας πρώτην ἀρχὴν τὴν φύσιν ὁρίζειν), πάντῃ πάντως ἠμέλουν.

Ἐν ταῖς τῶν πάλαι βίβλοις, τὰ ἐν ταῖς τ' ἀρχιμήδου περὶ ἰσοσταθμίας, βραχέα ἐξαιρούμενός τις, οὐδὲν ἂν πλεῖον περὶ κινήσεως εὕρῃ· τὸ γὰρ περὶ τὴν κίνησιν μεῖζον μέρος, τοὺς ταύτης καθόλου κανόνας, καὶ ταῦτα τὸν τῆς καθόδου τῶν βαρέων, ὅσα καθέτως, ἢ ἐν ἐπιπέδῳ κεκλιμένῳ, πίπτει, τοὺς τῶν δι' αὐτῆς προσβολῶν, τῶν περὶ τὰ αἰωρητὰ κραδάνσεων, κτ. ὑποκείμενα, ὧν οἱ πάλαι πάνυ βραχεῖαν ἐκτῶντο τὴν γνῶσιν, ἀνακαλύψαντι τῷ γαλιλαίῳ ὀφείλομεν.

Τοριχέλλιος, ὁ τούτῳ μαθητεύσας, τὰς αὐτοῦ ἀνακαλύψεις ἀποπληρώσας, ηὔξησε, διαφόρους πείρας τῆς περὶ τὴν προσβολὴν δυνάμεως καὶ τῆς τῶν ῥευστῶν ἰσοσταθμίας προσθεὶς ταύταις· τὴν δὲ τῶν αἰωρητῶν ἐπιστήμην καὶ τὴν τῆς προσβολῆς θεωρίαν οὐ μετρίως παρ' αὐτοῦ ὁ οὐγένιος ἀπήρτισε· τέλος γε μὴν μᾶλλον καὶ μᾶλλον τὴν τῆς κινήσεως ἐπιστήμην ἐς τελειότητα ἤγαγον

Νεύ-

Νεύθων ϗ Λεϊβνίτιος, Βαρυγνόνιος ϗ Μαριώτης, κτ.

Τὴν κίνησιν, οἷα μονοειδῆ ϗ διαφέρουσαν, εἴτ' οὖν, ὡς ἐπιταχυνομένην ϗ ἐπιβραδυνομένην, δυνατὸν θεωρεῖν, ϗ τὴν μὲν πρώτην, ὡς ἁπλῆν, τὴν δὲ δευτέραν, ὡς σύνθετον· ταύτην δ' αὖ, ὡς εὐθύγραμμον, ἢ κυρτόγραμμον· ξυνάμα δὲ πάσας, ἤτοι καθ' αὑτὰς, ἢ ὡς πρὸς τὰ ἑαυτῶν παραγόμενα, ϗ τὴν αὐτῶν διὰ τῆς προσβολῆς μετάδοσιν.

## Τὶ μονοειδὴς κίνησις μηχανική.

Μονοειδὴς, εἴτ' οὖν ἁπλῆ κίνησις, ἡ σώματός τινος, ὅπερ ἐν ἴσοις χρόνοις ἴσα διήκει διαστήματα· τοιαύτη, πρὸς αἴσθησιν, ἡ τῆς τοῦ ὡροδείκτου βελόνης, ἢ ἡ τοῦ αἰωρητοῦ, κτ.

Διὰ ταύτης κοινῇ τὸ τοῦ χρόνου μέτρον ζητοῦμεν, ϗ ὅρα τὸν λόγον· οὔσης καθ' αὑτὴν πάντῃ ἀγνώστου τῆς τῶν μερῶν τοῦ χρόνου σχέσεως, ἕπετ' οὖν τεῦθεν, ἵνα ταύτην ἀνακαλύπτωμεν, δεῖν αἰσθητόν τι ϗ μᾶλλον ἐγνωσμένον μέσον ζητεῖν, ᾧ ἂν αὐτὴν παραβάλλειν ἔχοιμεν· ἀλλὰ τοῦτ' οὐκ ἂν ἄλλως εὕροιμεν, ἢ εἰ παραθείημεν ἐκείνην τὸν ἐνόντα ἁπλούστατον τρόπον τῇ, ἣν ἁπασῶν τῶν σχέσεων μᾶλλον γινώσκομεν· ταύτην δ' ὑπάρχειν, παρὰ τὴν μονοειδῆ κίνησιν, ἄλλην, ϗ ταυθ' ἁπλουστέραν ταύτης, οὐκ ἂν εἴη. τὸ ἄρ' ἁπλούστερον μέτρον τοῦ χρόνου, ἦδε πέφυκε, τοῦτο μὲν, ὡς ἡ τῶν τῆς εὐθείας γραμμῆς μερῶν σχέσις, ἡ ῥᾷστη πασῶν γινώσκεσθαι, τοῦ-

το δ', ὡς τῶν σχέσεων ῥαοτέρας ἀλλήλαις παραβάλλεσθαι, ὐκ ἴσμεν, ἢ τὰς ἴσας· ἀλλ' ἐν τῇ μονοειδεῖ κινήσει, ἡ τῶν τῦ χρόνυ μερῶν σχέσις, ἴση τῇ τῶν ἀνταποκρινομένων μερῶν τῆς διανυομένης γραμμῆς· ἡ ἄρα μονοειδὴς κίνησις, ἀεὶ τὸ μόνον μέσον τῦτε τὴν σχέσιν τῶν τοῦ χρόνυ μερῶν παραβάλλειν τῇ μᾶλλον ἡμῖν αἰσθητῇ, καὶ τὴν παραβολὴν ταύτην γίνεσθαι τὸν ἁπλύστερον τρόπον· τ' ἄρ' ὃ εὕρηται, ἁπλύστερον μετρον τῦ χρόνου, ἡ μονοειδὴς τυγχάνει κίνησις.

Φημὶ δ', ἐκτὸς τύτων, ὡς τὸ τῦ χρόνου μέτρον, ἐστιν ἡ, παρὰ τὴν ἁπλότητα, μονοειδὴς κίνησις, ἢ, φυσικώτερον σκεπτόμενοι, χρώμεθα· ἰωόντι γὰρ, ἐπεὶ ὐδεμία πέφυκε σχέσις, ἣν ἀκριβέστερον ἐπιστάμεθα, ἢ ἡ τῶν τῦ διαστήματος μερῶν, καὶ, ἐν γένει, ἡ οἷα δήποτε κίνησις, ἡ, δοθέντος τοῦ ταύτης νόμυ, ἐπὶ τὴν ἀνακάλυψιν τῆς τῶν τῦ χρόνυ μερῶν σχέσεως ἡμᾶς ἄγοι τῇ ἐγνωσμένῃ ἀναλογίᾳ τῆς σχέσεως ταύτης μετὰ τῆς τῶν μερῶν τῦ διανυομένυ διαστήματος, εὔδηλον, ὡς ἡ τοιαύτη κίνησις, εἴη ἂν τὸ τῦ χρόνυ ἀκριβέστερον μέτρον. ᾧ τέλος καὶ πρὸ πάντων δέον χρῆσθαι· ἔχοντι ἄρα τῶν τῆς κινήσεως εἰδῶν εἰδικόν τι, ὕπερ ἡ μεταξὺ τῆς τῶν τῦ χρόνου μερῶν σχέσεως καὶ τῆς τῶν τῦ διανυομένυ διαστήματος ἀναλογία, εἴη ἂν ἐγνωσμένη, ἐξαιρυμένης ἁπάσης ἄλλης ὑποθέσεως, τῇ τε φύσει τῆς κινήσεως ταύτης, καὶ τῷ ὑπάρχειν μόνον τῦτο τὸ εἶδος αὐτῆς, ὥπερ ἡ ἰδιότης αὕτη ἀνήκει, τὸ τῦ χρόνυ μᾶλλον φυσικὸν μέτρον, ἀναγκαίως αὐτὸ ἔσαι. ἀλλὰ τῶν ξυνθηκῶν τὰς δύω ταύτας, περὶ ὧν ὁ λόγος, ὐδὲν ἄλλ' ἤδη, ἢ ἡ

μο-

μονοειδὴς κίνησις, ξυνδεῖ· ἡ γὰρ σώματός τινος κίνησις, καθ' αὐτὴν μονοειδὴς, ἤγε κκ ἄλλως ἐπιταχυνομένη, ἢ ἐπιβραδυνομένη, εἰ μὴ τῶν αἰτιῶν ἐξωτερικῇ τινι, ἀπείρας ἤδη διαφόρες νόμες ποικιλίας ἐπιδεχομένη· ὁ ἄρα τῆς μονοειδότητος νόμος, ἤτοι ἡ μεταξὺ τῆς τε τῦ χρόνου σχέσεως ἐ τῆς τῶν διανυομένων διαςημάτων ἰσότης, ἡ τῆς, καθ' αὐτὴν θεωρημένης, κινήσεως, ἰδιότης· ἐντεῦθεν μᾶλλον ἀνάλογος τῇ διαμονῇ, ἡ μονοειδὴς κίνησις, ἐ ἑπομένως, τὸ ταύτης προσεχέςερον μέτρον, ὡς ςαθερῶς καὶ μονοειδῶς διαδεχομένων ἄλληλα ὡσαύτως τῶν τῆς διαμονῆς μερῶν· τὐναντίον, ἅπας νόμος τῆς ἐν κινήσει ἐπιταχύνσεως, ἢ ἐπιβραδύνσεως, πρὸς τὸ δοκῦν, ἵν' ὕτω. εἴπω, ἐ τῶν ἐκτὸς περιςάσεων ἠρτημένος· ἡ γὰρ μὴ μονοειδὴς κίνησις, τῦ χρόνυ φυσικὸν μέτρον ἀδυνατεῖ γίνεσθαι· πρῶτον μὲν γὰρ λόγον, δι' ὃν τῶν τῆς μὴ μονοειδῦς κινήσεως εἰδῶν εἰδικόν τι, ἣν ἂν τὸ τῦ χρόνυ πρῶτον μέτρον μᾶλλον, ἤπερ ἄλλο τι, ὐδὲν ἂν ἔχοιμεν· εἶτα δὲ τῇ μὴ μονοειδεῖ κινήσει μετρεῖν τὸν χρόνον, τὴν μεταξὺ τύτυ ἐ τῦ διανυομένυ διαςήματος, ὃ ἐ τῇ προτεθείσῃ ἀνήκει κινήσει, ἀναλογίαν μὴ προαναλύπτοντας εἰδικῶ τινι τῶν μέτρων, ἀμήχανον· ἄλλως ἐ τὴν ἀναλογίαν ταύτην πεῖρα γινώσκοντες, εἰ μὴ ἤδ' ὑπετίθετο, πῶς ἂν ἤδη τὸ τῦ χρόνυ πάγιον ἐ ςερεὸν εἰδείημεν;

Ἀλλὰ πόθεν, φαίη τις, δῆλον, ὡς ἐπ' ἀκριβὲς μονοειδὴς ἡ κίνησις; ἀπαντῶ πρῶτον, τὸ μὴ δίδοσθαι μονοειδῆ τινα κίνησιν, ἧς ἡμεῖς ἐξεπιςάμεθα τὸν νόμον, δείκνυσι μόνον, ὡς, εἰ

ἐ

ϗ τὴν τῶν μερῶν τȣ̃ χρόνȣ σχέσιν πρὸς ἀκρίβειαν ϗ ἀναμφιβόλλως γινώσκειν ἀμηχανȣ̃μεν, ἀλλ' ȣ̓χ ἕπετ' ἐντεῦθεν φύσει τῇ αὐτῆς ταύτην μὴ γίνεσθαι τὸ τȣ́τȣ πρῶτον ϗ ἀπλȣ́ςατον τῶν μέτρων· ὡσαύτως τὸ τȣ̃ χρόνȣ κύριον ϗ ἀκριβὲς μέτρον ἄλλως ἔχειν μὴ δυνάμενοι, ταύτῃ κἂν τῇ περίπȣ μονοειδεῖ κινήσει τὸ αὐτȣ̃, ὡς ἔγγιςα, τȣλάχιςον, μέτρον ζητȣ̃μεν· διχῇ δυνατὸν κρίνειν, ὡς περίπȣ μονοειδὴς τῶν κινήσεων τις, ἤτοι ἐπιςαμένοις, ὡς τὸ τῆς ἐπιταχυνȣ́σης, ἢ ἐπιβραδυνȣ́σης, αἰτίας ἀποτέλεσμα, ἀνεπαίσθητον, ἢ ταύτην τῶν κινήσεων ἄλλαις παρατιθεμένοις, τȣ̀ς αὐτῆς ἐν ἑκατέρᾳ νόμȣς παρατηρεῖν· ȣ̔́τω, κινȣμένων πλειόνων σωμάτων, ὡς τὰ, ἄγε ταυτοχρόνως διήκȣσι, διαςήματα, ἀεὶ, ἤτοι ἐπ' ἀκριβὲς, ἢ περίπȣ τῆς αὐτῆς ὑπάρχειν σχέσεως πρὸς ἄλληλα, τὴν τȣ́των κίνησιν, ἤτοι πρὸς ἀκρίβειαν, ἢ περίπȣ, μονοειδῆ κρίνομεν.

## Περὶ ταχύτητος μηχανικῆς.

Ταχύτης ἐςὶν, ἡ τῆς κινήσεως διάθεσις, ᾗ διανύειν ἐν χρόνῳ διαςήματι ἐπιτήδειόν τι τῶν σωμάτων.

Λεΐβνίτιος, Βερνȣ́λλιος, Οὐόλφιος ϗ ἄλλοι, τῶν ζωσῶν δυνάμεων προςάται, διϊσχυρίζονται, τὴν ἐν κινήσει σώματός τινος δύναμιν λογίζεσθαι δεῖν, τῷ ἐκτȣ τȣ̃ ὄγκȣ ϗ τȣ̃ τῆς ταχύτητος τεττραγώνȣ παραγομένῳ· οἱ δὲ τὴν τȣ́των δόξαν μὴ ἀποδεχόμενοι, ȣ̓δὲν ἄλλο βȣ́λονται τὴν δύναμιν ὑπάρχειν, ἢ τὴν τῆς κινή-

σεως ποσότητα, εἴτ' ἓν τὸ ἐκ τῦ ὄγκυ ϗ τῆς ταχύτητος γινόμενον.

Μονοειδὴς ταχύτης, ἥπερ ἐν ἴσοις χρόνοις ἴσα διαςήματα τὸ κινητὸν διήκει· ὅρα μονοειδὴς κίνησις· διάςημα, ἐν ᾧ ἀνθίςασις, ὐδεμία, ὡς πρὸς ἀκρίβειαν τοιαύτην ταύτην δυνατὸν τελεῖσθαι, ἢ δυνατὴν ὑπάρχειν τὴν αΐδιον κίνησιν, ὐδὲν ἔχομεν· ὑπάρχειν γὰρ ἐν τύτῳ μηδὲν, ὃ μὴ ἐπιταχύνειν, ἢ ἐπιβραδύνειν, τὴν ἐκείνου κίνησιν ἔχοι, αδύνατον· ἡ ἀνισότης, ἤτοι ἡ ἁπασῶν τῶν, ἃς γ' ἐπιςάμεθα, κινήσεων μὴ μονοειδότης, κατὰ τῆς αϊδίυ μηχανικῆς κινήσεως, ἣν τῶν ἀνδρῶν τοσῦτοι ἐξεζήτηνται, σαφὴς ἀπόδειξις· ὁρᾷν τὰς τῶν δυνάμεων συνεχεῖς ἀπωλλείας, ἃς τὰ ἐν κινήσει σώματα ποιεῖται, ἀδύνατον, διά τε τῆς τῶν μέσων, ἐν οἷς ταῦτα κινεῖται, ἀνθιςάσεως ϗ τῆς τῶν ἐν τύτοις μερῶν τριβῆς, κτ. ὔτως, ἵν ἐκβαίνειν ἡ αΐδιος μηχανικὴ κίνησις εἶχεν, εὑρεῖν ἔδει τι τῶν σωμάτων, ὃ ἤτοι ὐδεμίαν τὴν τριβὴν πάσχει, ἢ ὃ, πρὸς τῦ δημιυργῦ ἀπείρυ τινος δυνάμεως λαχὸν, ταύτῃ τῶν ἐν ἅπαντι ἐπανειλημμένῳ ἀκαρεῖ ἀνθιςάσεων, περιεγένετο· τέλος δὲ, εἰ ϗ, ἵν ἀκριβέςερον φῶ, ἐντελὴς μὲν ϗ μονοειδὴς κίνησις, ὐδεμία, κινυμένυ γεμὴν ἐν διαςήματί τινι, ἐν ᾧ, πρὸς αἴσθησιν, τῶν ἀνθιςαμένων ὐδὲν, σώματός τινος, ϗ αἰσθητὴν ἐπιτάχυνσιν, ἢ ἐπιβράδυνσιν, μὴ ἐπιδεχομένυ, τὴν τύτυ κίνησιν ἤδη, οἷάπερ ἀκριβῶς μονοειδῆ, θεωρῦμεν.

Η ταχύτης, ἤτοι ὡς ἀπόλυτος, ἢ ὡς σχετικὴ, θεωρεῖται· ὁ δοθεὶς ὁρισμὸς τῇ ἁπλῇ, ἤτοι ἀπολύτῳ ταχύτητι ἀνήκει, ἢ διάςημά τι ἐν χρόνῳ διανύεται.

Ἰδία μὲν, ἤτοι ἀπόλυτος, ταχύτης σώματός τινος, ἤτε τȣ̃, ὃ πρὸς τȣ́τȣ διανύεται, διαςήματος, ϗ ἡ τȣ̃, ἐν ᾧ κινεῖται, χρόνȣ σχέσις· σχετικὴ δὲ, εἴτ' ȣ̃ν ἀμοιβαία, ἥπερ ἀλλήλοις πελάζει, ἢ ἀφίςαται, δύω τῶν σωμάτων διάςημά τι ἐν ὡρισμένῳ χρόνῳ, οἷαι ποτ' ἂν ὦσιν αἱ τȣ́των ἀπόλυτοι ταχύτητες· ȣ̃τως, ἡ μὲν ἀπόλυτος, θετικόν τι, ἡ δὲ σχετικὴ, ȣ̓δὲν ἀλλ' ἢ ἁπλῆ παράθεσις, ἣν ἡ διάνοια περὶ δυοῖν ποιεῖται σωμάτων, ἢ θάτερον θατέρῳ πλησιάζει, ἢ τȣ́τȣ ἀφίςαται.

Η ταχύτης, ᾗ προσίασιν, ἢ ἀφίςανται ἀλλήλων δύω σώματα, ἡ αὐτῶν σχετικὴ τυγχάνει, ὄντων ἑκατέρȣ, ἢ θατέρȣ, μόνον ἐν κινήσει· ϗ γὰρ ϗτοι ἐν ἠρεμίᾳ τελȣ̃ν τῶν σωμάτων τι, δυνατὸν τȣ̃το θεωρεῖν, ὡς σχετικὴν ἔχον ταχύτητα, πρὸς ἕτερον, ὃ ἐν κινήσει ὑποτίθεται, ἀναφερόμενον· ἐὰν δύω σώματα ἐν ἑνὶ δευτέρῳ ἐγγκύτερα, ἢ ἦσαν, δύω πόδας, ἡ τȣ́των ἀμοιβαία ταχύτης, διπλασία τῆς, ἣν ἂν ἔχοι δύω ἕτερα, ἅπερ ἐν τ' αὐτῷ χρόνῳ θάτερον πρὸς ἅτερον ἕνα ϗ μόνον ποιεῖ πόδα, ὑποτεθείσης μονοειδȣ̃ς τῆς κινήσεως.

Ἡ δ᾽ αὔξησιν, ἢ μείωσιν, ἐπιδεχομένη ταχύτης, μὴ μονοειδής· ἐπιταχυνομένην ταχύτητα ἔχει τῶν σωμάτων τι, ἐνεργούσης ἐπὶ τοῦτο καινῆς τινος δυνάμεως, καὶ τὴν αὐτοῦ ταχύτητα αὐξούσης, οὗπερ ἕνεκα, τὴν ἐπὶ τοῦτ᾽ ἐνεργοῦσαν καινὴν τήνδε, ἐφ᾽ ὅλον, ἢ ἐν μέρει. ἐνεργεῖν δεῖ διευθύνσει, ᾗ ἂν ἤδη κινῆται τὸ σῶμα· ἐπιβραδυνομένη δ᾽ αὐτοῦ ταχύτης, ὅτε δύναμίς τις, ἀντικειμένη τῇ τούτου, μέρος τῆς αὐτοῦ ταχύτητος αἴρῃ.

Ἡ σώματός τινος ταχύτης, ἤτοι ἰσάκις, ἢ ἀνισάκις, ἐστιν ἐπιταχυνομένη, ᾗ ἂν ἡ καινὴ δύναμις, ἡ ἐπὶ τοῦτο ἐνεργοῦσα, ἰσάκις, ἢ ἀνισάκις ἐν ἴσῳ χρόνῳ ἐπὶ τοῦτο ἐνεργῇ· ἰσάκις δ᾽, ἢ ἀνισάκις ἐπιβραδυνομένη, ᾗπερ ἂν αἱ, ἃς ποιεῖται, ἀπώλειαι, ἴσαι, ἢ ἄνισοι, ὦσιν ἐν ἴσοις χρόνοις.

Μετρούντων ἄλληλα τοῦ τε χρόνου καὶ τοῦ διαστήματος κινήσει, ὁ μὲν παριὼν, συνεχῶς ἀπόλλυται, τὸ δὲ κινήσει διανυόμενον, τοῦτον παρίστησι· διανυομένων ἴσων μερῶν τοῦ διαστήματος ἐν ἴσοις μέρεσι τοῦ χρόνου, μονοειδὴς μὲν ἤδη ἡ κίνησις, σταθερὰ δὲ, ἤτοι ἄτρεπτος, ἡ ταχύτης, διαμενούσης τῆς κινήσεως· τῶν ἐν ἴσοις κατὰ διαδοχὴν μέρεσι τοῦ χρόνου διανυομένων μερῶν τοῦ διαστήματος, αὐξόντων μὲν συνεχῶς, ἐπιταχυνομένη, ἡ κίνησις, μειουμένων δὲ σταθερῶς, ἐπιβραδυνομένη.

Ἐν γένει δὲ, ἡ τῆς κινήσεως ταχύτης τῷ διαστήματι ἀεὶ μετρεῖται, συνεχῶς μονοειδεῖ κινήσει ἐν τῷ δοθέντι χρόνῳ διανυομένῳ· δῆλον, ὡς τὸ μονοειδεῖ κινήσει διανυόμενον διάστημα, ἐν λόγῳ συγκειμένῳ ἐκ τε τοῦ χρόνου καὶ τῆς περὶ τὴν κίνησιν ταχύτητος.

Καθόλου ἡ μὲν βάσις AB τὸν τῆς κινήσεως χρόνον παριστάτω, ἡ δὲ ΜΠ, τεταγμένη,




ἡ κάθετος, ὁτῳοῦν ταύτης σημείῳ Π μετρείτω τὴν τῷ τοῦ χρόνου ὅρῳ ἀνταποκρινομένην ταχύτητα, (εἴτ' οὖν τὸ συνεχῶς μονοειδεῖ κινήσει διανυόμενον διάστημα μετὰ τὸν ὅρον τοῦτον ἐν τῷ δοθέντι χρόνῳ); ἤδ' οὕτω κατασκευαζομένη ἄλως τοῦ ABΔ σχήματος, τὸ διὰ τῆς κινήσεως ἐν τῷ τῇ AB βάσει παρισταμένῳ χρόνῳ διανυόμενον διάστημα ἤδη μετρήσει· οὕτω, τῶν παραλληλογράμμων ὀρθογωνίῳ τινὶ μετρηθήσεται τὸ μονοειδεῖ κινήσει διανυόμενον διάστημα, ἐμφαινομένων, τοῦ μὲν χρόνου τῇ τούτου βάσει, τῆς δὲ περὶ τὴν κίνησιν σταθερᾶς ταχύτητος, τῇ καθέτῳ.

Τὸ

Τὸ μονοειδῶς ἐπίταχυνομένῃ κινήσει, ἧς ἡ ταχύτης, ὡς ὁ χρόνος, ἄυξει, ἤτοι ἴσας αὐξήσεις ἐν ἑκάςῳ τῶν κατὰ διαδοχὴν ἴσων μερῶν τῦ χρόνυ ἐπιδέχεται, διανυόμενον διάςημα, τριγώνῳ παρίςαται, δηλυμένων, τῦ μὲν χρόνου, τῇ βάσει, τῆς δ᾽ ἐπιταχυνομένης ταχύτητος διὰ τῆς, ἀνάλογον τῇ βάσει αὐξανύσης, καθὸ τῦ ἐπεὶ δὲ τὸ τρίγωνον, τὸ ἥμισυ τῦ παραλληλογράμμυ, ὗ βάσις ϗ ὕψος, τ᾽ αὐτὰ τοῖς τῦ τριγώνυ, τὸ, ἐν οσῳῦν χρόνῳ μετὰ τὴν ἀρχομένην κίνησιν, μονειδῶς ἐπιταχυνομένῃ κινήσει διανυόμενον διάςημα, τὸ ἥμισυ ἐςὶ τῦ, ὃ διανύητ᾽ ἂν, ὄντων, τῆς μὲν κινήσεως, μονοειδῆς, τῆς δὲ ταχύτητος ταυτῆς τῇ ἐπὶ τῷ τῦ χρόνου τέλει πορίζομένῃ.

Ε᾽χόντων πρὸς ἄλληλα τῶν ὁμοίων τριγώνων λόγον, ὃν τὰ τῶν περὶ ταῦτὰ ὁμολόγων πλευρῶν τεττράγωνα, τὰ μονοειδῶς ἐπιταχυνομένῃ κινήσει, ἧς μέτρον, ταῦτα, διανυόμενα διαςήματα εἰσὶν, ὡς τὰ τῶν ἐν τῷ τέλει τῦ χρόνυ τοῦδε πορίζομένων ταχυτήτων τεττράγωνα· μετρεῖται δ᾽ ὡσαύτως ϗ τὰ πρὸς μονοειδῶς ἐπιβραδυνομένης κινήσεως διανυόμενα διαςήματα, ἀλλὰ τὺς τε χρόνυς ϗ τὰς ταχύτητας ἀντικειμένῃ τάξει χρὴ λαμβάνειν ἄχρι τῦ ϗ ἀποσβέννυσθαι τὴν κίνησιν· ἐν δ᾽ ἄλλοις τῶν ξυμβάντων κυρταγράμμοις ἄλως μετρεῖται τὰ διαςήματα· κἀπεὶ δίδονται ἄλως, ὧν αἱ τεττγμέναι ὅτω μειῦνται, ὡς, καίπερ ἐκβαλλομένυ ἐπ᾽ ἄπειρον τῦ σχήματος, ἄχρι διαςήματός τινος μὴ ἄυξειν ταυτας, δοκεῖ, ὡς αἱ τῆς ἐπιβραδυνομένης κινήσεως ταχύτητες μειῦσθαι ὡσαύτως δύνανται, ὅτω δὲ, ὥςε, εἰ ϗ

ἐν

ἐν ἀπείρῳ χρόνῳ συνεχίζητ' ἂν ἡ κίνησις, τὸ γεμὴν διανυόμενον διάςημα δοθείσης γραμμῆς ὐκ ἂν ὑπερέξοι· οἷον, ἐὰν ἡ ἐν τῇ πρώτῃ ὥρᾳ ταχύτης, διπλασία ᾖ τῆς ἐν τῇ δευτέρᾳ, ἥδε δ' ἐπὶ τὴν αὐτῆς ἡμίσειαν ἐπανάγοιτ' ἂν ἐν τῇ τρίτῃ, καὶ ὅτως ἐφεξῆς συνεχῶς, τὸ τῇ κινήσει ταύτῃ διανυόμενον ἤδη διάςημα, εἰ καὶ ἐν μεγίςῳ ἀριθμῷ αἰώνων συνεχίζητ' ἂν, διπλάσιον τῆς ἐν τῇ πρώτῃ ὥρᾳ διανυομένης γραμμῆς ὐκ ἄν ποτε γένηται.

## Περὶ ταχύτητος τῶν κυρτὰς γραμμὰς διερχομένων σωμάτων.

Κατὰ τὸ γαλιλαίυ σύςημα, περὶ πτώσεως σωμάτων, ὃ τοῖς πᾶσιν ἀποδεκτέον τήμερον, ἡ σώματός τινος ταχύτης, καθέτως πίπτοντος, ἐν ἑκάςῃ ῥοπῇ τῆς αὐτῦ πτώσεως, ἀνάλογος τῇ ῥίζῃ τῦ, ἀφ' ὖ πίπτει, ὕψυς· ἀνακαλυφθείσης τύτῳ τῆς προτάσεως ταύτης, περιείργας' ἔτι ὅτος, ὡς, ἐὰν κατὰ μῆκος κεκλιμένυ τινὸς τῶν ἐπιπέδων πίπτῃ τὸ σῶμα, ἡ τύτυ ταχύτης, ἡ αὐτὴ τῇ, ᾗ ἂν καὶ διὰ καθέτυ, τ' αὐτῦ ὕψος μετρύσης, ἐκεῖνο ἔπιπτε, τὸ δ' αὐτῦ ξυμπέρασμα παρατείνας ἔς γε τὸ καὶ πλειόνων ἐπιπέδων ἄθροισμα, ὧν οἱαιδήποτ' ἂν εἶεν αἱ γωνίαι, προΐςαται, ὡς ἡ ταχύτης, ἡ ἐπὶ τῷ τῆς κατὰ μῆκος τῶν κεκλιμένων ἐπιπέδων πτώσεως τέλει πορίζομένη, ὑπάρχειν ἡ αὐτὴ ὀφείλει τῇ, ᾗ ἂν καὶ καθέτως ἐκ τ' αὐτῦ ὕψυς ἔπιπτε.

Ἀποδεξαμένων τὴν ἐπιφορὰν ταύτην ἁπάντων τῶν μαθηματικῶν ἄχρι τοῦ 1693 ἔτους, ὁ κύριος βαρυγνόνιος τὸ ταύτης ψεῦδος ἐφώρασε, σημειώσας, ὡς τὰ σώματα, μετὰ τὸ διϊέναι τὸ πρῶτον κεκλιμένον ἐπίπεδον, τὸ δεύτερον καταλαμβάνοντα, ἀπώλειά τῆς αὐτῶν ταχύτητος τούτῳ προσβάλλει, κωλύοντι ταῦθ᾽ ἑπομένως πίπτειν, ὡσεὶ διὶ ἑνὸς μόνου κεκλιμένου, οὐδεμίαν κάμψιν ἔχοντος, ἔπιπτεν· ἄρας δὴ τὴν ἀπάτην ταύτην, τὴν ὑπόθεσιν οὕτω διεσάφισεν, ὡς μὴ ἐπὶ τὴν ἀντικειμένην ἐμπίπτειν ἀπάτην, ἐφ᾽ ἣν πάντες φύσει ἐνέπιτον, ὅσοι ᾤοντο, ὡς ἡ κατὰ μῆκος κυρτῆς τινος γραμμῆς πτῶσις τοῦ σώματος, εἴτ᾽ οὖν τὸ τῶν ἀπείρων κεκλιμένων ἐπιπέδων μῆκος ταχύτητας ἴσας παράγειν ταῖς τῶν σωμάτων τινος, ὅτ᾽ αὐτοῦ ὕψους καθέτως πίπτει, δύναται· ἵνα τὴν τῶν δυοῖν ξυμβάντων τῶνδε δείξῃ διαφορὰν, ὁρᾷν παρέσχεν, ὡς, οὐσῶν τῶν τοῖς πρὸς ἄλληλα κεκλιμένοις ἐπιπέδοις γωνιῶν ἀπειράκις ἐλαχίστων, ἢ ταῖς κυρταῖς ξυμβαίνει· ἡ πρὸς ἑκάστης τῶν δ᾽ ἀπωλλυμένη ταχύτης, ἀπειράκις ἐλαχίστη τοῦ δευτέρου βαθμοῦ· τοιαύτη δὲ, ὡς ἡ μετὰ τὰς ἀπείρους ταύτη πτώσεις, εἴτ᾽ οὖν τὴν αὐτοῦ διὰ τῆς κυρτῆς ἀκριβῆ πτῶσιν, ἀπωλλυμένη ταχύτης, ἀπειράκις ἐλαχίστη τοῦ πρώτου βαθμοῦ, ἧς δυνατὸν ἑπομένως, μετά τινα πεπερασμένην ταχύτητα, ἀμελεῖν.

Κατὰ ταῦτα, ὡς τῇ μεταξὺ δυεῖν τρεπτῶν ἐξισώσει δυνατὸν τὴν οἵαν δήποτ᾽ ἐκτίθεσθαι κυρτὴν, ἧς αἱ τεταγμέναι, ἐκείνης τρεπταὶ, οὕτω καὶ τὰς τῶν ταχυτήτων διαφόρους, ἃς ἰδίᾳ δύω

δυνά-

δυνάμεις ἐντ' αὐτῷ σώματι παράγοιεν, ταῖς ἐξισώσεώς τινος τρεπταῖς· ὑποτεθεισῶν δὲ παραλλήλως ἐνεργεῖν τῶν δυνάμεων τῶνδ' ἐπὶ δυσὶ θέσει δοθείσαις, ἴσω γραμμῶν, ἐφ' αἷς γε ληφθῆναι τὰς τρεπτὰς ταύτας ὑποτίθεται, ἡ τῇ ἐξισώσει ἐκκειμένη, κυρτὴ ἔςαι, ἣν δυσὶν ἅμα συνδυαζομέναις τῶν δυνάμεων ἤδη τὰ σώματα καταγράφει· ὑποτεθὲν, φέρε, ὡς τούτων, ἡ μὲν, ἡ βαρύτης, ἡ δὲ, ἡ πρώτη πεπερασμένη ὦθησις, ᾗ οὐδεμία ἐπακολουθεῖ ἐπιτάχυνσις, ἡ ἀναλόγους ταῖς τῶν ἀποτεττμημένων ῥίζαις τὰς τεταγμένας ἔχουσα κυρτὴ, παραβολὴ ἔςαι.

Ἵνα τὴν οἵαν δήποτε ταχύτητα μετρῶμεν ςαθερῷ μέσῳ, δι' οὗ ταύτην ἁπάσῃ ἄλλῃ δυνατὸν παρατίθεσθαι, τὸ τοῦ διαςήματος πηλίκον, τῷ χρόνῳ διαιρουμένου, ληπτέον, ὑποτιθεμένους, πρὸς τῆς ταχύτητος αὐτῆς, ςαθερᾶς ὑποτιθεμένης, αὐτὸ διανύεσθαι· διήκοντος, φέρε, σώματός τινος τῇ αὐτοῦ πραγματικῇ ταχύτητι διάςημα ποδῶν 80 ἐν 40″, ἡ τούτου ταχύτης, $= \frac{80}{40} = 2$, ἥν, εἰ παραθείημεν τῇ τοῦ διάςημα ποδῶν 90 διανύοντος ἐν 30″, εἴτ' οὖν τῇ $\frac{90}{30} = 3$, κατανοοῦμεν ἤδη, ὡς ἡ τῶν ταχυτήτων τούτων σχέσις, ἐςὶν ἡ τοῦ, 2 : 3.

Τιθεμένων, ἐν γένει, τοῦ μὲν χρόνου, χ, τοῦ δὲ διαςήματος, δ, ἡ ταχύτης, $= \frac{δ}{χ}$, μονοειδοῦς οὔσης τῆς κινήσεως· τῷ τῆς ταχύτητος μέτρῳ τῷδε ἔςιν ἀντιτείνειν πάνυ ὀρθῷ λόγῳ, λέγοντα, παραβάλλοντας ἀλλήλοις τόν τε χρόνον καὶ τὸ διάςημα, τῶν ποσοτήτων ἑτερογενεῖς ὄντα,

ὄντα, σαφῆ ἔχειν τὴν τῆ παραγομένη ἰδέαν, ἀμήχανον· ἀπαντῶ, ὡς ἡ τῆς ταχύτητος ἔκθεσις, δχ, ἐδὲν ἄλλο παρίςησιν, ἡ ὡς αἱ δυοῖν σωμάτων ταχύτητες, ἀεὶ πρὸς ἀλλήλας λόγον ἔχεσιν, ὃν τὰ τῶν διαςημάτων, τοῖς χρόνοις διαιρεμένων, πηλίκα, παριςαμένων μόνον, τῶν τε χρόνων ϗ τῶν διαςημάτων ἀριθμοῖς ἀφῃρημένοις, οἳ πρὸς ἀλλήλες τὴν αὐτὴν ἔχεσι σχέσιν, ἣν τά τε διαςήματα ϗ οἱ χρόνοι.

Οὖσαν τρεπτὴν τὴν κίνησιν, ὅτε πρὸς ταύτης ἀπειράκις ἐλαχιςόν τι μόριον, οἷον, τὸ δΔ, τοῦ διαςήματος καταγράφηται, ςαθερὰν ὑποτιθέμενοι ταύτην, τὴν ταχύτητα διὰ δΔ, δχ, ἐκτίθεμεθα.

## Τὶ ῥοπή, ἐν τῷ μηχανικῷ χρόνῳ.

Ῥοπὴ, κατὰ μηχανικὲς, ἀπειράκις ἐλαχιςόν τι ϗ μικρῦ ἀνεπαίσθητον μόριον τῆς διαμονῆς, ἣν ϗ νῦν καλῦσιν· ἰδιαίτερον γεμὴν ἐν τῷ χρόνῳ τὸ, νῦν. ἐ τὸ τἕτ᾽ ἐλάχιςον μόριον, ἀλλὰ τ᾽ ἀπειράκις ἐλάχιςον, εἴτ᾽ ἂν ὃ παντὸς, ὃ ἂν δοθείη, ἢ νοηθείη, ἐλαχίςῃ ἔτ᾽ ἔλαττον, κοινῇ ἀκαρὲς, ἢ ῥιπὴ, καλούμενονον· ὅρα χρόνος.

Ῥοπὴ, κατὰ τούτους, ταὐτὸν ἐςὶ, ὃ ϗ ὁρμὴ, εἴτ᾽ ἂν ποσότης τῆς περὶ τὸ κινητὸν κινήσεως.

Ἐν τῇ τῶν περὶ τὰ σώματα κινήσεων παραβολῇ, ὁ τῆς τούτων κινήσεως λόγος, ἀεὶ σύνθετος, ἔκ τε τοῦ τῆς περὶ τὴν ὕλην ποσότητος καὶ τοῦ τῆς περὶ τὸ κινητὸν ταχύτητος· τὴν ἄρα τοῦ ἐν κινήσει σώματος ῥοπὴν δυνατὸν, οἷα παραγόμενον ἔκτε τῆς περὶ τὴν τούτου ὕλην ποσότητος καὶ τῆς αὐτοῦ ταχύτητος, θεωρεῖσθαι· κἀπεὶ δῆλον, ὡς ἁπάντων τῶν ἴσων παραγομένων ἀντιστρόφως ἀνάλογοι οἱ παράγοντες, ἔπετ᾽ ἐντεῦθεν, ὡς, ἐχόντων τῶν οἵων δήποτε κινητῶν ἴσας ῥοπὰς, αἱ τῆς τούτων ὕλης ποσότητες, ἐν ἀντιστρόφῳ λόγῳ τῶν περὶ ταῦτα ταχυτήτων, εἴτ᾽ οὖν ἡ τῆς τοῦ πρώτου ὕλης ποσότης πρὸς τὴν τῆς τοῦ δευτέρου, ὡς ἡ τούτου ταχύτης πρὸς τὴν ἐκείνου· ἀνάπαλιν δὲ, ἴσων τῶν τῆς ὕλης ποσοτήτων ἀντιστρόφως ἀναλόγων ταῖς ταχύτησιν, αἱ τούτων ῥοπαὶ, ἴσαι.

Θεωρεῖτ᾽ ἔτι ἡ ῥοπὴ, οἷα ἐνέργεια πιεζούσης δυνάμεως· ἤδη δ᾽ ἐν συγκειμένῳ λόγῳ ἔκτε τοῦ περὶ τὰ κωλύματα μεγέθους καὶ τῶν διανυομένων διαστημάτων.

Τὴν παντὸς κινητοῦ ῥοπὴν δυνατὸν θεωρεῖσθαι, οἷα ἄθροισμα τῶν ἐν ἅπασι τοῖς τούτου μέρεσι ῥοπῶν, καὶ ἑπομένως ἐὰν τὰ τῶν σωμάτων μεγέθη, καὶ ὁ τῶν περὶ ταῦτα μερῶν ἀριθμὸς ὦσι ταυτὰ, τὰ σώματα τὰς αὐτὰς ἕξει ῥοπάς.

## Τὶ ὄγκος Φυσικὸς ἐν τῇ μηχανικῇ.

Ὄγκος, ἐν τῇ μηχανικῇ, αὐτὴ, ἡ τῆς τοῦ σώματος ὕλης ποσότης· διαφέρει δ᾽ οὗτος τοῦ φυράματος, ὅπερ, ἡ κατὰ μῆκος, βάθος καὶ πλάτος, ἔκτασις.

Τὸν ἐν τοῖς σώμασιν ὄγκον κρίνειν δεῖ ἐκ τοῦ περὶ ταῦτα βάρους· πείραις γὰρ ἀκριβεστάταις κατενόησεν ὁ κύριος Νεύθων, ὡς τὸ τούτων βάρος τῇ τῆς ἐμπεριεχομένης αὐτοῖς ὕλης ποσότητι ἀνάλογον.

Ἰσομηκῶν νημάτων, ἢ ῥάβδων, ἀρτήσας ὁ μέγας οὗτος γεωμέτρης ἴσα βάρη διαφόρου ὕλης, οἷον, χρυσοῦ καὶ μολύβδου, ἴσοις καὶ τῆς αὐτῆς ὕλης κιβωτίοις ἐγκεκλεισμένων, περιειργάσατο, ὡς ταυτοχρόνους ἐποιοῦντο τὰς κραδάνσεις· ἀλλ᾽ ἡ τούτων ἀνθίστασις, ἴση, ὡς ἴσοις κιβωτίοις, ταῦτα περιέχουσιν, ἐνεργοῦσα· ἡ ἄρα τῶν βαρέων τῶνδε κινητικὴ αἰτία, ἡ τὴν αὐτὴν ταχύτητα τούτοις παράγουσα, τῷ ἑκατέρου βάρους ὄγκῳ ἀνάλογος· ἡ ἄρα βαρύτης, ἢ τὸ τῆς κινήσεως αἴτιον, ἐν ἑκατέρῳ κραδαινομένῳ βάρει ἀνάλογος τῷ ὄγκῳ.

Περὶ μὲν δυοῖν ἰσοβαρῶν, ὧν ἴσοι, οἱ ὄγκοι, ταῦτα· οὐκέτι δὲ καὶ περὶ πυκνότητος, ἣν ἥκιστα δεῖ ξυγχέειν τῷ ὄγκῳ· τοσούτῳ γὰρ ἐλάττονος πυκνότητος τῶν σωμάτων τι, ὅσῳπερ ὑπὸ τῷ αὐτῷ φυράματι ἐλάττονος ὄγκου τοῦτο· ὥστε, ὄντων δυοῖν ἰσοβαρῶν, ἐν ἀντιστρόφῳ λόγῳ τῶν περὶ ταῦτα φυραμάτων αἱ τούτων πυκνότητες,

εἰτ

εἴτ᾽ οὖν, ἐὰν τὸ θατέρου φύραμα, διπλάσιον ᾖ τοῦ ἐν τῷ ἑτέρῳ, δὶς ἐλάττονα τῆς τούτου ἕξει πυκνότητα.

Τὸν ὄγκον, ἤτοι τὴν τῆς ὕλης τῶν σωμάτων πυκνότητα ἅπαν τ᾽ αὐτῶν τούτων φύραμα καταλαμβάνειν, πολλοῦ γε καὶ δεῖ· ὁ χρυσὸς, φέρε, ὃς πάντων βαρύτερος, εἰς λεπτὰ φύλλα ἐπαναγόμενος, τῷ τε φωτὶ καὶ τῶν ῥευστῶν διαφόροις παρέχεται τὴν διάβασιν· ἐξ οὗ δῆλον, ὡς πλείους πόροι καὶ διαστήματα κενὰ ἐν τοῖς τούτου μέρεσι· τὸ ὕδωρ 19 ἔλαττον τῷ βάρει, ἢ ὁ χρυσός· ταύτῃ καὶ ὑποτιθεμένου τοῦ χρυσοῦ πάντῃ ἀπόρου, ὁμολογεῖν δεῖ, ὡς ὕδατος κυβικὸς ποὺς 19 πλείους, τοὐλάχιστον, πόρους καὶ κενὸν, ἢ ἰδίαν ὕλην, ἑαυτῷ ἐμπεριέχει.

## Σημείωσις.

Ἐν τοῖς ἑξῆς τῶν θεωρημάτων, τὸν μὲν ὄγκον, ἤτοι τὴν τῆς ὕλης τοῦ σώματος ποσότητα δηλώσομεν διὰ τοῦ O, τὴν δὲ ῥοπὴν, εἴτ᾽ οὖν τὴν τῆς κινήσεως ποσότητα, ἢ βίαν, διὰ τοῦ P, τὸν δὲ χρόνον, ἤτοι τὴν τῆς κινήσεως διαμονὴν, διὰ τοῦ X, τὴν ταχύτητα, διὰ τοῦ T, τὸ διάστημα, ἤτοι τὴν, ἣν τὸ σῶμα καταγράφει, γραμμὴν, διὰ τοῦ Δ.

Ὁμοίως, ὄντων, τοῦ μὲν διαστήματος, $= \delta$, τοῦ δὲ χρόνου, $= \chi$, ἐκτεθείσεται ἡ ταχύτης διὰ $\frac{\delta}{\chi}$. ὄντων δ᾽ οὖν, τῆς μὲν ταχύτητος, $= \tau$,

τοῦ

τȣ̃ δ' ὄγκȣ, $=$ ο, ἔσθ' ὁμοίως ἡ ῥοπὴ, $=$ το.

## Νόμος, εἴτ' ȣ̓ν θεωρήματα τῆς μονοειδȣ̃ς κινήσεως.

### Α.

Δυοῖν σωμάτων, ὧν μονοειδὴς, ἡ κίνησις, αἱ ταχύτητες, Τ, τ, ἐν λόγῳ συνθέτῳ, ἔκ τε τȣ̃ τῶν διαστημάτων, Δ, δ, εὐθέως, καὶ τȣ̃ τῶν χρόνων, Χ, χ, ἀντιστρόφως.

Ἔστι γὰρ, $\frac{\Delta}{X} = T$, καὶ $\frac{\delta}{\chi} = \tau$· ἄρα $T : \tau = \frac{\Delta}{X} : \frac{\delta}{\chi}$· ἄρα $T : \tau = \Delta\chi : \delta X$, ὅ, ἔ, δ.

Τὸ δὲ καὶ τὰ ἑπόμενα τῶν θεωρημάτων δυνατὸν ὑπ' ὄψιν ἀριθμοῖς παριστᾶν ȣ̔́τω· θῶμεν, δυοῖν σωμάτων, τὸ μὲν Α, ȣ̔͂περ ὁ ὄγκος, $= 7$, εἴτ' ȣ̓͂ν λιτρῶν 7, ἐν 3″ τȣ̃ χρόνȣ, καταγράφειν διάστημα ποδῶν 12, τὸ δὲ Β, ȣ̔͂ καὶ τȣ̃δ' ὁ ὄγκος, $= 5$, ἤτοι λιτρῶν, 5, ἐν 8″ τȣ̃ χρόνου καταγράφειν διάστημα ποδῶν 16· ἔστω δὴ, $O = 7$, $X = 3''$, $\Delta = 12$, $o = 5$, $\chi = 8''$, $\delta = 16$, καὶ ἑπομένως, $T = 4$, $\tau = 2$, οἷς τὸ σχῆμα, $T : \tau = \Delta\chi : \delta X$, ἐπανάγεται ἐπὶ τόδε, $4 : 2 = 12 \cdot 8 : 16 \cdot 3$.

Ἐπε-

Ἕπεται δ' ἐντεῦθεν, ὅσης $T = \tau$, ἔσαι ϗ $\Delta\chi = \delta X$. ἄρα ϗ $\Delta : \delta = X : \chi$, εἴτ' ὖν μονοειδῶς ϗ ἰσοταχῶς κινεμένων δυοῖν σωμάτων, τὰ τέτων διαςήματα πρὸς ἄλληλα λόγον ἔξει, ὃν οἱ περὶ ταῦτα χρόνοι.

Παραδειγματίζειν ἀριθμοῖς ϗ τὰ πορίσματα ταῦτα, ἢ ϗ τὰ θεωρήματα, πάνυ πρόχειρον.

Θῶμεν $\Delta = 12$, $X = 6$, $\delta = 8$, $\chi = 4$, ϗ ἔςαι $T = \frac{12}{6} = 2$, $\tau = \frac{8}{4} = 2$, ϗ ἑπομένως, ἐπεὶ $T = \tau$, $\frac{\Delta}{\delta} = \frac{X}{\chi}$, $\frac{12}{8} = \frac{6}{4}$. ἐὰν ᾖ $T = \tau$, ϗ $X = \chi$, ἔςαι ϗ $\Delta = \delta$.

Τ' ἄρα μονοειδῶς ϗ ἰσοταχῶς κινέμενα τῶν σωμάτων, ἐν ἴσοις χρόνοις, ἴσα καταγράφειν δεῖ ϗ διαςήματα.

B.

Τὰ πρὸς τῶν σωμάτων καταγραφόμενα διαςήματα, $\Delta$, $\delta$, λόγον ἔχει συγκείμενον ἔκ τε τὲ τῶν χρόνων, $X$, $\chi$, ϗ τὲ τῶν ταχυτήτων $T$, $\tau$.

Καὶ γὰρ, $T : \tau = \Delta\chi : \delta X$, ἄρα $T\delta X = \tau\Delta\chi$, ϗ, $\Delta : \delta = TX : \tau\chi$. ἀριθμοῖς δὲ, $12 : 8 = 2.6 : 2.4$.

Ἕπεται δ' ἐντεῦθεν, ὄντος $\Delta = \delta$, ἔςαι $TX = \tau\chi$, ὥςε $T : \tau = \chi : X$, εἴτ' ὖν καταγραφόντων ἴσα διαςήματα δυοῖν μονοειδῶς κινεμέ-

μένων σωμάτων, αἱ τούτων ταχύτητες, ἐν ἀντιστρέφῳ λόγῳ τῶν χρόνων.

Α'ριθμοῖς.

Ε'ὰν θῶμεν $\Delta = 12$, καὶ $\delta = 12$, ἐπεὶ $\Delta = TX$, καὶ $\delta = \tau\chi$.

Ε'ὰν ᾖ $T = 2$, καὶ $\tau = 3$, ἕξομεν $X = 6$, καὶ $\chi = 4$. ὡς γίνεσθαι ὡσαύτως $T : \tau = \chi : X$, εἴτ' οὖν $2 : 3 = 4 : 6$. ἐὰν δ' ᾖ ἔτι $\chi = X$, ἔσται ἤδη $T = \tau$. ἔπεται ἄρα, τὰ μονοειδῶς κινούμενα, καὶ ἴσα διαστήματα ἐν ἴσοις χρόνοις καταγράφοντα, ταχύτητας ἴσας ἔχειν.

Γ.

Αἱ δυοῖν μονοειδῶς κινουμένων ῥοπαὶ, εἴτ' οὖν αἱ τῆς κινήσεως ποσότητες, $P$, $\varrho$, ἐν λόγῳ συνθέτῳ ἔκτε τοῦ τῶν ταχυτήτων $T$, $\tau$, καὶ τοῦ τῶν ὄγκων, $O$, $o$, ἤτοι τῶν τῆς ὕλης ποσοτήτων.

Καὶ γὰρ, οὔσης $P = TO$, $\varrho = \tau o$, ἔσται ἄρα, $P : \varrho = TO : \tau o$, εἴτ' οὖν, ὁ τῆς $P : \varrho$, σύνθετος ἐκ τοῦ, $T : \tau$, καὶ τοῦ, $O : o$.

Ε'ὰν ᾖ, $P : \varrho$, ἔσται $TO = \tau o$, καὶ ἐπομένως, $T : \tau = o : O$, εἴτ' οὖν, ἐὰν αἱ δυοῖν, ἀμενοειδῶς κινεῖται, ῥοπαὶ, ἴσαι ὦσιν, αἱ τούτων ταχύτητες ἔσονται ἐν ἀντιστρόφῳ λόγῳ τῶν περὶ ταῦτ' ὄγκων, καὶ ἐπομένως, ἐὰν, ἐκτὸς τούτων, ᾖ, $O = o$, ἔσται καὶ $T = \tau$, ἤτοι, ἐὰν αἵτε ῥο-

καὶ ϗ οἱ τῶν δυοῖν σωμάτων ὄγκοι, ἴσα ὦσιν, ἔσονϑ' ὁμοίως ἴσαι ϗ αἱ τέτων ταχύτητες.

## Δ.

Αἱ δυοῖν μονοειδῶς κινεμένων ταχύτητες, Τ, τ, ἐν λόγῳ συνθέτῳ ἐκ τε τῶν περὶ τὰς ῥοπὰς, Ρ, ρ, εὐθέως, ϗ τε τῶν ὄγκων, Ο, ο, ἀντιςρόφω.

Ἐπεὶ γὰρ, Ρ: ρ = ΤΟ: το, ἄρα καὶ, Ρτο = ρΤΟ, ἄρα ϗ Τ:τ = ΡΟ : ρΟ. ἀριθμοῖς. 4: 2 = 28ʹ 5: 10ʹ 7 = 4.1: 2.1 = 4: 2.

Ἐὰν ᾖ ἄρα, Τ = τ, ἔςαι Ρο = ρΟ, καὶ ἑπομένως, Ρ : ρ = Ο : ο, εἴτ' ἐν μονοειδῶς καὶ ἰσοταχῶς κινεμένων δυοῖν σωμάτων, αἱ τέτων ῥοπαὶ ἔσοντ' ἐν τ' αὐτῷ λόγῳ τῶν ὄγκων.

Ἐὰν δ' ᾖ ἔτι, Ο = ο, ἤδη ϗ Ρ = ρ, ϗ ἑπομένως δύω σώματα, ὧν ἴσοι οἱ ὄγκοι, καὶ μονοειδῶς τε ϗ ἰσοταχῶς κινέμενα, ἀνάγκη καὶ ῥοπὰς ἴσας ἔχειν.

## Ε.

Οἱ τῶν μονοειδῶς κινήσεως σωμάτων ὄγκοι, ο, Ο, ἐν λόγῳ συνθέτῳ ἐκ τε τῶν ῥοπῶν, Ρ, ρ, εὐθέως, ϗ τε τῶν ταχυτήτων, Τ, τ, ἀντιςρόφω.

Ἐπεὶ γὰρ, $P : \varrho = TO : \tau o$, ἄρα ϗ, $P\tau o = \varrho TO$, ϗ $O : o = P\tau : \varrho T$. ἀριθμοῖς. $7 : 5 = 28 \cdot 2 : 10 \cdot 4 = 7 \cdot 1 : 5 \cdot 1 = 7 : 5$.

Ἐὰν ᾖ, $O = o$, ἔςαι ἤδη, $P\tau = \varrho T$, καὶ ἑπομένως, $P : \varrho = T : \tau$, εἴτ' ἂν ἐχόντων ἴσους ὄγκȣς τῶν μονοειδῶς κινȣμένων σωμάτων, ἔσονται πρὸς ἀλλήλας αἱ τȣ́των ῥοπαὶ, ὡς αἱ αὐτῶν ταχύτητες.

Ἀριθμοῖς.

$P = 12$, $\varrho = 8$, $O = 4$, $o = 4$, ἔςαι $T = \frac{12}{4} = 3$, ϗ $\tau = \frac{8}{4} = 2$, ἄρα $P : \varrho = T : \tau$, $12 : 8 = 3 : 2$.

ϛ.

Αἱ ἐν μονοειδεῖ κινήσει ῥοπαὶ, $P$, $\varrho$, ἐν λόγῳ συνθέτῳ ἐκ τȣ̃ τῶν ὄγκων, $O$, $o$, καὶ τȣ̃ τῶν διαςημάτων, $\Delta$, $\delta$, εὐθέως, ϗ τȣ̃ τῶν χρόνων, $X$, $\chi$, ἀντιςρόφȣ.

Ἐπεὶ γὰρ, $T : \tau = \Delta\chi : \delta X$, ϗ, $P : \varrho = TO : \tau o$, ἄρα, $TP : \tau\varrho = TO\Delta\chi : \tau o\delta X$, ἄρα, $P : \varrho = O\Delta\chi : o\delta X$, ϗ ἑπομένως, ἐὰν ᾖ $P = \varrho$, ἔςαι, $O\Delta\chi = o\delta X$, καὶ οὕτως, $\frac{O}{o} = \frac{\delta X}{\Delta\chi} = \frac{\Delta}{\delta} = \frac{oX}{O\chi}$, ϗ $\frac{X}{\chi} = \frac{O\Delta}{o\delta}$, εἴτ' ȣ̃ν, ἐὰν μονοειδῶς κινȣ́μενα δύω σώματα, ἔχωσιν, ἐκτὸς τȣ́τȣ, ἴσας ῥοπὰς, Α. οἱ τȣ́των ὄγκοι ἔσονται ἐν λόγῳ συνθέτῳ ἐκ τȣ̃ τῶν χρόνων εὐθέως ϗ

τȣ̃

τῦ τῶν διαςήματων ἀντιςρόφυ. Β. τὰ διαςήματα λόγον ἕξυσι συγκείμενον ἐκ τῦ τῶν χρόνων εὐθέως ϗ τῦ τῶν ὄγκων ἀντιςρόφυ· Γ. οἱ χρόνοι ἔσονται ἐν λόγῳ συνθέτῳ ἐκ τῦ τῶν ὄγκων ϗ τῦ τῶν διαςημάτων.

Ἐὰν δ' ᾖ ἔτι, O = o, ἔςαι ἤδη, δX = Δχ, ϗ ἑπομένως, Δ: δ = X: χ, εἴτ' ὖν ἐὰν μονοειδῶς κινύμενα δύω σώματα, ῥοπὰς ϗ ὄγκυς ἴσα ἔχωσι, τὰ, ἃ διανύυσι, διαςήματα ἀνάλογον τοῖς χρόνοις.

Ἐὰν ᾖ ἔτι, X = χ, ἔςαι ὡσαύτως ϗ Δ = δ, ϗ ὗτως ἴσοις ὄγκοις ϗ ῥοπαῖς κινύμενα δύω σώματα, διαςήματα ἴσα ἐν ἴσοις χρόνοις καταγράφει.

Ἐὰν ᾖ, P = ρ, ϗ Δ = δ, ἔςαι, Oχ = oX, ϗ ἑπομένως, O : o = X : χ, ἤτοι μονοειδῶς ϗ ἰσοῤῥόπως κινύμενα δύω σώματα, ϗ διαςήματα ἴσα καταγράφοντα, ἀναλόγυς ἔχειν δεῖ τὺς ὄγκυς τοῖς χρόνοις, οἷς τὰ διαςήματα ταῦτα καταγράφειν δαπανῶσι.

Ἐὰν, παρὰ ταῦτα, ᾖ, X = χ, ἔςαι ὁμοίως, O = o, ϗ ἑπομένως δύω σώματα, ἃ ῥοπῶν ἴσων, ϗ μονοειδῦς κινήσεως, ἐν ἴσοις χρόνοις, ἴσα διαςήματα καταγράφοντα, ἔχειν δεῖ κατὰ ταυτὰ ϗ ἴσυς ὄγκυς.

Ἐὰν ᾖ, P = ρ, ϗ X = χ, ἔςαι ἤδη, ΟΔ = οδ, ϗ ἐπομένως, Δ : δ = ο : Ο, εἴτ' οὖν τὰ ἐν τ' αὐτῷ χρόνῳ ϗ μονοειδεῖ κινήσει διανυόμενα διαςήματα δυσὶ τῶν σωμάτων, ὧν ἴσαι αἱ ῥοπαὶ, ἐν ἀντιςρόφῳ λόγῳ τῶν ὄγκων.

## Z.

Τὰ ἐν μονοειδεῖ κινήσει διαςήματα, Δ, δ, ἐν λόγῳ συνθέτῳ ἐκ τοῦ τῶν περὶ τὰς ῥοπὰς, P, ρ, ϗ τοὺς χρόνους X, χ, εὐθέων, ϗ τοῦ τῶν ὄγκων, Ο, ο, ἀντιςρόφου.

Ἐπεὶ γὰρ, P : ρ = ΟΔχ : οδX, ἔςαι, PοδX = ρΟΔχ, ϗ ἐπομένως, Δ : δ = PXο : ρχΟ. Ἀριθμοῖς. 12 : 16 = 3.28' ϛ' : 8.10 7 = 3.4.1 : 8.2.1 = 12 : 16. ὅθεν ἕπεται, ἐὰν ᾖ, Δ = δ, ἔςαι, PXο = ρχΟ, ϗ ἐπομένως, P : ρ = χΟ : Xο, Ο : ο = PX : ρχ, ϗ X : χ = ρΟ : Pο.

Οὕτω τεθέντος, ὡς ἴσα διαςήματα μονοειδεῖ κινήσει διανύουσι δύω σώματα, Α. αἱ τούτων ῥοπαὶ ἐν λόγῳ συνθέτῳ ἐκ τοῦ τῶν ὄγκων εὐθέως, ϗ τοῦ τῶν χρόνων ἀντιςρόφου. Β. οἱ αὐτῶν ὄγκοι ἐν λόγῳ συνθέτῳ ἐκ τοῦ τῶν ῥοπῶν ϗ τοῦ τῶν χρόνων. Γ. οἱ χρόνοι ἐν λόγῳ συγκειμένῳ ἐκ τοῦ τῶν ὄγκων εὐθέως ϗ τοῦ τῶν ῥοπῶν ἀντιςρόφου.

Ἐὰν, παρὰ ταῦτα, ᾖ, Δ = δ, ὑπετίθετ' ἔτι, Ο = ο, ἔσθ' ὁμοίως, PX = ρχ, ϗ ἐπομένως, P : ρ = χ : X, εἴτ' οὖν τὰ σώματα, ὧν

ἴσοι

ἴσοι οἱ ὄγκοι, ᾗ οἷς ἴσα διανύεται διαςήματα, ῥοπὰς ἔχεσιν, ἀντιςρόφως ἀνάλογον τοῖς χρόνοις, ὃς διανύειν ταῦτα δαπανῶσι.

Ἐὰν, παρὰ ταῦτα ᾖ, $\Delta = \delta$, ὑπετίθετ' ἔτι, $X = \chi$, ἕψεται, $\rho O = Po$, ᾗ ἑπομένως δύω σώματα, ὧν μονοειδὴς ἡ κίνησις, διαςήματα ταυτὰ ἐν τ' αὐτῷ χρόνῳ διανύοντα, ῥοπὰς ἔχεσιν ἀνάλογον τοῖς αὐτῶν ὄγκοις.

## H.

Κινεμένων μονοειδεῖ κινήσει δυοῖν σωμάτων, οἱ τέτων ὄγκοι, O, o, ἐν λόγῳ συνθέτῳ ἐκ τῶν περὶ τὰς ῥοπὰς, P, ρ, ᾗ τὰς χρόνες, X, χ, εὐθέων, ᾗ τῦ τῶν διαςημάτων, δ, Δ, ἀντιςρόφε.

Ἐπεὶ γὰρ, $P : \rho = O\Delta\chi : o\delta X$, $Po\delta X = \rho O\Delta\chi$, ἄρα, $O : o = PX\delta : \rho\chi\Delta$. Ἀριθμοῖς. $7 : 5 = 3.28.16 : 8.10.12 = 3.7.2 : 1.10.3 = 7 : 5$· προσέτι, $P : \rho = O\Delta\chi : o\delta X$. Ἀριθμοῖς. $28 : 10 = 7.12.8 : 5.16.3 = 7.4.1 : 5.2.1 = 28 : 10$, ᾗ ἑπομένως, ἐὰν ᾖ, $O = o$, ἔςαι, $PX\delta = \rho\chi\Delta$· κἀντεῦθεν, $P : \rho = \chi\Delta : X\delta$, $\Delta : \delta = PX : \rho\chi$, ᾗ $X : \chi = \rho\Delta : P\delta$, εἴτ' ὖν ἐχόντων ἴσες ὄγκες δυοῖν κινητῶν, A. αἱ τέτων ῥοπαὶ ἐν συνθέτῳ λόγῳ ἐκ τῦ περὶ τὰ διαςήματα εὐθέως, ᾗ τῦ τῶν χρόνων ἀντιςρόφε. B. τὰ διαςήματα ἐν συνθέτῳ λόγῳ ἐκ τῦ τῶν ῥοπῶν ᾗ τῦ τῶν χρόνων. Γ. ἐν λόγῳ συνθέτῳ ἐκ τῦ τῶν διαςημάτων εὐθέως ᾗ τῦ τῶν ῥοπῶν ἀντιςρόφε ἔσονται οἱ χρόνοι.

Ἐὰν,

Ἐὰν, ἐκτὸς τούτων, ἤ, $O = o$, ὑποτίθεται ἔτι, $X = \chi$, ἔσται δὴ, $\rho\Delta = P\delta$· κἀκ τ' ἀκολούθου; $\rho : P = \delta : \Delta$, εἴτ' οὖν αἱ ἐν μονοειδεῖ κινήσει δυοῖν σωμάτων, ὧν ἴσοι, οἱ ὄγκοι, ῥοπαὶ, ἀνάλογοι τοῖς ἐν ἴσοις χρόνοις διανυομένοις διαστήμασι.

## Θ.

Οἱ ἐν μονοειδεῖ κινήσει χρόνοι, $X$, $\chi$, ἐν λόγῳ συνθέτῳ ἐκ τῶν περὶ τοὺς ὄγκους, $O$, $o$, καὶ τὰ διαστήματα, $\Delta$, $\delta$, εὐθέων, καὶ τοῦ τῶν ῥοπῶν, $P$, $\rho$, ἀντιστρόφου.

Ἐπεὶ γὰρ, $P : \rho = O\Delta\chi : o\delta X$, ἔσται, $Po\delta X = \rho O\Delta\chi$, ἄρα, $X : \chi = \rho O\Delta : Po\delta$; ὅθεν ἕπεται, ὄντος, $X = \chi$, ἔσται, $\rho O\Delta = Po\delta$, κἀκτ' ἀκολούθου, $P : \rho = O\Delta : o\delta$, $O : o = P\delta : \rho\Delta$, καὶ $\Delta : \delta = Po : \rho O$, εἴτ' οὖν μονοειδεῖ κινήσει κινουμένων δυοῖν σωμάτων ἐν ἴσοις χρόνοις, Α. αἱ τούτων ῥοπαὶ ἔσονται ἐν λόγῳ συνθέτῳ ἐκ τοῦ τῶν ὄγκων καὶ τοῦ τῶν διαστημάτων. Β. οἱ ὄγκοι ἐν τῷ αὐτῷ συνθέτῳ ἐκ τοῦ τῶν ῥοπῶν εὐθέως καὶ τοῦ τῶν διαστημάτων ἀντιστρόφου. Γ. τὰ διαστήματα ἐν τ' αὐτῷ συνθέτῳ ἐκ τοῦ τῶν ῥοπῶν εὐθέως καὶ τοῦ τῶν ὄγκων ἀντιστρόφου.

Ἐπιταχυνομένη μὲν κίνησις, ἡ ταχύτητος καινὰς αὐξήσεις κατὰ συνέχειαν ἐπιδεχομένη· μονοειδῶς δ' ἐπιταχυνομένη λέγεται, οὐσῶν ἴσων ἐν ἴσοις χρόνοις τῶν περὶ τὰς ταχύτητας αὐξήσεων τῶνδε.

Ἐπι-

Ἐπιβραδυνομένη δὲ, ἧς κατὰ συνέχειαν μειῦται ἡ ταχύτης· μονοειδῶς δ' ἐπιβραδυνομένη ϗ ἥδε λέγεται, ἀνάλογον τοῖς χρόνοις μειυμένης τῆς ταχύτητος.

Ἐν γένει δὲ, τὰς τῆς μονοειδῦς, ἢ πολυειδῦς, κινήσεως νόμυς δυνατὸν, καθ' οἱονδήποτε νόμον, παριςᾷν ἐξισώσει κυρτῆς τινος, ἧς αἱ μὲν ἀποτεττμημέναι τὰς χρόνυς $\chi$ ἐμφαίνυσιν, αἱ δὲ ταύταις ἀνταποκρινόμεναι τεταγμέναι τὰ ἐν τύτοις διανυόμενα τῶν διαςημάτων.

Ἐὰν ᾖ $\Delta = \nu\chi$, ὄντος ςαθερῦ ἀριθμῦ τῦ $\nu$, τὰ μὲν διαςήματα λόγον ἕξει, ὃν οἱ χρόνοι, μονοειδὴς δ' ἡ κίνησις· παρεμπιπτύσης μὲν μεταξὺ $\Delta$ ϗ $\chi$ ἄλλης τινος ἐξισώσεως, πολυειδὴς ἡ κίνησις· μὴ ἔχοντι δὲ πεπερασμένην ἐξίσωσιν μεταξὺ $\Delta$ ϗ $\chi$, τὴν ἐν $\Delta$ ϗ $\chi$ σχέσιν διαφορικῇ ἐξισώσει δυνατὸν ἐκτιθέναι, εἴτ' ἂν τῇ, $\delta\Delta = \mathrm{P}\delta\chi$, δηλῦντος $\mathrm{P}$ τὴν τῦ $\Delta$ ϗ $\chi$ λειτυργίαν, ἢ τὴν ταχύτητα ἐμφαίνει· ϗ σημειωτέον, ὡς, ἐπεὶ, $\frac{\delta\Delta}{\delta\chi} = \mathrm{P}$, ἐπιταχυνομένη ἔςαι ἡ κίνησις, ὄσης θετικῆς τῆς τῦ $\mathrm{P}$ διαφορᾶς· ἐπιβραδυνομένη δὲ, ἀποφατικῆς· ὅρα ταχύτης· ἐν μὲν γὰρ τῷ πρώτῳ αὐξήσει ἡ ταχύτης $\mathrm{P}$, μειωθήσεται δ' ἐν τῷ δευτέρῳ.

Ἀξίωμα μηχανικὸν ἐςὶν, ὡς ἤδη σεσημείωται, τὸ ἅπαξ ἐν ἠρεμίᾳ τεθὲν, ὐδέποτε κινηθήσεται, εἰμὴ πρὸς ὁτυῦν ἄλλυ κινηθείη· τὸ δ' ἅπαξ κινηθὲν, ἀεὶ ταχύτητι ϗ διευθύνσει τῇ

αὐτῇ

αὐτῇ κινηθήσεται, εἰμὴ πρὸς ἄλλης οἱασῦν δυνάμεως τὴν αὐτῦ μεταβάλῃ κατάςασιν.

Ἐντεῦθεν συνάγειν δεῖ, τὸ μὲν μιᾷ ὠθήσει κινύμενον, ἐπ' εὐθείας γραμμῆς συνεχῶς δεῖ κινεῖσθαι, τὸ δ' ἐπὶ κυρτῆς κινύμενον, κινηθήσεται τῶν δυνάμεων, τῦ λάχιςον, δυσὶν, ὧν, ἡ μὲν, ὅσα μόνη, ἐπ' εὐθείας γραμμῆς κατὰ συνέχειαν τῦτο κινήσει, ἡ δὲ, ἢ αἱ δὲ κατὰ συνέχειαν αὐτὸ τῦτο ἀντιπεριάξυσιν.

Ἐὰν ἡ μὴ ἐλαςικῶν δυοῖν σωμάτων ἐνέργεια ϗ ἀντενέργεια, ἴσαι ὦσι, τῆς αὐτῶν προσβολῆς ὐδεμία ἕψεται κίνησις, ὡς μετ' ἐκείνης, μενόντων ἀμφοῖν ἐν ἠρεμίᾳ.

Ὠθέσης μὲν δυνάμεώς τινος τὸ κινητὸν καὶ τὴν τῆς αὐτῦ κινήσεως διεύθυνσιν, ἐπιταχυνόμενον ἔςαι, ἀνθιςαμένης δὲ τῇ αὐτῆ κινήσει, ἐπιβραδυνόμενον· τὰ δὲ βαρέα ἐπιταχυνομένῃ καταβαίνει κινήσει.

## Ι'.

Μονοειδῶς ἐπιταχυνομένῃ ταχύτητι κινουμένυ τινος τῶν σωμάτων, τὰ τύτῳ διανυθησόμενα τῶν διαςημάτων ἐν διπλασίων, λόγῳ τῶν χρόνων, ᾧ διανύειν ταῦτα δαπανᾷ· ἔσης γὰρ τῆς, ἣν ἐν τῷ χρόνῳ χ ποριζεται, ταχύτητος, = τ, ἡ, ἣν ἐν τῷ 2χ κτήσεται, ἔςαι = 2τ, ἡ ἐν τῷ 3χ, = 3τ, κτ. τὰ δ' ἐν τοῖς χρόνοις τοῖσδε, χ, 2χ, 3χ, κτ. ἀνταποκρινόμενα τῶν διαςημάτων, ἀνάλογα τοῖς χτ, 4χτ, 9χτ,

καὶ

κὴκ τ' ἀκόλεθα ταῦτα μὲν, ὡς, 1, 4, 9, κτ. ἐκεῖνοι δὲ, καθ' αὐτὰς, ὡς, 1, 2, 3, κτ. ὑπάρχειν ἄρα τὰ διαςήματα ἐν διπλασίωνι λόλογω τῶν χρόνων, ἀληθὲς· ὅρα ταχύτητα· ὅθεν ἕπεται, τὰς ἐν μονοειδῶς ἐπιταχυνομένῃ κινήσει χρόνες ἐν διπλασίωνι λόγῳ τῶν διαςημάτων ὑπάρχειν.

## ΙΑ.

Τὰ τῷ μονοειδῶς ἐπιταχυνομένῃ κινήσει κινεμένῳ σώματι διανυόμενα τῶν διαςημάτων, κατὰ τὰς περιττὰς, 1, 3, 5, 7, κτ. ἐν ἴσοις χρόνοις αὔξει.

Ο'ντων γὰρ τῶν, ὧν τὸ μονοειδῶς ἐπιταχυνομένῃ κινήσει κινέμενον ἀναλίσκει, χρόνων, ὡς, 1, 2, 3, 4, 5, 6, κτ. τὰ τέτω, ἢ εἴπομεν, διανυόμενα τῶν διαςημάτων, ἐςιν, ἐν μὲν τῷ πρώτῳ χρόνῳ, ὡς 1. 1, ἐν δὲ τῷ δευτέρῳ, ὡς 4, τῷ τρίτῳ, ὡς 9, τῷ τετάρτῳ, ὡς 16, τῷ πέμπτῳ, ὡς 25, (θεώρ. 10), ἢ ὅτως, ἀφαιρεμένε τὲ ἐν τῷ πρώτῳ χρόνῳ διανυθέντος διαςήματος, ἤτοι 1, ἐκ τὲ ἐν τῷ δευτέρῳ, ἤτοι τὲ 4, ἤτοι, 4 — 1 = 3, τὸ ἐν μόνῃ τῇ δευτέρᾳ ῥοπῇ διανυθὲν διαςημα μένει, ἤτοι 3. κατὰ ταυτὰ τὸ ἐν μόνῳ τῷ τρίτῳ χρόνῳ διανυθὲν διάςημα, ἔςαι 9 — 4 = 5· τὸ ἐν τῷ τετάρτῳ, 16 — 9 = 7, κἀπὶ τῶν ἄλλων ὁμοίως· τ' ἄρα τῷ πρώτῳ χρόνῳ ἀνταποκρινόμενον διάςημα, = 1, τὸ τῷ δευτέρῳ, = 3, τὸ τῷ τρίτῳ, = 5, τὸ τῷ τεττάρτῳ, = 7, τὸ τῷ πέμπτῳ, = 9, κτ. ἢ ὅτω τὰ τῷ μονοειδῶς ἐπιταχυνομένῃ κινήσει κινεμένῳ σώματι διανυόμενα τῶν

δια-

διαςημάτων, ἐν ἴσοις χρόνοις αὔξει, ὡς οἱ περιτ'τοὶ, 1, 3, 5, 7, 9, κτ. ὅ, ε, δ.

## ΙΒ.

Τὰ τῷ μονοειδῶς ἐπιταχυνομένῃ κινήσει κινεμένῳ σώματι διανυόμενα τῶν διαςημάτων, ἐξ τῆς ἠρεμίας κινεῖσθαι ἀρχομένῳ, ἐν διπλασίωνι λόγῳ τῶν ταχυτήτων πεφύκασι.

Θῶμεν γὰρ τὰς ταχύτητας, Τ, τ, τὰς δὲ χρόνες, Χ, χ, τὰ διαςήματα, Δ, δ, τῆς ἠρεμίας ἀφιςαμένε τε σώματος, ἡ τῆς ἐν ἑκάςῃ ςιγμῇ ταχύτητος ποσότης τε τῶν ἐπιταχύνσεων, ἃς τέτε ἐπιδέχεται, ἀριθμῷ ἤρτηται· κἀπεὶ, ἐξ ὑποθ. ἴσας ἐπιταχύνσεις ἐν ἴσοις χρόνοις ἐπιδέχεται, κἀκ τ' ἀκολεθε ἀριθμὸν, τοῖς χρόνοις ἀνάλογον, ἕπετ' ἐντεῦθεν, ὡς τὰς ἐν ἑκάςῃ ςιγμῇ ταχύτητας, ἀνάλογον ὑπάρχειν δεῖ τοῖς χρόνοις· ὅτω, $T : \tau = X : \chi$· ἐπεὶ ἄρα, (θεωρ. 10), $\Delta : \delta = X^2 : \chi^2$, ἔςαι καὶ, $\Delta : \delta = T^2 : \tau^2$, κτ. ὅ, ε, δ.

Αἱ ἄρα τῶν μονοειδῶς ἐπιταχυνομένων κινήσεων ταχύτητες ἐνδιπλασίωνι, λόγῳ τῶν διαςημάτων.

## ΙΓ.

Τὰ βαρέα, ἐν μὴ ἀνθιςαμένῳ μέσῳ, καὶ τῶν διαςημάτων βραχέσι, μονοειδῶς ἐπιταχυνομένῃ, ἢ τοιαύτῃ λογιζομένῃ, κινήσει καταβαίνει.

Οὐ

Οὐ γὰρ ἐπιταχυνομένῃ κινήσει ταῦτα κατέρχεται, εἰ μὴ παρ' ὅσον πρὸς συνεχῶς ἐνεργούσης ἐξωτερικῆς δυνάμεως, ἐφ' ᾧ τὴν τούτων αὔξειν ταχύτητα, ἣν, παρὰ τὴν βαρύτητα, νοεῖν ὡδ' ἄλλην, ἀμήχανον· ταύτην δὲ ταυτὴν πανταχοῦ τῆς ἐν γῇ ἐπιφανείας λογιστέον, ὥστε ἐν τε μεγίστοις διαστήμασιν ἀπὸ τοῦ κέντρου καὶ βραχύτι ἀλλήλων διαφέρουσιν ἀεὶ ἐπὶ ταύτης οὔσαν· αἱ γὰρ πεῖραι, ἃς ὅπῃ ποτε γῆς ἐνεστησάμεθα, αἰσθητήν τινα διαφορὰν οὐδεμίαν τωόντι παρέσχοντο· ἔπεται ἄρα μονοειδῶς δεῖν ἐν ἴσοις χρόνοις καταφέρεσθαι τὰ σώματα· ἐὰν ἄρ αὐτῇ ἐν τῇ τοῦ χρόνου πρώτῃ ῥοπῇ ταχύτητα τούτοις παρέχηται, τὴν αὐτὴν ταύτην ἔτι παρέξεται αὐτοῖς κἀν τῇ δευτέρᾳ, καὶ ὁμοίως ἐν τῇ τρίτῃ, τετάρτῃ, κτ. ὑποτιθεμένου δ' ἔτι μὴ ἀνθίστασθαι τοῦ μέσου, τὰ βαρέα τὴν, ἣν κτῶνται, ταχύτητα τηρήσουσι, καὶ οὕτω καινὰς ἴσας αὐξήσεις ἐν ἁπάσῃ στιγμῇ κτώμενα, μονοειδῶς ἐπιταχυνομένῃ κινήσει δεῖ κατέρχεσθαι· ὃ, ε. δ.

Τ' ἄρα διαστήματα, ἐν οἷς κάτεισι τὰ σώματα, τῇ αὐτῇ ὑποθέσει, ὡς τὰ τῶν χρόνων καὶ τῶν ταχυτήτων τετράγωνα· καὶ αἱ μὲν ἐκείνων διαφοραὶ, κατὰ τὴν τῶν περιττῶν σειρὰν, 1, 3, 5, 7, 9, κτ. αὐξήσουσιν, οἱ δὲ χρόνοι, ἢ καὶ αἱ ταχύτητες, ἐν ὑποδιπλασίονι λόγῳ τῶν διαστημάτων ἔσονται.

" Καταβαίνειν ἐν μὴ ἀνθισταμένῳ μέσῳ τὰ βαρέα ὑποτιθέμενοι, παντὸς εἴδους καὶ πάσης αἰτίας κώλυμα, ὃ τὴν μόνῃ βαρύτητι παραγομένην κίνησιν δύναιτ' ἂν μεταβάλλειν, τοῦτο, ἐν γένει, ἀφαιρεῖσθαι νοοῦμεν. Τοῦ

Τὸν τῆς καθόδε τῶν βαρέων πρῶτον νόμον λογισμῷ ἀνακαλύψας ὁ Γαλιλαῖος, καὶ πείρᾳ τῦτον ἐκύρωσεν, ἣν πλεονάκις ἐπανειληφὼς, καὶ ταῦτα τῶν ἐπιπέδων τοῖς κεκλιμένοις, ἀεὶ ποθ' εὗρεν, ὡς τὰ τῶν διαστημάτων διανυόμενα τοῖς τῶν χρόνων τετραγώνοις ἀνάλογα· τὰς δ' αὐτὰς πείρας τρόπῳ διαφόρῳ πεποίηνται ὅ, τε ῥιγγιολὸς καὶ γριμάλδος.

### ΙΔ.

Ἐν μὴ ἀνθισταμένῳ μέσῳ πίπτοντος βαρέως τινος, τὸ καταγραφησόμενον διάστημα πρὸς τὸ τα ὑποδιπλάσιον ἐστὶ τῦ, ὃ μονοειδεῖ κινήσει καὶ ἴσῃ ταχύτητι τῇ, ἣν ἐπὶ τῷ τῆς πτώσεως τέλει κτᾶται, καταγράψει ἐν τ' αὐτῷ χρόνῳ.




Ὑπο-

Ὑποτεθείσης μὲν γὰρ τῆς ΑΒ γραμμῆς τὸν τῆς αὐτῆ καθόδε ὁλικὸν χρόνον παραςᾶν, διαιρεθείσης δ' εἰς ὁσαῦν ἴσα μέρη, ἐκ τῶν περὶ τὰς ἀποτετ1μημένας, Απ, Αψ, Ασ, Αβ, περάτων, ἄγε 1ὰς 1ετ1αγμένας, πΜ, ΨΙ, σΗ, ΒΓ, αἱ τὰς τῇ καθόδῳ ἐπὶ τῷ τέλει τῶν χρόνων 1ῆτων κτωμένας 1αχύτητας δύναιντ' ἂν ὑπεμφαίνειν.

Ἐςὶ γὰρ, Απ : Αψ = πΜ : ψΙ, καὶ Απ : Ασ = πΜ : σΗ, κτ. εἴπερ ἄρα εἰς ἴσα τε καὶ ἀπειράκις ἐλάχιςα νοοῖτο διῃρημένον τὸ τῆ τριγώνυ ὕψος, ἐπεὶ ἐν ἀπειράκις ἐλαχίςῃ ῥοπῇ τῆ χρόνυ δυνατὸν μονοειδῆ λογίζεσθαι τὴν κίνησιν, ἡ βραχεία ἄλως πϖΜμ, ἤπερ, πϖ × πΜ, ἀνάλογος ἔςαι τῷ κατὰ χρόνον τὸν πϖ διανυθέντι διαςήμα1ι.

Οὕτω τὸ ἐν 1ῷ χρόνῳ Αϖ διανυόμενον διάςημα, ἔςαι, ὡς τὸ ἁπασῶν τῶν βραχέων ἅλων ἄθροισμα, ἤτοι ὡς τὸ ΑΒΓ τρίγωνον· ἀλλὰ τὸ ἐν τ' αὐ1ῷ χρόνῳ μονοειδεῖ ταχύτη1ι, τῇ ΒΓ, κα1αγραφησόμενον διάςημα, ἀνάλογον ἂν εἴη τῷ ΑΒΓΔ ὀρθογωνίῳ· τ' ἄρα ΑΒΓ διάςημα, πρὸς τὸ ΑΒΓΔ, ὡς 1 : 2.

Οὕτω τὸ διάςημα, ὃ μονοειδεῖ ταχύτητι, τῇ ΒΓ, ἐν τῷ τῆ χρόνε ΑΒ ἡ μίσει δύναιτ' ἂν διανύειν τὸ κινητὸν, ἴσον 1ῷ διαςήματι, ὃ τῇ αὐτῇ μονοειδεῖ ἐπι1αχύνσει διανύει, ἐξ ἠρεμίας καὶ ἐν τῷ ὁλικῷ χρόνῳ ΑΒ πίπτον.

## ΙΕ.

Μονοειδῶς ἐπιβραδυνομένῃ κινήσει κοινημενέντι τῶν σωμάτων, ἐν τῇ αὐτῷ ἐπανόδῳ οὐ διανύσει, ὅ,τι μὴ τὸ ἥμισυ τῷ διαςήματος, ὃ διήνυσεν ἂν, εἴγε μονοειδῶς τῇ αὐτῇ πρώτῃ ταχύτητι ἐκινεῖτο.

Θέντες διαιρεῖσθαι τὸν δοθέντα χρόνον εἰς ἴσα, ὅσαῦν τ᾽ ἀριθμῷ, μέρη, ἄγωμεν τὰς ΒΓ, σΗ, ψΙ, πΜ, αἳ παραςήσουσι τὰς τοῖς τοῦ χρόνου μέρεσι διὰ τῶν, ο, Βσ, Βψ, Βπ, ΒΑ, ἐκκειμένοις ἀντιςοιχούσας ταχύτητας· ὥςε, καταγωγῇ τῶν καθέτων ΗΕ, ΙΖ, ΘΜ, ΑΒ, ὑπάρχειν τὰς ΓΕ, ΓΖ, ΓΘ, ΓΒ, εὐθείας, ὡς τὰς ἐν τοῖς χρόνοις, ΗΕ, ΙΖ, ΘΜ, ΑΒ, εἴτ᾽ οὖν τὰς, Βσ, Βψ, Βπ, ΒΑ, ἀπωλλυμένας ταχύτητας· Ἐπεὶ δὲ, ΓΕ : ΓΖ = ΕΗ : ΙΖ, καὶ ΓΘ : ΓΒ = ΘΜ : ΒΑ, τ᾽ ἄρα ΑΒΓ, τρίγωνον ἔςαι· ἐὰν ἄρα Ββ, ἢ πϖ, ἀπειράκις ἐλαχίςη ῥοπὴ τῷ χρόνου ᾖ, μονοειδὴς ἔςαι ἡ κίνησις, κἀκτ᾽ ἀκολούθου τὸ πρὸς τῷ κινητοῦ καταγραφόμενον διάςημα, ἔςαι. ὡς τὸ βραχὺ διάςημα ΒβΓγ, ἢ πϖΜμ· ἅπαν ἄρα τὸ πρὸς τ᾽ αὐτῷ κινητῷ καταγραφόμενον διάςημα ἐν τῷ ΑΒ χρόνῳ, ἔςαι, ὡς τὸ ΑΒΓ τρίγωνον· ἀλλ᾽ ὃ ἂν μονοειδεῖ ταχύτητι, τῇ ΒΓ, πρὸς τῷ κινητῷ καταγραφείη, διάςημα, ἐςιν, ὡς τὸ ΑΒΓΔ ὀρθογώνιον· τ᾽ ἄρα τρίγωνον ΑΒΓ τὸ ἥμισυ ἐςὶ τῷ ΑΒΓΔ ὀρθογωνίου.

## Ις.

Τὰ μονοειδῶς ἐπιβραδυνομένῃ κινήσει καταγραφόμενα τῶν διαςημάτων ἐν ἴσοις χρόνοις, κατὰ τὰς τῶν ἀριθμῶν περιττὰς μειῦται.

Τὰ γὰρ τῦ ἐν τῷ τριγώνῳ ἄξωνος ἴσα μέρη, Βσ, σψ, ψπ, πΑ, εἰσὶν, ὡς οἱ χρόνοι· αἱ δ' ἡμιτεταγμέναι, ΒΓ, σΗ, ψΙ, πΜ, ὡς αἱ ταχύτητες ἐν τῇ ἑκάςῃ χρόνῃ ἀρχῇ. τ' ἄρα τραπέζια, ΒσΗΓ, σψΗΙ, ψπΜΙ, καὶ τὸ πΑΜ, ἔσονται, ὡς τὰ ἐν τοῖσδε τοῖς χρόνοις καταγραφόμενα διαςήματα· ἔςω ἤδη, ΒΓ $=4$, καὶ Βσ $=$ πψ $=$ πΑ $=1$, ἔςαι ἄρα, σΗ $=3$, ψΙ $=2$, πΜ $=1$· ΒσΗΓ $= \overline{4+3} \cdot \frac{1}{2} = \frac{7}{2}$, σψΗΙ $= \overline{3+2} \cdot \frac{1}{2} = \frac{5}{2}$, ψπΜΙ $= \overline{2+1} \cdot \frac{1}{2} = \frac{3}{2}$, πΑΜ $= \frac{1}{2}$· κἀκ τ' ἀκολύθη τὰ ἐν ἴσοις χρόνοις καταγραφόμενα τῶν διαςημάτων, ἔςαι, ὡς $\frac{7}{2}$, $\frac{5}{2}$, $\frac{3}{2}$, $\frac{1}{2}$, εἴτ' ὖν, ὡς 7, 5, 3, 1.

Οἱ μὲν τῆς περὶ τὴν κίνησιν μεταδόσεως νόμοι διὰ τῆς προσβολῆς, ὕτω διάφοροι, ᾗ ἂν ἐλαςικὰ, ἢ μὴ, τὰ σώματα, ἡ δὲ τῆς προσβολῆς διεύθυνσις, εὐθεία, ἢ λοξὴ, κατὰ τὴν τὰ κέντρα τῆς δυοῖν σωμάτων βαρύτητος συνάπτυσαν γραμμήν.

Τὰ τῶν σωμάτων δεχόμενα, ἢ μεταδιδοντα τῆς κινήσεως, δυνατὸν, ἢ δι' ὅλυ σκληρὰ ὑπάρχειν, εἴτ' ὖν θλίψεως ἀνεπίδεκτα, ἢ δι' ὅλυ ἁπαλὰ, εἴτ' ὖν ἀποκαταςάσεως, μετὰ τὴν τῶν ἐν τύτοις μερῶν πίεσιν, ἀνεπίδεκτα, ἢ τέ-

λος

λος ἐλαστικὰ, ἤτοι τῆς τοῦ περὶ ταῦτα πρώτου εἴδους ἐπαναλήψεως, μετὰ τὴν κάμψιν, δεκτικὰ, ἐπὶ τὸ αὐτῶν πρῶτον εἶδος ἀποκαθίςασθαι· ἢ ἀτελοῦς ἐλαςικότητος, ἤτοι δεκτικὰ τῆς μέρους τινος μόνον ἀποκαταςάσεως· δι' ὅλου σκληρὰ, ἢ ἁπαλὰ, ἢ πρὸς ἀκρίβειαν ἐλαςικὰ, οὐ γινώσκομεν· ἡ γὰρ φύσις, κατὰ τὸν κύριον φοντενέλον, τῆς ἀκριβείας, ἢ τελειότητος, οὐκ ἀνέχεται.

Συναντῶν τινι τῶν κωλυμάτων τὸ κινούμενον, ἀποσκευάζειν τοῦτ' ἐπείγεται· ἀναιρουμένης γοῦν τῆς τούτου βίας τῇ ἐκείνου ἀντλήτῳ ἀνθιςάσει, ἡ τούτου δύναμις, νεκρὰ, ἤτοι ἀποτέλεσμα μὲν οὐ παράγει, πρὸς δὲ μόνην παραγωγήν τινος τείνει· ἡττωμένης δὲ τῆς ἀνθιςάσεως, ζῶσα ἤδη ἡ δύναμις, οἷα πραγματικόν τι παράγουσα ἀποτέλεσμα, ὃ ζῶσα καλεῖται τοῦ σώματος δύναμις. Ταύτης δὲ τὴν ποσότητα γινώσκομεν, τῷ τε μεγέθει καὶ τῷ ἀριθμῷ τῶν κωλυόντων, ὧν ἁπάσας τὰς αὐτοῦ δυνάμεις ἐκκενοῦν τὸ ἐν κινήσει σῶμα, δυνατὸν περιγίνεσθαι.

Τ' ἄρα τῇ τῶν μὴ ἐλαςικῶν σωμάτων προσβολῇ σχέσιν ἔχοντα, ἐπὶ τούτοις δυνατὸν ἀνάγειν, οὔσης εὐθείας τῆς προσβολῆς.

## ΙΖ.

Ἠρεμοῦντι προσβάλλον τὸ κινητὸν, τῆς αὐτοῦ κινήσεως μεταδίδωσι τούτῳ μέρους, ὡς· μετὰ τὴν προσβολὴν, ἄμφω καὶ διευθύνσει τοῦ πρώτου ξυμπροϊέναι· ἡ δὲ ῥοπὴ, εἴτ' οὖν ἡ μετὰ τὴν

προσ-

προσβολὴν ποσότης τῆς τούτων κινήσεως, ἡ αὐτὴ τῇ μόνου τοῦ πρὸ τῆς προσβολῆς πρώτου εὑρίσκεται.

Ἡ μὲν γὰρ τοῦ πρώτου τούτων ἐνέργεια τῷ ἑτέρῳ μεταδίδωσι κινήσεως, ὅσης τοῦτο μετὰ τὴν προσβολὴν, δεκτικὸν, ἀναιρεῖ δ' ἡ τοῦ δευτέρου ἐνέργεια τοῦ πρώτου μέρος τῆς κινήσεως, ὅσης τοῦτὶ στερεῖται· ἐπεὶ δ' ἡ ἐνέργια καὶ αὐτενέργεια, ἀεὶ ἴσαι, ἀνάγκης ἄρα τὴν πρὸς θατέρου κτωμένην ῥοπὴν ὑπάρχειν ἴσην τῇ τοῦ ἑτέρου ἀπωλλαμένῃ, ὡς αὔξειν, ἤμειουν τὴν προσβολὴν, τὴν δυοῖν ἅμα ληφθέντων σωμάτων ῥοπὴν, ἀμήχανον.

Ἔπειτ' ἐντεῦθεν, τὴν, μετὰ τὴν προσβολὴν, ταχύτητα, ἐνοῦσαν τὴν αὐτὴν, οἷα σεσημείωται, ἑκατέρῳ τῶν σωμάτων, εὑρίσκεσθαι πολλαπλασιασμῷ τοῦ ἐν τῷ πρώτῳ ὄγκου τῇ πρὸ τῆς προσβολῆς ταχύτητι, καὶ διαιρέσει τοῦ παραγομένου διὰ τοῦ τῶν ὄγκων ἀθροίσματος· ἐντεῦθεν δυνατὸν ἔτι συνάγειν, ὡς προσβάλλον τὸ κινούμενον ἑτέρῳ τῳ, κινουμένῳ διευθύνσει τῇ αὐτῇ, βραδύτερον δὲ, ἄμφω, μετὰ τὴν προσβολὴν, διευθύνσει μὲν τῇ αὐτῇ συμπροΐασι, ταχύτητι δὲ διαφόρῳ τῆς, ἣν εἶχον, καὶ ταύτῃ ἅμα τοῖς δυσὶν ἐσομένῃ, αἱ δὲ ῥοπαὶ, ἤτοι τὰ τῶν κινήσεων ἀθροίσματα, ταῦτα, μετὰ τὴν προσβολὴν, οὐ καὶ πρὸ ταύτης ἦν.

Τῶν μὲν κινήσεων ἀντίαις, τῶν δὲ ταχυτήτων ἴσαις προσβάλλοντ' ἀλλήλοις δύω τῶν σωμάτων ἴσα, μετὰ τὴν προσβολὴν, ἠρεμεῖ.

Ἁπλῆ κίνησις, ἡ μιᾷ μόνῃ τῶν δυνάμεων παραγομένη· σύνθετος δ', ἡ πρὸς πλειόνων, ἐπὶ τ' αὐτὸ ξυντρεχουσῶν ἀποτέλεσμα.

Ξυντρέχειν, φαμὲν, τὰς δυνάμεις, ὅθ' ἡ τούτων ἑκάστης διεύθυνσις τῇ τῶν ἄλλων ἀπολύτως μὴ ἀντίκηται· ὡς, περιαγομένης περὶ τὸ αὐτῆς κέντρον διαμέτρου τινος, ὅ, τι οὖν τῶν ἐν τῷ ταύτης μήκει σημείων ταύτῃ ἐν ταυτῷ συγκινεῖται.

Πᾶσα κυρτόγραμμος κίνησις, σύνθετος, ἢ, τοὐναντίον, πᾶσα εὐθύγραμμος, ἁπλῆ.

## ΙΗ.

Ὠθούμενον δυσὶ τῶν δυνάμεων, τὸ κινητὸν Α, τῇ μὲν κατὰ τὴν ΑΒ διεύθυνσιν, τῇ δὲ κα-




τὰ

τὰ τὴν ΑΓ, τὴν τȣ̃ παραλληλογράμμȣ διαγώνιον ΑΔ τῇ τȣ́των συνθέτω κινήσει καταγράψει. ȣ̓, θατέρα τȣ́των κινȣ́μενον, μόνην τὴν ΑΒ, ἢ ΑΓ, κἀν τ' αὐτῷ χρόνω, ὃν διελθεῖν τὰς δύω πλευρὰς ἂν ἐδαπάνα, κατέγραψε.

Κατὰ μὲν γὰρ τὴν ΑΒ κινȣ́μενον τὸ Α τῇ αὐτῷ μεταδεθείσει δυνάμει, εὑρεθείη ἂν ἐν τῇ πρώτῃ ῥοπῇ ἐπί τινος τῶν τῆς ΑΒ εὐθείας σημείων, οἷον, τὸ Η, ϗ ἑπομένως ἐπὶ τῆς Ηλ, παραλλήλȣ τῇ ΑΓ· κατὰ δὲ τὴν ΑΓ, ἐν τῇ αὐτῇ ῥοπῇ, ἐπί τινος τῶν τῆς ΑΓ, οἷον τοῦ Ι, ὃ τοιȣ̃τον, ὡς εἶναι, $AI : AH = AB : A\Gamma$, (ἣν ἀναλογίαν τȣ̃ τῆς προεκτεθείσης μονοειδȣ̃ς κινήσεως νόμȣ ῥᾶςον ἐξάγειν), κἀκ τ' ἀκολȣ́θȣ, ἐπὶ τῆς Ιλ, παραλλήλȣ τῇ ΑΒ· μὴ ἀντικειμένων δ' ἀλλήλαις τῶν περὶ τὰς δυνάμεις διευθύνσεων, ȣ̓δετέρα τȣ́των τὸ τῆς ἑτέρας ἀποτέλεσμα κωλύει, ϗ ἑπομένως ἀφίξεται τὸ σῶμα ἐν τῇ αὐτῇ ῥοπῇ τȣ̃ χρόνȣ ἐπὶ τὸ σημεῖον λ, ἐφ' ὃ αἱ Ιλ, Ηλ ἀλλήλαις συναντῶσι· δῆλον ὁμοίως, ὡς, ἀχθεισῶν τῶν ΚΜ, ΜΘ, παραλλήλων ταῖς ΑΒ, ΑΓ, εὑρεθήσεται τέλος τὸ σῶμα ἐν ἄλλῃ ῥοπῇ ἐπὶ τȣ̃ Μ, ϗ τέλος ἐν τῷ τȣ̃ ὅλȣ χρόνȣ τέλει ἐπὶ τȣ̃ Δ. ὅ, ε, δ.

Ἐπεὶ δυνατὸν ἄρα περὶ πᾶσαν εὐθεῖαν ΑΔ παραλληλόγραμμον κατασκευάζειν τὸ ΑΒΓΔ, συνιςῶντας ἐπὶ τῆς ΑΔ, οἷα κοινῆς βάσεως, ἴσα τε ϗ ἀντικείμενα τρίγωνα δύω, ἕπετ' ἐντεῦθεν, ὡς δυνατὸν ἀεὶ πᾶσαν εὐθύγραμμον κίνησιν θεωρεῖσθαι, ἣν δέῃ, οἷα ἐκ δυοῖν ἄλλων σύνθετον.

Ἀλλ' ὡς ἐν τῇ τοῦ περὶ τὴν ΑΔ παραλληλογράμμου κατασκευῇ δυνατὸν τὴν τῶν πλευρῶν ΑΓ, ΑΔ, ἀναλογίαν μεταβάλλουσάν, λαμβάνεσθαι πρὸς τὸ δοκοῦν, οὕτως ἀπείροις διαφόροις τρόποις καὶ τὴν κατὰ τὴν ΑΔ κίνησιν σύνθετον υπάρχειν· ταύτῃ καὶ τὴν αὐτὴν εὐθύγραμμον κίνησιν ἐξ ἀπείρων διαφόρων ἁπλῶν κινήσεων συγκειμένην, ἀναλύεσθ' ἑπομένως, ἢ ἂν δέῃ, τρόποις ἀπείροις.

Ἐντεῦθεν ἕπετ' ἔτι, ὡς, ἐὰν πρὸς τριῶν διαφόρων δυνάμεων, ὧν ἰσοδύναμοι τῇ τρίτῃ αἱ δύω, καὶ κατὰ διευθύνσεις, τὰς ΑΒ, ΑΓ, ΑΔ, ἕλκηταί τι τῶν σωμάτων, αὗται πρὸς ἀλλήλας ἔσονται ἐν τῷ λόγῳ τῶν ΒΔ, ΔΑ, ΔΓ, τῶν ταῖς αὐτῶν διευθύνσεσι παραλλήλων, εἴτ' οὖν ἐν ἀντιστρόφῳ λόγῳ τῶν περὶ τὰς γωνίας, αἳ ταῖς τῆς αὐτῶν διευθύνσεως γραμμαῖς καὶ τῇ περὶ τὴν τῆς τρίτης διεύθυνσιν περιέχονται, ἡμιτόνων· ἔστι γάρ, ΒΔ: ΑΔ, ὡς τὸ ἡμίτονον τῆς ΒΑΔ γωνίας πρὸς τὸ τῆς ΑΒΔ.

## ΙΘ.

Ἐν τῇ συνθέτῳ μονοειδεῖ κινήσει, ἡ ταῖς τῶν κινήσεων ξυμπνευσάσαις παραγομένη ταχύτης πρὸς τὴν ἑκάστης τῶν δυεῖν, ληφθεισῶν ἐν μέρει, ὡς ἡ τοῦ ΑΒΓΔ παραλληλογράμμου διαγώνιος ΑΔ, κατὰ τάς, αἷς ἐνεργοῦσι, πλευράς, πρὸς ἑκάστην τῶν ΑΒ, ΑΓ, πλευρῶν.

Ἐν τ' αὐτῷ γὰρ χρόνῳ, ἐν ᾧ θατέρα μὲν τῶν δυνάμεων ἄγοι ἂν τὸ κινητὸν ἐπὶ τῆς τοῦ παραλληλογράμμȣ πλευρᾶς AB, ἡδ' ἑτέρα ἐπὶ τῆς AΓ, συναπτόμεναι, κατὰ μῆκος τῆς ΔA διαγωνίȣ, πρὸς ἑαυτὰς τȣτ' ἄξȣσιν· ἡ ἄρα AΔ διαγώνιος, τὸ ταύταις ἐν τ' αὐτῷ χρόνῳ καταγραφόμενον διάστημα· ἀλλ' ἐπὶ τῆς μονοειδȣ̃ς κινήσεως, αἱ ταχύτητες εἰσὶν, ὡς τὰ ἐν τῷ δοθέντι χρόνῳ διανυόμενα διαστήματα· ἡ ἄρα ταῖς τῶν δυνάμεων ξυμπνευσάσαις παραγομένη δύναμις, πρὸς τὴν ἑκάστης τȣτων ἐν μέρει, ὡς AΔ : AB, ἢ : AΓ.

Οὕτω, δοθεισῶν τῶν ξυμπνευσάντων δυνάμεων, εἴτ' οὖν δοθέντος τȣ̃ λόγȣ τῶν ταχυτήτων διὰ τῶν AB, AΓ, ὧν δίδοται τὸ μέγεθος, ἔτι δὲ, θέσει δοθείσης τῆς τῶν δυνάμεων τῶνδε διευθύνσεως διὰ τȣτων τῶν γραμμῶν; ἢ διὰ τῆς, ἣν δεῖ ταύτας συνιστᾶν, γωνίας, δοθήσονται ὡσαύτως ἥτε ταχύτης καὶ ἡ τῆς λοξῆς κινήσεως διεύθυνσις· ἡ γὰρ διαγώνιος ἤδη μεγέθει καὶ θέσει δίδοται.

Δοθείσης οὐδὲν ἧττον τῆς λοξῆς κινήσεως, ἐντεῦθεν αἱ ἁπλαῖ κινήσεις, ȣ̓κ ἀντίστροφοι· δυνατὸν γὰρ τὴν αὐτὴν λοξὴν κίνησιν ἐκ πλειόνων διαφόρων ἁπλῶν συγκεῖσθαι κινήσεων.

## K.

Ἐν τῇ πρὸς τῶν αὐτῶν δυνάμεων παραγομένῃ συνθέτῳ κινήσει, τοσȣ́τῳ μείζων ἡ ταχύ-




τὴν, ΑΒ = ΑΖ· πρόδηλον ἤδη, ὡς ἡ μὲν ΑΔ διαγώνιος τῷ τῆς μείζονος γωνίας ξυμβάντι ἀνήκει, ἡ δὲ ΑΕ, τῷ τῆς ἐλάττονος, ᾗ τέλος ἐν τῷ αὐτῷ χρόνῳ καταγραφόμεναι· ὅτι ΑΒ = ΑΖ· αἱ ἄρα ταχύτητες πρὸς ἀλλήλας, ὡς ΑΔ: ΑΕ· ταύτῃ κἀπεὶ ΑΔ, ἐλάττων, ἢ ΑΕ, ἡ ἐν τῷ τῆς μείζονος γωνίας ξυμβάντι ταχύτης, ἐλάσσων, ἢ ἡ ἐν τῷ τῆς ἐλάσσονος.

Οὕτω,

της, ὅσῳ γ' ἐλάτ]ων, ἡ ]ῆς διευθύνσεως γωνία· κἀκείνημὲν τοσῦ]ον ἐλάτ]ων, ὅσῳ ἥδε μείζων.

Ἔςω γὰρ ΒΑΓ, ἡ τῆς διευθύνσεως μείζων γωνία, ἡ δὲ ΖΑΓ, ἡ ἐλάτ]ων· ἑκατέρῳ γὰρ τῶν ξυμβάντων ὑποτίθενται δυνάμεις, αἱ αὐταί. τῶν δὲ παραλληλογράμμων ΑΖΕΓ, ΒΑΓΔ, ἡ μὲν ΑΓ, κοινὴ, ἡ δὲ, παρὰ ταύ-



Οὕτω, δοθεισῶν ἐν εἰδικῷ τινι τῶν ξυμβάντων τῆς τε τῶν ξυνελθουσῶν δυνάμεων ταχύτητος, καὶ τῆς περὶ τὴν τούτων διεύθυνσιν γωνίας, τὴν τῆς κινήσεως σύνθετον ταχύτητα δυνατὸν ἤδη ὁρίζειν· κἀκ τ᾽ ἀκολούθου τὰς τῶν ταχυτήτων, ὅσαι ταῖς αὐταῖς δυνάμεσιν ὑπὸ διαφόρους γωνίας τῆς διευθύνσεως παράγονται, σχέσεις.

Α. ἐνεργουσῶν ἄρα τῇ αὐτῇ διευθύνσει τῶν συντιθεισῶν δυνάμεων, ταχύτερον κινεῖται τὸ κινητόν· σωζόμενης δ᾽ ἀμεταβλήτου τῆς περὶ τὴν κίνησιν διευθύνσεως, ἁπλῇ κινήσει κινεῖται. Β. ἀντικειμέναι καὶ ἴσαι ἀλλήλαις οὖσαι, πρὸς ἀλλήλων αἰαιροῦνται· μὴ ἐξιςαμένων γὰρ τῆς αὐτῶν χώρας τῶν σωμάτων, οὐδὲν ἐκ τούτων παράγετ᾽ ἀποτέλεσμα. Γ. ἀντικείμεναι οὖσαι, αἱ τῶν δυνάμεων ἄνισοι, ἐν μέρει ἀλλήλας ἀναιροῦσιν, ἤδ᾽ ἐντεῦθεν προκύπτουσα κίνησις, τὸ τῆς διαφορᾶς δυεῖν ἀποτέλεσμα, εἴτ᾽ οὖν ἡ τῆς μείζονος ὑπεροχὴ ὑπὲρ τὴν ἐλάττονα. Δ. συνιςῶσαι δ᾽ αἱ δύω αὗται γωνίαν, τὴν ἀλλήλων κίνησιν ἐπιβραδύνουσιν, ἢ ἐπιταχύνουσι, κατὰ τὴν τῶν ταύτας δηλουσῶν γραμμῶν λοξὴν διεύθυνσιν· δῆλον ὡσαύτως, ὡς δυνατὸν ἁπάσας τὰς δυνάμεις ἐξίσου θεωρεῖν, οἷα ἐπὶ μίαν ἡνωμένας, τὴν ταύτας παριςῶσαν, ἢ μόνην ταύτην, ὡς διαιρημένην ἐς τὰς, ἐξ ὧν ἤδε συντίθεται· χρήσεώς τε καὶ ὠφελείας οὐ τῆς τυχούσης ἐν τῇ μηχανικῇ ἤδ᾽ ἡ μέθοδος. ἐφ᾽ ᾧ τὴν τῆς ἐνεργείας τῶν πρὸς ἄλληλα πλαγίως ἐνεργούντων σωμάτων ποσότητα ἀνακαλύπτειν.

Τῆς

Τῆς ἀρχῆς ταύτης δήλη γίνεται ἡ σώματός τινος ὁδὸς, ὁσαισοῦν τῶν ἐπὶ τοῦθ' ἅμα ἐνεργουσῶν δυνάμεων εἴκοντος· ὁριζομένη γὰρ ἥδε, ἣν δύω τούτων διανύειν τὸ κινητὸν ποιοῦσι, πλευρὰ κοινοῦ τινος τριγώνου γίνεται, οὗπερ ἡ τὴν τρίτην δύναμιν παριστῶσα γραμμὴ, πλευρὰ δευτέρα, ἡ δὲ τοῦ κινητοῦ ὁδὸς, ἡ αὐτοῦ βάσις· οὕτως ἤδη χωροῦντες, τὴν τοῦ κινητοῦ ὑστάτην, ὁδὸν εἰσόμεθα διὰ τῆς ἁπασῶν τῶν ἐπὶ τοῦτ' ἐνεργουσῶν δυνάμεων συνημμένης ἐνεργείας.

Δυνατὸν, πλειόνων ἅμα κινήσεων πειρᾶσθαί τι τῶν σωμάτων· ὁριζοντείως ῥιπτόμενον ἐν νηΐ τι τούτων, οὐχ ὅπως τῆς, ἧς γε τοῦθ' ἡμεῖς μεταδιδόαμεν, προβολικῆς πειρᾶται κινήσεως, καὶ τῆς, ἣν αὐτῷ ἐν ἁπάσῃ στιγμῇ ἡ πρὸς τὴν γῆν βαρύτης, ἀλλ' ἔτι δὴ, παρὰ ταύτας, καὶ τῆς περὶ τὴν, ἥγ' ἔνεστι, νῆα. κινουμένων δ' ἀπαύστως, τῆς παρ' ᾗ πλεῖ ἡ ναῦς, ὄχθης, τῆς γῆς αὐτῆς, ᾗ συγκινεῖται ἥδε, ἐν 24 ὥραις περὶ τὸν αὐτῆς ἄξονα, τελούσης τὴν αὐτῆς ἐτήσιον κίνησιν περὶ τὸν ἥλιον, τὴν τῶν αὐτῆς πόλων περίοδον, τὴν τοῦ ἑαυτῆς ἰξισωτοῦ ἰσοσταθμίαν, κτ. ἁπασῶν, ἃ θεωροῦμεν, σῶμα τῶνδε μετέχει τῶν κινήσεων· ἀλλ' εἴγε καὶ τούτων, οὐδὲν ἧττον γεμὴν μόνον τῶν δυεῖν πρώτων, αἳ τούτῳ ἀνήκουσιν, ὡς πρὸς τὰ σὺν αὐτῷ ἐν τῇ νηῒ μεταφερόμενα· ἅπαντα γὰρ τὰ κοινὴν ἡμῖν ἔχοντα κίνησιν σώματα, οἷάπερ ἐν ἠρεμίᾳ τυγχάνει ὄντα, ὡς πρὸς ἡμᾶς.

Σύνθετον κίνησιν ἀεὶ παρίστησιν ἡ κυρτὴ γραμμή· καταγράφειν κυρτὴν γραμμὴν, ἀεὶ διεύθυνσιν ἐστὶ μεταβάλλειν· ἐὰν ὠθοῦσαί τι σῶμα

δύω

δύω δυνάμεις, ἀνισάκις ἐπιταχύνωνται, μᾶλλον δὲ, ἐὰν, ἐπιταχυνομένης θατέρας, ἡ ἑτέρα μονοειδὴς ᾖ, ἡ πρὸς τȣ̃ ἐν κινήσει σώματος καταγραφομένη γραμμὴ, ȣ̓κέτι εὐθεῖα, ἀλλὰ κυρτὴ, ἧς διάφορος ἡ κυρτότης, κατὰ τὸν συνδυασμὸν τῶν ταύτην καταγραφȣσῶν ἀνίσων δυνάμεων· ἑκατέρα γὰρ τȣ́των ὠθȣσῶν αὐτὸ εἴξει κατὰ τὴν τῆς ἐνεργείας ποσότητα· ȣ̃τω, φέρε, ἀνανεȣ́σης μὲν ἐν ἁπάσῃ στιγμῇ τὴν αὐτῆς ἐνέργειαν θατέρας τȣ́των, μενȣ́σης δὲ τῆς περὶ τὴν ἑτέραν ἐνεργείας τῆς αὐτῆς, ἡ τȣ̃ κινητȣ̃ ὁδὸς ἐν ἁπάσῃ στιγμῇ μεταβάλλει· ἅπαντα δὲ τὰ σώματα, ὅσα πλαγίως ῥίπτεται, τὸν τρόπον τὸν δ᾽ ἐπὶ τὴν γῆν ἐπανήκει.

Ἡ σώματός τινος ἀκαριαία κίνησις ἀεὶ ἐν γραμμῇ εὐθεία· ἡ τῶν εὐθειῶν, ἃς ἐν ἑκάστῃ στιγμῇ τὸ κινητὸν διήκει, βραχύτης, ἰδία τȣ́των ἑκάστην διακρίνειν, ȣ̓ ξυγχωρεῖ· ταύτῃ ϗ τὸ τῶν ἀπειράκις ἐλαχίστων ϗ ἀλλήλαις ἐπικλινȣσῶν εὐθειῶν ἄθροισμα, μία μόνη κυρτὴ δοκεῖ. ἀλλὰ τῶν βραχυτάτων εὐθειῶν τȣ́των ἑκάστη τὴν ἐν ἑκάστῃ ἀπειράκις ἐλαχίστῃ στιγμῇ διεύθυνσιν τῆς κινήσεως παρίστησιν, ȣ̓̃σαν διαγώνιον παραλληλογράμμȣ τȣ̃, ὃ τῇ τῶν πράγματι ἐνεργȣσῶν δυνάμεων διευθύνσει κατασκευάζεται· ȣ̃τως ἡ κίνησις ἀεὶ ἐφ᾽ ἑκάστῃ ἀπειράκις ἐλαχίστῃ στιγμῇ ἐπ᾽ εὐθείας γραμμῆς περαίνεται, ἢ ϗ ἀεὶ μονοειδής.

Ἔστι κίνησίς τις, ἥγε εἰ ϗ μὴ τὸ ὅλον, τὰ γεμὴν τȣ́τȣ μέρη χώραν ἀμείβει· τοιαύτη δὲ, ἡ τȣ̃ περὶ ἑαυτὸ περιαγομένȣ σώματος σχετική, οἷα,

οἷς, φέρε, ἡ τῆς γῆς, ἐν τῇ αὐτῆς νυχθημέρῳ κινήσει· τὰ τὰς ἀπειράκις ἐλαχίςας εὐθείας ταύτας, περὶ ὧν ἡμῖν ὧδε λόγος, καταγράφειν, ἐπειγόμενα, ἀντὰ ταῦτα τ' αὐτῆς μέρη τυγχάνει· ἀλλ' ἐπὶ τῆς ἀγχινῦς ὑποθέσεως τῆσδε, εἰ ϗ μὴ εὐαρίθμας ἔςι ποιεῖσθαι τὰς παρατηρήσεις, εὐρυτέρων γεμὴν λεπτολογιῶν ἀνεπίδεκτος ὐδ' ἡ πραγματεία.

## Περὶ Φύσεως μεταφυσικῆς.

Διάφορα ὄντα τὰ τῆς λέξεως, φύσις, σημαινόμενα, ξυγχέειν ἀλλήλοις ταῦθ' ἥκιςα, δεῖ, ἵνα μὴ ἀσάφειάν τε ϗ ἀπάτην, αἷς ἄντις παραφέροιτο, τὰς τῦ ὅρυ τῦδε διαφόρυς ἐκδοχὰς ἐν τοῖς τῶν φιλοσοφύντων συγγράμματι μηδόλως διακρίνων, ἡ ἀμφίβολλος ἔκθεσις αὕτη τῆς ἑξῆς διδασκαλίας καταχέῃ. εἰ γὰρ κὰν τῇ κοινῇ διατριβῇ τῶν σημασιῶν διαφόροις ἐκλαμβάνειν τὴν λέξιν ἡμῖν ἐφεῖται, ταύτην ἀεὶ μὴ προεκτιθεμένοις, ἀλλ' ὐχὶ μέντοι κἀκείνοις, τὰ σφῶν αὐτῶν συγγράμματα τὺς ἄλλυς διδαχῇ μυεῖν ἐπαγγελλομένοις.

Α. καθολικωτέρα, εὐρυτέρα ϗ κοινοτέρα ἐκδοχῇ αὐτῆς, τὸ τέλειον ἄθροισμα ἡ φύσις δηλοῖ, εἴτ' ἦν τὸ τῶν ποιημάτων ἁπάντων, ὅσα τὸ πᾶν τόδε ξυγκροτεῖ, σύςημα, ὐκ ἄλλως θεωρυμένων. ἢ, οἷα ἓν ὅλον μόνον συνιςώντων, ὧ τὰ μέρη ἀντιςρέφυς ἔχει τὰς σχέσεις, ὑφ' ὧν αἱ τῶν κατ' ἀμοιβὴν ἐπιῤῥοιῶν γινόμεναι, μᾶλλον, ἢ ἧττον, δραςήριοι, κατὰ τὸ μᾶλλον, ἢ ἧττον, ἄμεσον τῶν σχέσεων τῶνδε· ἀλλὰ τῶν φιλοσοφύν-

φύντων τινὲς, ἀντὶ τῦ ὀνόματος, φύσις, τὴν ἔκθεσιν τήνδε, σύςημα τῦ κόσμυ, ἢ τῦ παντὸς, ἀντικαθιςᾶν εἰώθασιν ἐπὶ τῆς σημασίας ταύτης, κᾂν ἄνευ λόγυ.

Εἴρηται, ὡς τὔνομα, φύσις, ἐπὶ τῆς ἀνὰ χεῖρας θεωρίας τὸ τῶν κτισμάτων ἁπάντων σύςημα δηλοῖ· σημαίνειν γὰρ ἐν τ' αὐτῷ ταῦθ', ἃ τὴν αὐτῶν ὕπαρξιν εἴληφε, ϗ τὸ αἰώνιον ὂν, ὃ παρ' ὐδενὸς ταύτην γινώσκει, ἀλλ' αὐτὴν ἀεὶ τοῖς πᾶσι δωρεῖται, διὰ τῦτυ, γεννέσεώς τε ϗ ἀρχῆς ἀναγκαίως ἰδέαν τινὰ ἐκτιθεμένη, προδηλοτάτη, ἀντίφασις· ἡ γὰρ πρώτη αἰτία, ἄναρχός τε ϗ ἀγέννητος.

Κατὰ τὴν πρώτην ταύτην ἐκδοχὴν, φύσις ἐςὶν, ἅπαν τὸ μέγα τῦτο ἐνδεχόμενον, ὅγε καλεῖται πᾶν, ὑποκείμενον ταῖς τῦ πεπνυμένου φιλοσόφυ παρατηρήσεσι, τῦτο γινώσκειν, τὴν τύτυ ἔκτασιν ἀνακαλύπτειν, τ' αὐτῦ διάφορα μέρη, τὰς τύτων σχέσεις, τὰς αὐτῶν ἐπιῤῥοίας, διακρίνειν ἀλλήλων, ζητῦντος· ἡ μὲν προσαρμογὴ, εἴτ' ὖν προσοχὴ, ἣν ἐν ταῖς ζητήσεσι ταύταις παρεχόμεθα, μελέτη φύσεως ἀκύει· αἱ δ' ἀνακαλύψεις, ἃς διὰ ταύτης ποιῦμεθα, εἰς συςηματικὰ ἐπανχγόμεναι σώματα, τὺς τῶν ἐπιςημῶν διαφόρυς κλόνας συνιςῶσι, διάφορα ἐπιδεχομένων ϗ τὰ ὀνόματα, κατὰ τὰ τῆς φύσεως διάφορα μέρη, ἃ ταύταις ὑποκείμενα, ἀςρονομία, φυσικὴ, ψυχολογία· τὰ ἐξ ἁπασῶν τῶν ἀνακαλύψεων ἐκ τῦ ὑποκειμένυ τύτυ τέλεια τῶν σωμάτων, τὸ, ἱςορία φύσεως, ἢ φυσικὴ ἱςορία, καλύμενον κατασκευάζυσιν.

Ἔςι

Ἔστι δ' ἥδε, συναγωγὴ πάντων, ὅσα τῇ θεωρίᾳ ταύτῃ ἔγνωσται, ἣν ἐπὶ λεπτῇ μεθόδῳ καὶ ἡρμοσμένῳ πίνακι παριστῶν, οὐ τοὺς τυχόντας ἱδρῶτάς τε καὶ πόνους καταβαλόντες ὁ κύριος, κύριος Βουφφὼν καὶ Δ'Αουβεντῶν, τὴν μεγίστην πραγματείαν τὴν δ', ἐν μέρει ἤδη ἐκδεδομένην ὑπὸ τίτλον, φυσικὴ ἱστορία, ξυνέθεντο, καταγραφὴν ἐπιτόμου πίνακος, οἰκείου ἅμα πάντα διαλαμβάνειν τὰ τοῦ παντὸς μέρη, ἣν ὠφελιμωτάτην δόξασαν, ὑπὸ τίτλον θεωρία φύσεως ὁ κύριος Βονέτος ὡρίσατο.

Κοινῇ οἱ τῶν φιλοσοφούντων ὕπατοι, οἷα πάνσοφόν τι ἔργον, θεωροῦσι τὴν φύσιν, πρώτης, νοερᾶς καὶ παντελείου τινος αἰτίας, ἣ τὸ τούτου ἀρχέτυπον ἐπινοήσασα σχέδιον, κἀν ἁπάσῃ τελειότητι αὐτὸ ἐπεξεργασαμένη, ἑκάστῳ τῶν αὐτοῦ μερῶν τὴν ὕπαρξιν ἐδωρήσατο, τὸν τόπον, τὰς σχέσεις, τὰς ἰδιότητας, τὸν προσδιορισμὸν τούτοις διαταξαμένη· ὅσῳ μᾶλλον τὴν φύσιν μελετᾷ τις, τὸ τῆς τ' ἀμέτρου τούτου παντὸς καταγραφῆς ἑνιαῖον, τὴν τῆς νοεροῦ τε καὶ μόνου τινος καθηγητοῦ προθέσεως ἄπειρον σοφίαν, τὸ τῆς τοῦτ' ἀγαθότητος ὑπερτέλειον, τὴν αὐτοῦ ἀπερίγραπτον δύναμιν, ἑαυτῷ παριστῶν, τοσούτῳ μᾶλλον ἐναργέστερον καθορᾷ, ἅπαντα πέρας ἔχειν, οὗ ἕνεκα καὶ ὑφίσταται, καὶ τέλος, ἐφ' ὃ τούτων ἕκαστον δεῖ τείνειν, περιττὸν δ', ἢ βλαβερὸν, οὐδὲν, πρὸς τάξιν τὴν αὐτῶν, τὰς σχέσεις, τὰς ἰδιότητας, ἔπειτα τὴν τοῦ ὅλου καὶ τῶν τούτου μερῶν εὐδαιμονίαν συντρέχοντα· ταύτῃ καὶ οὐκ ἀλόγως, οἷά τινα βίβλον, τάς τε τοῦ δημιουργοῦ τελειότητας γινώσκειν ἡμᾶς διδάσκουσαν, καὶ τὴν τοῦ καθηγη-

τοῦ

τῦ ὑπεράμετρον ἔξιν ἱκανῶς ἀποδεικνῦσαν, θεωρεῖν τὴν φύσιν ξυνᾴδυσι.

Β. Ὑπὸ δευτέραν ἔτω κοινὴν ἐκδοχήν τινα, ἡ λέξις, φύσις, ἐν πάνυ γενικῇ ὡσαύτως σημασίᾳ, ὐκέτι τὰ ὄντ' αὐτὰ, ἀλλ' αὐτὸ τ' ἄθροισμα καὶ τὴν ἕνωσιν ἁπασῶν τῶν ἐν τύτοις, ὅσα τὸ ὁλοσχερὲς τόδε πᾶν ξυντίθησιν, ἰδιοτήτων, οἷα ἐμφύτων, καὶ δευτέρων αἰτιῶν τῶν τῷ παντὶ ξυμβαινυσῶν μεταβολῶν, αὐτοῖς ἐνθεωρυμένων, δηλοῖ· ταῦταδ' ἐν τῇ αὐτῦ καθόλυ κοσμολογίᾳ, §. 503, καθόλυ φύσιν ὀνομάζων ὁ Οὐόλφιος, ἀρχὴν, ἐμπεριεχομένην, εἴτ' οὖν ἔμφυτον τῷ κόσμῳ, ἁπασῶν τῶν ἐν τύτῳ ξυμβαινυσῶν μεταβολῶν, ταύτην ὁρίζεται· ἐσωτερική τις, φησὶ, τῶν ἐν τῷ κόσμῳ τῷδε μεταβολῶν ἀρχὴ πέφυκεν ἡ φύσις· διαφέρει δ' ὕτος τῦ καθ' ἡμᾶς ταύτῃ, ὡς μόνον τὰ σώματα, ἤτοι τὰ τῶν ὄντων φυσικὰ ἑρμηνεύων διὰ τῦ κόσμυ· χρῆσθ' ἀλλ' ὖν ὧδε τῷ κατ' αὐτὸν ὁρισμῷ, νοῦντας, ἀντὶ κόσμυ, ἅπαντα τὰ κτιςὰ, ὅσα φυσικά τε καὶ ἠθικὰ, ὐδὲν ἂν κωλύοι· ὅτι ταῦτα, ἢ κἀκεῖνα, ἐνεργῦντα, ἢ πάσχοντα, μεταβολὰς, κατὰ τὰς αὐτῶν ἐνεργητικὰς, ἢ παθητικὰς, ἰδιότητας, τῦ μὲν παντὸς μέρη γίνεται, τῶν δ' ἐνεργειῶν, μεταβολῶν, ἀποτελεσμάτων, ἅπερ ἐν τύτῳ παράγυσι, πράγματι αἴτια, ὡς τύτων ἕκαςον τ' ἀποτελέσματα ταῦτα ἄλλως μὴ παράγον, ἀλλ' ἤτοι κατὰ τὰς αὐτῦ δυνάμεις καὶ ποιότητας, ἢ τῷ λόγῳ τῶν αὐτῦ ἐνεργητικῶν, ἢ παθητικῶν, δυνάμεων, καὶ σχέσεων, ἅς γε πρὸς τ' ἄλλα τῶν ὄντων ἔχει· ἀλλ' ἡ

τῶν περὶ τὰ ὄντα ταῦτα, τὰ, ὡς αἴτια, θεωρούμενα, δυοῖν εἰδῶν οὐσιώδης διαφορὰ, πέφυκεν ἥδε· ὡς τὰ μὲν ἠθικὰ ἐνεργητικῇ τινι ἀρχῇ ἐκείνων πλεονεκτεῖ, ἣ τούτοις ἰδία, καὶ ἣν ἑπομένως τὴν τῆς αὐτῶν καταστάσεως πορίζονται συνείδησιν· τὴν διαφερούσης τινος, ἢ ὡς κατὰ τὴν αὐτῶν, οὔπω ἔθ' ὑφεστηκείας, ἰδέαν· τὴν ταύτης προορωμένης βούλησιν· τὴν ἐνέργειαν, ἧς τὸ παραχθησόμενον ἀποτέλεσμα, αὐτὴ ἐκείνη ἡ προορωμένη κατάστασις· τὴν τῆς ἐνεργείας ταύτης, ἧς προεώρακε καὶ τ' ἀποτέλεσμα, προεσκεμμένην ἀρχὴν, κατὰ συνέχειαν προάγειν, αἰωρεῖν, παραιτεῖσθαι, ἄλλο τι πράττειν, προσδιορίζεσθαι, μεταβάλλειν, ἢ μὴ ἐνεργεῖν, καὶ ταῦτ' ἀεὶ ξὺν γνώσει τῆς αἰτίας, ἑκουσίως, αὐτοθελήτως, μετὰ τὰς ἰδέας, τοὺς λογισμοὺς, τὰς ψήφους, τὰς ἀποφάνσεις, καὶ τὴν, ἣν, τῶν ἀμηχάνων, ὑποκρίνεσθαι, συνείδησιν· ἐκ τ' ἀκολούθου δὲ ἐλευθέρας, αὐτοθελήτους, ἀνακυκλιστικὰς, ἠθικὰς, πεπηγόσι τε καὶ ἀτρέπτοις νόμοις μὴ ὑποκειμένας, τὰς τούτων ἐνεργείας καλοῦμεν· εἰδὲ καὶ τοῖς κατ' ἦθος ἐνεργοῦσιν ὑπάρχει νόμος, ᾧπερ ἐξ ἀνάγκης ἐν οἷα δήποτε πράξει ἅπαντα ταῦτ' εἴκει, οὗτος δεικνύων μόνον, ὡς διὰ τοῦτο ἐπὶ τὴν αὐτῶν τελειότητα καὶ εὐδαιμονίαν ταῦτα προκαλεῖται ὁ δημιουργὸς, τίθησιν αὐτὰ ἐν καταστάσει, οὐχ ἵν' αὐτὸν ποιεῖν μὴ ἔχωσιν, ἀλλ' ἵνα, τούτοις αὐτοῦ, οἷα τοιούτη, γινωσκομένου ἐνεργέστατα, αἱρεῖσθαί τε καὶ πράττειν, ὃ ἂν αὐτὰ κατέστησε κακοδαίμονα, μηδέποτε βούλωνται, ἐθέλωσι δὲ, τοὐναντίον, ἀεὶ αἱρεῖσθαί τε καὶ πράττειν, ὃ σφίσιν αὐτοῖς προσῆκον οἴονται, τὴν εὐδαιμονίαν διὰ τούτου πορίζόμενα· κεκοσμημένοις

ἐνερ-

ἐνεργεία τοῖς ἠθικοῖς, ὅσα γινώσκομεν, κἀξ ὕλης ϗ νῦ συγκειμένοις, ἡ τούτοις κινητικὴ ἀρχὴ τ' αὐτῶν φυσικὰ μέρη ἐν κινήσει τιθεῖσα, διὰ τούτων ἐπὶ τ' ἄλλα τῶν φυσικῶν ἐνεργεῖ, μεταβολὰς τῆς καταστάσεως, ϗ καινὰς εἰδοποιήσεις αὐτοῖς ἐπάγουσα· ἀλλ' ἤδ' ἡ ἐξουσία, ἣν ἐν τῇ φύσει ἐπὶ τὰ τῶν ὄντων φυσικὰ ἔχουσι, πάνυ πεπερασμένη, οἷα ὁρίοις σχέσεως ϗ ἀναφορᾶς τῆς αὐτῶν δυνάμεως, ὡς πρὸς τὴν τῶν φυσικῶν, ἐμπεριεχομένη· ὄντων τῆς, ἣν οἰκοῦσι, γῆς σμικροτάτων μερῶν, ἡ τούτων ἐνέργεια οὐκ ἐκτείνεται, ὅ, τι μὴ ἐπὶ μόριόν τι, ὃ πρὸς τὰ τῇ γῇ ἡρμοσμένα λοιπὰ, ϗ ταύτης ὄντα μέρη, οὐδὲ λόγου τέως ἄξιον, ὡς τῷ τοῦ παντὸς συστήματι μεταβολὰς ἐπάγειν, πάντῃ ἀνεπιτηδείων.

Διαφέρει δὲ τῶν ἠθικῶν τὰ φυσικὰ, ὡς ἐνέργειαν τινα παρ' ἑαυτῶν οὐδεμίαν προβάλλοντα, ἀλλὰ τῶν αἰτίων μόνον ὀργανικὰ ὄντα, κατάστασιν μὴ μεταβάλλοντα, πλὴν εἰμὴ ἐξωτερικῇ ὠθήσει· ἡ δὲ τῆς τούτων καταστάσεως μεταβολὴ, ἥτις ποτ' ἂν ᾖ τὴν οὐσίαν, ϗ οἷόν ποτ' ἂν αὐτῇ δοθῇ ὄνομα, πλὴν τῶν, ὅσαγε τοῖς ὀνόμασι, δημιουργία, ἐξόντωσις, καλεῖται, οὐσιωδῶς ἀεὶ οὐκ ἄλλῳ τῳ βέβηκεν, ὅ, τι μὴ τῇ κινήσει, ἧς ἄνευ ἐν τούτοις ϗ διὰ τούτων ἐνεργείας τινος ἀντιλαμβάνεσθαι, ἀμήχανον· ὡς τῶν ἐνεργειῶν αὐτοῖς ἔμφυτος οὐδεμία, ἀλλ' ἀεὶ ἔξωθεν ταύτην ἐπιδεχομένοις, ϗ μεταδιδομένην αὐτοῖς, ὅπερ οὐδ' ἂν ὁ καθ' ἡμᾶς περιβλεπτώτερος ἀρνεῖσθαι τολμήσειε, διϊσχυριζόμενος, οὐσιωδῆ τῇ ὕλῃ ἐνεῖναι τὴν κίνησιν· ξυγχωρεῖ γὰρ ϗ οὗτος. ὡς οὐδεμία ὕλη ἐν κινήσει, ἢ ὅτε τὴν κίνησιν ἄυτη, ϗ ἰαύτην

την πρὸς μεταδιδέσης ἄλλης, δέξαιτο· ὥσθ' ὃ τῶν ὄντων μὴ ἔνεςί τινι, ἢ ὅτι τῦτο δέχεται, ἤπυ ἐν δεχόμενον· λέγειν τοίνυν ἐν τῷ ξυμβάντι τῷδε, ὅπερ ἀληθὲς ξυμβὰν, ἐσιώδη τῇ ὕλῃ ἐνυπάρχειν τὴν κίνησιν, ἔςιν ἀτόπως ἀντιφάσκειν, ἢ ξυμφάσκειν· ἐ γὰρ ἂν αὕτη κινηθείη, εἰμὴ τὴν κίνησιν ἐκτὸς δέξαιτο· ὡς ξὺν ἅπασιν ἄρα τοῖς αὐτῆς ἐσιώδεσι τῶν κατηγορεμένων ὑφιςαμένης, ἐχ ὡς τῆς κινήσεως, ἢ ἠρεμίας, ἠρτημένης, ταύτης ἀντιλαμβανόμεθα· ἀλλ' εἰ ἐδεμιᾷ ὕλῃ ἐσιώδης ἡ κίνησις, ἤπυ ἐδὲ τῶν ταύτης μερῶν τινι· τῶν γὰρ φυσικῶν μορίων, ἐδὲν αὐτὸ ἑαυτὸ κινεῖν πέφυκεν· ἐν ἄρα τ' αὐτῷ ξυμβάντι ᾗ ταῦτα· ἡ ἄρ ὁλοσχερὴς ὕλη τῶν κατηγορεμένων ἐσιῶδές τι τὴν κίνησιν ἐ γινώσκει, εἰ ᾗ τὸ κινητὸν αὐτῇ ἔν τι τέτων ὑπάρχει.

Εὐάριθμοι τῶν ἐν τοῖς φυσικοῖς ἐσι γενικωτέρων ἀληθειῶν ἀσφαλέςερον, ἢ κατὰ τὴν ἀνὰ χεῖρας, ἀποδείκνυνται· πᾶσα κίνησις ἐνδεχομένη τῇ ὕλῃ, οἷα ταύτην ἀεὶ μεταδόσει δεχομένη· ἡ ἄρα ταύτης ὕπαρξις τῆς πρώτε τινος κινῆντος ᾗ τῆς ὕλης διαφέροντος ὑπάρξεώς τε ᾗ ἐνεργείας ἀπόδειξις· ἀληθὲς γεμὴν ἐχ ἧττον, πᾶσαν ἐγνωσμένην ὕλην, ἤτοι ἐν κινήσει ὑπάρχειν, ἢ ἐπὶ ταύτην τείνειν, εἴτε τῶν δυνάμεων ἕλκοιτό τινι, εἴτε ᾗ ὦθησίν τινα, ἥπερ αὐτὴν ὠθεῖ, δέχοιτο· ἐντεῦθεν συνάγειν σπεύσαντές τινες, ὡς ἐσιώδης τῇ ὕλῃ ἡ κίνησις, παρ' αὐτῆς ἐνεργῦσῃ, ἐ προσέσχον, ὡς ἡ τῆς κινήσεως καθόλε ἰδέα, τεταγμένην ἐπὶ ςαθερόν τιν' ὅρον, ἐφ' ὃν, πλὴν παντὸς ἄλλε, αὕτη τὰ σώματα ἄγει, ἐδεμίαν ὅλως ἔχει διεύθυνσιν· ἀλλ', ὡς ἡ τῦ λογισμοῦ

καθόλου ἰδέα τάσιν μὲν ἐπὶ τοιοῦτόν τινα μόνον λογισμὸν, πλὴν παντὸς ἄλλου, ὡρισμένην, οὐδεμίαν ἐν ἑαυτῇ φέρει, ἀλλὰ μόνον διάθεσιν ἐφ᾽ ἅπαντας τοὺς δυνατοὺς λογισμοὺς, οὐδ᾽ ὡς τὸ κινητὸν, μόνον διάθεσις, τοῦ τὴν ἐφ᾽ ἁπάσας τὰς δυνατὰς διευθύνσεις κίνησιν δέχεσθαι, οὐχὶ δὲ καὶ τάσις πρὸς μόνον σταθερόν τιν᾽ ὅρον. πῶς οὖν κατανοήσειέ τις τὴν κίνησιν, ἢ πραγματικὴ τόπου μεταβολὴ, μὴ πρὸς μόνον ὡρισμένον ὅρον τινα, ἀλλὰ πρὸς ἅπαντα τὰ τοῦ διαστήματος σημεῖα τείνειν; ἡ τοιάδε κίνησις, ἄτοπος ἀντίφασις· πᾶσα κίνησις ἀναγκαίως ἔχει διεύθυνσιν, ὅρον, τέλος· ἐν τῇ ὕλῃ προδήλως ὁρῶμεν τὸ κινητὸν, ἀλλ᾽ οὐ καὶ δεκτικήν γε ταύτην διεύθυνσίν τινα, ἢ πέρας, κινεῖν ἑαυτὴν, παρ᾽ ἑαυτῆς προτείνειν· θεωρουμένη γὰρ αὐτῇ καθ᾽ αὐτὴν, οὐδὲν ἐν ταύτῃ ὁρῶμεν, ὃ μὴ πάσῃ κινήσει ἀδιάφορον αὐτὴν καθίστησιν· ἔτι δὲ, ὃ καὶ σημειωτέον, δεύτερον, εἰ καὶ τὰ τῶν ὄντων φυσικὰ τεταγμένην κυρίως κίνησίν τινα ἔχει, καὶ τάσιν ἐπὶ τιν᾽ ὅρον, πλὴν παντὸς ἄλλου, καὶ ταύτας πεπηγόσι τε καὶ ἀτρέπτοις νόμοις, οἷς εἴκει ἐν τῇ αὐτῶν κινήσει, τούτους γε μὴν ἀγνοεῖ· δεχόμενα ἅπαντα τὰ σώματα ταῦτα ὤθησίν τινα, αὐτὰ κινοῦσαν, καὶ τὴν αὐτῶν διεύθυνσίν τε καὶ ταχύτητα ὁρίζουσαν, θάτερον θατέρῳ ἐπιφέρεται, καὶ τὴν αὐτῶν ἐνέργειαν ἀντιστρόφως εἰδοποιοῦντα, ἅπαντα τὰ τῆς φύσεως φαινόμενα παράγει, κατὰ τὰς αὐτῶν σχέσεις ἕκαστον ξυντρέχοντα ἐπὶ τὴν τῆς γενικῆς τάξεως τοῦ παντὸς συντήρησιν, ταύτης ἰδέαν οὐδεμίαν ἔχοντα, οὐθ᾽ ὁρῶντα ἐν τῇ αὐτῶν οὐσίᾳ τὸ μᾶλλον ἀναγκαίαν αὐτοῖς ποιοῦν

τὴν κίνησιν ταύτην, ἤπερ ἄλλην τινα· ἅπαντα ἐν ταύτῃ παθητικὰ, ὡς ὑποκείμενα ταῖς τῆς καταςάσεως ξὺν ἀκριβείᾳ ὡρισμέναις ποικιλίαις, ὧν τ᾽ ἀποτελέσματα, ὅσα πρὸς ἡγεμένων αἰτιῶν πέπηγε, διανοίᾳ μόνῃ ἔςι προορᾶσθαι, τῶν δ᾽ ὀργανικῶν αἰτιῶν ἐδεμία ταῦτα γινώσκει, ἐδὲ προορᾷ, ἐδ᾽ ἐκλέγει, ἢ διευθύνει, ἀλλὰ τῇ κινήσει, ἢ ἠρεμίᾳ, ἢ ἄλλῃ τοιαύτῃ δυνατῇ κινήσει, ἑκάςῃ ἀδιάφορος, ὠθήσει ὑπόκειται, δι ἧς ἔνθεν μὲν τἕτο τῶν μερῶν ἐπὶ τὸν αὐτῷ σημειωθέντα ὅρον τείνειν συνεχίζει, ἐκεῖθεν δὲ τῆς αὐτἕ μεταδίδωσι κινήσεως, ἢ δέχεται τὴν ἑτέρου, ᾗ ἂν πρὸς ἄλλα μείζω, ἢ ἐλάττω, σχέσιν ἔχει τῷ ὄγκῳ· συναπτόμενα μὲν ἅμα πλείω τῶν μερῶν, ταύτην τἕ ἐξ ἐλασσόνων ἡνωμένων συγκειμένε ὄγκε ἀφαιρἕσι, παραχωρἕν δὲ τἕτων ἕκαςον τῇ, ἣν ἐδέξατο, ὠθήσει, κινεῖται, ἢ κινεῖσθαι ςαθερῶς τείνει, κἀκ τ᾽ ἀκολέθε μᾶλλον, ἢ ἧττον, δραςικώτερον ἐπιρρέον πᾶσιν, ὅσα τῇ αὐτἕ διαβάσει ἀντίκειται, ἐ παύει.

Τὸ τῆς ὠθήσεως ταύτης, ἣ τὴν ὕλην ἐν κινήσει τιθεῖσα, τὴν ταύτης διεύθυνσιν πήγει, ἀδιαλείπτως συνεχίζεσα, ἢ θεωρεμένη, οἷα τῶν μερῶν ἕκαςον ἄγεσα ἐν καταςάσει τἕ τῆς αὐτἕ κινήσεως ἑτέρῳ μεταδιδόναι, ὡρισμένον ἀποτέλεσμα συνίςησιν, ὃ σχετικῶς πρὸς τὰ τἕ παντὸς φυσικὰ ὄντα, φύσιν καλἕσιν, ἣν δυνατὸν τῇ σημασίᾳ ταύτῃ ἄριστ᾽ ὁρίζειν σὺν Οὐόλφίῳ, τῷ παντὶ ἔμφυτον ἀρχὴν ἁπασῶν τῶν ἐν τἕτῳ ξυμβαινεσῶν μεταβολῶν, μηδὲν ἄλλ᾽ ἔσαν, ἢ τὴν πᾶσι τοῖς τἕτε μέρεσιν ἐν τυπεμένην κίνησιν· ἰδίᾳ, ἢ ἅπανθ᾽ ἅμα, οἷα μόνον ὅλον τι, ἐ-

κα-

κατα τέτων λαμβανόμενα, τὴν κίνησιν, διεύθυνσιν, δύναμιν ἑαυτοῖς παρ ἑαυτῶν ὀκ ἐν τυπῦσιν, ἀλλὰ πρὸς ἐξωτερικῆς, ἐνεργητικῆς τε κ) διανοητικῆς αἰτίας ταύτας λαμβάνυσιν· ἐνεργητικῆς, φημὶ, τὸ γὰρ μὴ ἐνεργητικὸν, τὸ ἑαυτὸ εἰς ἐνέργειαν τιθέναι ἀνεπίδεκτον, τῆς τὄτ' ἀλλα ἐν κινήσει ἄγειν δεκτικότητος ἀπορεῖ· ἀλλ' ἡ ὕλη τῇ δεκτικότητι ταύτῃ ἀκόσμητος, ἡ ἄρ ἀρχὴ τῆς ἐν ταύτῃ κινήσεως, διάφορόν τι αὐτῆς κ) ἐνεργητικὸν, ὅπερ ὡσαύτως κ) νοητικόν· ἡ γὰρ ἐν τυπημένῃ ταύτῃ κίνησις, κανονικὴ, ὡρισμένη, ςερεοῖς ὑποκειμένη κανόσιν, κ) ἐκλελεγμένῳ κ) προπεπηγότι τέλει ἡρμοσμένη, ἃ νῦν ἐξ ἀνάγκης ὑποτίθησιν· ἡ φύσις, κατὰ σημασίαν, ἣν ταύτῃ ἐνταῦθα δίδδαμεν, ὀδὲν ἄλλο, ἢ προορώμενον, ζητόμενον κ) προευτρεπιζόμενον ἀποτέλεσμα πρὸς ἐνεργητικῦ κ) διανοητικῦ, ὃ τῦ κόσμυ, ἐν ᾧ αὐτὸ ἐκεῖνο ὑφεςηκε, διαφέρει.

Διὰ τῆς λέξεως, φύσις, ὀδὲν ἀλλ', ἢτ' ἀποτέλεσμα τῦτο, νοῦντας, θεωρεῖν δεῖ ταύτην, ὀχ ὡς οὐσίαν τινα, ὄσαν τῦ παντὸς διάφορον, ἀλλ' οἷα τέτῳ δοθεῖσαν εἰδοποίησίν τινα, ὡς κατάςασιν, ἐκτὸς τῦ παντὸς ὀδαμῦ ὑφιςαμένην, κ) ἧς ἄνευ ὀκ ἂν, ὅπερ ἐςιν, εἴη τὸ πᾶν· ὑπὸ τῇ ἐκδοχῇ ταύτῃ, δυνατὸν κατ' ἀφαίρεσιν θεωρεῖν τὴν φύσιν, οἷα κινητικήν τινα δύναμιν, μεταδιδομένην, κατὰ ςερρύς τινας νόμυς, ἅπασι τοῖς τοῦ κόσμυ μέρεσι, κ) οἷα συγκροτυμένην τ' ἀθροίσματι πασῶν τῶν κινητικῶν δυνάμεων, ὅσαι πᾶσι τοῖς τῦ παντὸς συνυπάρχυσι μέρεσι μεταδοθεῖσαι, ἐν τέτοις εὑρίσκονται· κ) γὰρ, κατ' Ὀυόλφιον, κόσμος, ἢ πᾶν, τὸ πάντων τῶν σω-

μάτων, ὅσα τούτου μέρη, προκύπτον· ἀλλ' ἐν τούτῳ, φυσικῷ ὄντι, μεταβολὴν, παρὰ τὴν τούτοις ἐπιγιγνομένην, οὐδεμίαν ἄλλην ὁρῶμεν· ἐχούσης δὲ ταύτης ἀρχὴν, εἴτ' οὖν ἄμεσον αἰτίαν, τὴν τοῖς σώμασι δοθεῖσαν κινητικὴν δύναμιν, οὐχ ὑπαρχούσης ἄλλης αἰτίας τῶν ἐν τούτοις ξυμβαινουσῶν μεταβολῶν, ὡς τῆς ἐν ἑκάστῳ τούτων ὑφισταμένης, ἁπάσας τὰς μεταβολὰς ταύτας ἀναπτύσσειν ἱκανῆς, δυνατὸν, ἢ δέον, τὴν ἁπασῶν τούτων, ὅσαι τῷ τοῦ παντὸς συστήματι ξυμβαίνουσιν, ἀρχὴν, τὴν κινητικὴν ταύτην δύναμιν ὑπάρχειν, ἤτοι τὴν φύσιν, ᾗπερ ἅπανθ', ὅσα ἐν τῷ φυσικῷ κόσμῳ ἐνεργείᾳ γίνεται, ἀπονέμομεν.

Ἡ κινητικὴ δύναμις αὕτη, εἴτ' οὖν ἡ φύσις, ἥπερ ἅπαντα τὰ τῶν ὄντων φυσικὰ ἐν κινήσει τίθησι, καὶ ἄγει, κανονιζομένη ἐν τῇ αὐτῆς ἐνεργείᾳ νόμοις, ὧν οὐδέποτ' ἀφίσταται, ἅπαντα τὰ ἐν τῷ παντὶ φαινόμενα παράγει, αὐτοῖς τοῖς ἐπὶ τὰ τοῦ μεγίστου παντὸς τοῦδ' ἐξηκριβωμένα τῶν μερῶν ἀποτελέσμασιν ἀμέτρως ποικίλλεται· εἴκοι δ' ἕκαστον τῶν μερῶν τούτων τῇ, ἣν εἴληφεν, ὠθήσει, κἀπὶ κοινόν τι πέρας τεῖνον, μετ' οὐ πολὺ τῷ ὅλῳ τὴν ἠρεμίαν ἂν ἦγεν, οὐδὲν ἄλλο ἢ μόνον ἀκίνητόν τινα ὄγκον ποιοῦν, εἰ μὴ, ὅ, τε τούτων, καὶ ὁ τῶν, οἷς συντίθεται, στοιχείων, διάφορος νόμος τὴν κινητικὴν ταύτην δύναμιν εἶδοποίει, οὐδὲ τ' ἀποτέλεσμα, κατὰ τὰ κωλύματα, ἃ τῶν μερῶν τι ἀντιτείνει τῇ ἑτέρου κινήσει, μετέβαλεν· ἥτε τῶν ὄντων καὶ ἡ τῆς τούτων καταστάσεώς τε καὶ ἐνεργείας ποικιλία τῆς τῶν ἐν κινήσει μερῶν προσβολῆς προκύπτει, ἀλλ' ἅπασαι αἵδ' αἱ ἐνέργειαι οὕτως ἀλλήλαις συνῆφθαι,

ὡς

ὡς τὴν τῆς ἐνεργείας αὐτῆς συνέχειαν, τὴν τάξιν, τὴν συντήρησιν, καὶ τὴν τοῦ παντὸς τελειότητα, τῆς τούτων ἑνώσεως προκύπτειν· ἑρμηνεύειν οὖν τὸν τρόπον, ὥσπερ οὕτω κανονικῶς τοσαῦτα πολυειδῆ τῶν ἀποτελεσμάτων παράγουσιν αἱ ἀντίστροφοι αὗται τῶν ἐνεργειῶν, τῇ συνθέσει, τῇ παντὸς μέρους διατάξει, καὶ τῇ τοῦ ὁλοσχεροῦς συστήματος συντηρήσει ἀεὶ ανήκοντα, φυσικοῦ ἂν εἴη· τὴν τῶν ἀποτελεσμάτων προσεχῆ αἰτίαν γινώσκειν ἐφιέμενος ὁ ἄνθρωπος, τούτου χάριν, παρατηρεῖ, τὰ γινόμενα πρὸς ἄλληλα παραβάλλει, καὶ ἀναλογίᾳ τὰς αἰτίας ἀνακαλύπτει, ταῖς δ' ἀνακαλύψεσι προστιθέμενος τὸν λογισμὸν, καὶ λόγον τοῦ, ὅπερ ἐστὶν, ἀποδιδοὺς, ταῖς τῶν αἰτιῶν προϋπαρχούσαις τὰ τῶν ἀποτελεσμάτων ξυμβησόμενα προορᾷ· τοιοῦτον ὂν τὸ παραγόμενον ἀποτέλεσμα, οἷόν περ ὁ λόγος ἀνευρίσκει τῇ κινητικῇ δυνάμει τῶν ἐν τῷ παντὶ ὑφισαμένων αἰτιῶν, ἃς οὕτω φύσιν ὀνομάζομεν, φυσικὸν ὑπάρχειν λέγεται· περιέχοντος δὲ μηδενὸς τῶν ὄντων, ὅσα τὴν φύσιν ξυντίθησι, τὸν τοῦ ὑφισαμένου ἀποτελέσματος λόγον, ὑπερφυσικὸν καλεῖται.

Φυσικὰ τοίνυν ἀποτελέσματα, ὧν τὸν ἀποχρῶντα λόγον ἴσμεν τῇ κινήσει, τῇ καταστάσει, καὶ ταῖς πράγματι ὑφισαμέναις ποιότησι τῶν ὄντων, ὧν τ' ἄθροισμα τὴν τῇ πρώτῃ σημασίᾳ ληφθεῖσαν φύσιν κατασκευάζει· ὑπερφυσικὰ δὲ, εἴτ' οὖν θαύματα, ἑπομένως ἔσονται αἱ τῶν μεταβολῶν ἐγγινόμεναι τοῖς οὖσιν, οἷς ὁ κόσμος ξυντίθεται, ὧν ἡ κίνησις, ἡ κατάστασις, καὶ αἱ τῶν ἐν τῷδε τῷ παντὶ ὑφισαμένων ὄντων ποιότη-

τη-

τητες, τὸν λόγον ὐκ ἐμπεριέχουσιν· ὐκ ἀδύνατον, ὐδ' ἀντιφάσκον, τὸ θαῦμα· εἰ γὰρ, τῶν θαυμάτων ὐδὲν ἂν εἴχομεν· ἐςὶ δὴ ἐνέργειά τις, ἣ τῇ τῶν ὑπαρχόντων ὄντων ἁπλῇ κινήσει ἀδυνατεῖ παράγεσθαι, ὑποτιθεμένη, ὡς ἡ πρὸς παραγωγὴν ἥτις ἐνεργῦσα αἰτία, τῶν τῆς φύσεως ἰδίων δυνάμεων διάφορος· ἅπαν ἄρ' ὅ, τι δυνατὸν ἑρμηνεύεσθαι διὰ τῦ, ὃ φύσιν καλῦμεν, ἐν τῇ αὐτῦ πραγματικῇ καταςάσει λαμβανόμενον, ὐ θαῦμα· ἵν' ἄρα τῦτο διακρίνωμεν, γινώσκειν ὀφείλομεν, ὅτι τὰ, ἡ δραςικὴ αἰτία τῆς τοιᾶσδ' ἐνεργείας, κεχρημένα τῶν ὄντων, δεκτικὰ, ἐν τοιῦτω τόπω καὶ χρόνω θεωρύμενα· ἐπεὶ κατανοεῖν ἅπασαν τὴν τῦ τῆς φύσεως δεκτικοῦ ἔκτασιν ὐχ ἱκανῦμεν, ἵνα τῶν θαυμάτων τι γινώσκοιμεν, ἀποχρήσει τὸ τοιῦτυ τινος τῶν ὄντων ἀνεπίδεκτον ἐπίςασθαι, ἐφ' ᾧ τὸ τῶν ἀποτελεσμάτων τοιὸν δ' ἐν τοιᾷδε καταςάσει καὶ τόπω παράγειν· τ' ἄρα τῶν θαυμάτων ὑπάρχοντα διαφερύσῃ τῆς τῦ κόσμυ δυνάμει χρεὼν παράγεσθαι.

Γ. εἴληπται ὡσαύτως τὔνομα, φύσις, ἐν σημαινομένω, ὃ τῇ ἰδέᾳ, ἣν διὰ τῆς λέξεως, τέχνη, ἐκτιθέμεθα, ἀντίκειται· φύσις, ἐν τῇ θεωρίᾳ ταύτῃ, ὃ ἂν παράγειν εἶεν δεκτικὰ τὰ τῶν ὄντων ὑπάρχοντα, ὠθήσει, ἣν δέχονται, τυφλῶς εἴκοντα, καὶ ταύτῃ ὐδεμίαν αὐτὰ ὁρμὴν προςιθέμενα, ἧς εἴη ἂν ἀρχὴ, ἡ αὐτῶν διάνοια, κατά τε τὰς κτωμένας καινὰς τῶν ἰδεῶν καὶ τὴν ὀκῦσαν ἐνέργειαν, κανονιζομένη.

Ὑπὸ τὴν τȣ̃ ὀνόματος, φύσις, ἐκδοχὴν ταύτην, φυσικὸν μὲν ἐν τῇ φύσει καλεῖται, ὅπερ ὁ λόγος ἐμπεριέχεται τοῖς τε περὶ τὴν κίνησιν ἀτρέπτοις νόμοις ϗ ταῖς εἰδοποιήσεσιν, ἃς πρὸς τῆς τῶν διαφόρων σωμάτων σχέσεως δέχεται, ὅσα τῇ αὐτῇ κινήσει ἀλλήλοις ἐπιφέρεται, προμελετηθείσης ἐνεργείας διανοητικοῦ ϗ ἐνεργȣ̃ντός τινος μεσιτευȣ́σης ȣ̓δεμιᾶς, καινήν τιν' εἰδοποίησιν ἐπάγειν τῇ τε κινήσει ϗ τῇ τῶν φυσικῶν ὄντων σχέσει βȣλομένη· τεχνικὸν δ' ἅπαν, ὅ, τι, μὴ μεσιτευȣ́σης διανοίας, χώραν ȣ̓κ ἂν ἔχοι, τῇ αὐτῆς προμελετηθείσῃ ἐνεργείᾳ, ἧς τ' ἀποτέλεσμα προορᾷ, τῇ τῶν σωμάτων κινήσει εἰδοποιήσεις, ἃς δίχ' αὐτῆς ȣ̓κ ἂν ταῦτα δέξαιτο, ἐπιφερȣ́σης· ȣ̓́τω τὸ τεχνικὸν μόνοις τοῖς νόμοις τῆς κινήσεως, ἢ τοῖς σώμασιν, εἴτ' ȣ̓̃ν μέρεσι τῆς ὕλης, ἐντυπȣ̃ται, τὸν αὐτȣ̃ λόγον ἔχει.

Παρατηρητέον μέντοι, ὡς τὸ τεχνικὸν χώραν ἔχειν ȣ̓κ ἂν δύναιτο, ἢ παρ' ὅσον, πρὸς παραγωγὴν τȣ́τȣ, τοῖς ȣ̓̃σιν ἐνεργȣ̃ντες, τέχνῃ τὴν τȣ́των κατάστασιν ἀλλοιȣ̃μεν, ἢ τῇ τὴν αὐτῶν ξύνθεσιν δυνατὴν καθιστώσῃ ξυνάξει, ὠφελȣ́μενοι ἀεὶ τῶν τῆς κινήσεως ὑπαρχόντων νόμων, ἐφ' οἷς ποιεῖν τι, τῶν ἀμηχάνων, ὡς ἐξοντοῦν τȣ́τȣς μὴ ἔχοντος τȣ̃ κτιστȣ̃ ἐνεργȣ̃ντος.

Δ. ειληπτ' ἔτι τὸ τῆς φύσεως ὄνομα ἐν γενικωτάτῃ τινι σημασίᾳ, πᾶσι, μηδενὸς ἐξαιρȣμένȣ, τοῖς ȣ̓̃σιν ἁρμοζȣ́σῃ, ἢ τ' ἀρχοειδὲς ἴδιον παντὶ ὄντι δηλȣ̃μεν, ὡς ἀρχὴν ἐνὸν τȣ́τῳ, ἢ πᾶσαν

σαν παρατηρȣμένην πραγματικότητα δυνατὴν αὐτῷ παρέχεται· ὑπὸ ταύτῃ δὲ τȣ̓́νομα τόδε τῷ τῆς ȣ̓σίας ἀντιϛοιχεῖ, τὴν τῆς ὑποϛάσεως σύνθεσιν, ἤτοι τὸ τῶν ἰδιοτήτων τȣ̃ ὄντος, ὃ πασῶν τῶν αὐτῆς ποιοτήτων ϗ δυνάμεων ἀρχὴ, ἄθροισμα δηλοῖ· ὅρα ȣ̓σία· ἐκτιθεμένȣς δὲ τὴν ἰδέαν ταύτην, οἰκειότερον, τῷ τῆς ȣ̓σίας ὀνόματι χρῆσθαι· ἐνεργεῖν, τῇ σημασίᾳ ταύτῃ, κατὰ τῆς φύσεως, ταυτὸν ϗ κατὰ τῆς τῶν πραγμάτων ȣ̓σίας ἐνεργεῖν, ποιότητας, δυνάμεις, ἃς ἀμήχανον ἔχειν, ὑποτιθεμένȣς ἔχοντα.

Ε, ἄλλην, τῆς ἡγȣμένης, ᾗ ταύτῃ ἐμπεριέχεται, εὐρυτέραν σημασίαν δέχετ᾽ ἔτι ἤδ᾽ ἡ ἔκθεσις, κοινοτάτης ȣ̓̃σαν χρήσεως, ϗ ταῦτα παρὰ τοῖς ἠθικευομένοις, οἷα ἐμφαίνȣσαν, ὅπερ, ὡς βάσιν, ἀρχὴν ϗ κανόνα πάσης ἠθικῆς φιλοσοφίας, ϗ πηγὴν, κατὰ τȣ̀ς σοφωτέρȣς, ἁπάντων τῶν καθηκόντων, οἷς τὸ διανοητικῶς πράττον, δέον τὰς αὐτȣ̃ ἐνεργείας ἐφαρμόζειν· ὑπὸ τῇδε δὴ τῇ σημασίᾳ, τȣ̓́νομα, φύσις, τὴν ἰδέαν δηλοῖ τȣ̃, ὅπερ ἔν τινι τῶν ὄντων διακρίνομεν τοῖς ὀνόμασι, ποιότης, δύναμις, κατάϛασις, σχέσις, προσδιορισμὸς· μὴ ὑποτίθεσθαί τινι τῶν ὄντων, ἢ τὸ τȣ́τῳ ἐνυπάρχον, ϗ παριϛῶν αὐτὸ πᾶσι τοῖς, ὅσαπερ αὐτῷ ἔνεϛιν ἐξ ἑκάϛης τῶν σκέψεων τῶνδε, ἔϛιν ἰδέαν ἀληθῆ κατασκευάζειν, τῇ αὐτȣ̃ πραγματικῇ φύσει ξυνᾴδȣσαν· ἐνεργεῖν τῶν ὄντων τινι, κατὰ τὴν ἀληθῆ ταύτην ἰδέαν, ϗ τρόπῳ ταύτῃ γε μὴ ἀντιφάσκον τι, κατὰ τὴν τῶν πραγμάτων φύσιν ἐϛὶν ἐνεργεῖν, ὃ καθῆκον, πράττοντας.

Η

Η' τῦ διανοίᾳ ἐνεργῦντος τελειότης, τῇ τε γνώσει τῆς τῶν ὄντων φύσεως, καὶ τῇ τῶν τύτε ἐνεργειῶν ἀκριβεῖ ξυμφωνίᾳ μετὰ ταύτης, κυρίως βέβηκεν· ἀγνοεμένης γὰρ τῆς αὐτῶν φύσεως, καθήκεσαν γίνεσθαι τὴν ὁδηγίαν, ἀμήχανον· ἐπεὶ, μὴ ξυνδεύσης ταύτης ταῖς τῆς αὐτῶν τοιαύτης φύσεως συνεπείαις, τῦτο τῆς αὐτῷ ζητεμένης εὐδαιμονίας μὴ ἀφιςᾶν τὰς ἐνεργείας, ὐδὲ τὴν αὐτῦ συντήρησιν, τελειότητα, εὐκολίαν καὶ ἀρέσκειαν βλάπτεσθ', ἀδύνατον.

Τῶν ὄντων τινος ποιότητες πεφύκασιν, ἤτε τῦ τῶν μεταβολῶν τινας τῦθ' ὑπεισέρχεσθαι, καὶ ἡ τῦ τῶν ἀποτελεσμάτων τῦ ἐπ' αὐτῷ ἐνεργῦντος πειρᾶσθαι, δεκτικότης· δυνάμεις δὲ, ἡ τύτε δεκτικότης τῦ διὰ τῶν αὐτῦ ἐνεργειῶν παράγειν ἀποτελέσματ' ἄττα τοῖς τῇ αὐτῦ ἐνεργείᾳ ὑποκειμένοις· κατάςασις δὲ τύτε, ὁ τῦ αὐτὸ ὑπάρχειν πραγματικὸς τρόπος, τοῖς τῶν αὐτῦ ἐνεργειῶν, ἢ τοῖς τῶν ἐν τοῖς ἄλλοις τῶν ὄντων, ὅσα τῷ τρόπῳ, ὥσπερ ἐν τῷ τῆς αὐτῦ ὑπάρξεως πρώτῳ ἀκαρεῖ τῦθ' ὑπῆρχεν, εἰδοποιήσεις ἐπάγυσιν, ἀποτελέσματι παραγόμενος· σχέσεις, αἱ πρὸς ἅπαντα τὰ ὄντα ἀναφοραὶ, αἷς τῦτ' ἐπὶ ταῦτ', ἢ ἀνάπαλιν, ἐκεῖν' ἐπὶ τῦτο ἐνεργεῖν δύναται· προσδιορισμὸν τῶν ὄντων τινος ἐνταῦθα νοητέον, ἁπάσας τὰς μεταβολὰς, ὧν πειραθήσεται, ἢ ἅς γε παράξει, καὶ ταύτας, ἤτοι διὰ τῶν αὐτῦ δυνάμεων, ποιοτήτων καὶ σχέσεων, ἢ τῆς βελήσεως τῦ, παρ' ὗ τὴν ὕπαρξιν εἴληφε, κατεσκευάσαίτε καὶ ὡρίσαι, ὅπως τοιαύτας τῶν μεταβολῶν ὑποδυόμενον, τοιαῦτα παράγοι ἂν καὶ τ' ἀποτελέσματα· ῥᾶςον ἤδη κατανοεῖν, ὡς

ὁ, τι ῦν

ὅ, τινα τῶν ὄντων ἀεὶ ταῖς αὐτῶ ποιότησι, δυνάμεσι κ̀ σχέσεσιν ἐμπεριέχεται· τὴν γὰρ τῶν μεταβολῶν, ἃς δέον αὐτὸ πάσχειν, δυνατότητα αὗται προσδιορίζονται.

Γινώσκειν τὴν τῶν ὄντων φύσιν, κ̀ τὰς αὐτῶν πρόοδυς πάσας ταύτῃ κανονίζειν γνώσει τῆς αἰτίας, τῶ τῶν ὄντων διανοητικῶ ἴδιον· ἀλλὰ τῶτων ὐδὲν, ὃ μὴ φύσιν τινα ἔχῃ· διὸ κ̀ κατὰ ταύτην χρὴ τὰς αὐτῶ ἐνεργείας πάσας τὸ ἐνεργῶν κανονίζειν, εἴγε μὴ τῶν περὶ ταύτας ἐκβάσεων ἐλλείπειν τυτὶ βύλεται, τὴν αὐτῶ εὐτυχίαν ζημιύμενον, ἀντὶ τῶ τὴν ἰδίαν εὐδαιμονίαν αὔξειν.

Ἡ τῶν ὄντων φύσις, πεπηγυία, ὡρισμένη κ̀ ἄτρεπτος· ἅπαξ γαρ αχθέντων εἰς τὸ εἶναι, τῇ αὐτῶν φύσει ὐδὲν ἔτι πρὸς ἀρέσκειαν· ὥσθ' ἅπαν, ὅ, τι ἂν αὐτῇ ἀντίκηται, κακὸν· αἱ δὲ τῶν ἠθικῶν συνέπειαι, ὅσαι ταύτης ἀποῤῥέυσιν, ὕτω σαφεῖς τε κ̀ ἀναγκαῖαι, ἢ κ̀ αἵ, ἐφ' ἅςγ' αἱ ἀκριβεῖς μαθηματικαὶ ἀποδείξεις ἡμᾶς ἄγυσιν. ἐντεῦθεν τῇ τῶν ἀκριβῶν ἐπιςημῶν τάξει ἡ ἠθικὴ συντέτακται· εἰδὲ κ̀ εἰς προβλήματ' ἐπανάγειν ποτε δοκῦσι τὺς πρὸς ταύτης ἡμῖν καταγραφομένυς τῶν κανόνων, τὴν τῶν πραγμάτων φύσιν ἀγνοῦντες, ταῦτα πράττυσι.

Ζητεῖται ἐπὶ τῶ προκειμένυ τῦδε, πότερον ἀναγκαία παρ' αὐτῆς ἡ τῶν πραγμάτων φύσις; ἐκ τῶν προτέρων ταύτην τοιαύτην ἀποδεικνύειν μὲν ὔ, ἐκ δὲ τῶν ὑςέρων κ̀ μάλα εὐποροῦντες,

(βε-

(βελήσει γὰρ διανοίας τινος τῶν ὄντων τοιαύτη, ϗ ἔτι πεπηγυῖα ϗ ἄτρεπτος πέφυκεν αὐτη), τοῦτο ϗ μόνον, ὅπερ ἡμῖν ἐν τῷδε τῷ ζητήματι διαφέρει, βεβαιοῦν ἔχομεν· ὡς, οὔσης τοιαύτης τῆς τούτων φύσεως, οὔτ' ἔχομεν, οὔτ' ἐστιν ἔχειν, αγαθὸν, πλὴν εἰμὴ πᾶν, ὅ,τι ταύτῃ σύμφωνον, ὅ,τι δὲ μὴ τοιοῦτον, ἀναγκαίως κακὸν· ἐκ βαίνειν δὲ τας, ἃς ἔχομεν, προθέσεις, κατὰ τὴν ευδαιμονίαν ἀφικνεῖσθαι, ἀφισαμένους τοῦ, ὅπερ ἂν ἡ τούτων φύσις ἀπαιτῇ, οὕτως ἀδύνατον, ὡς τας τοῦ τριγώνου τρεῖς γωνίας, μείζους δυεῖν ὀρθῶν ὑπάρχειν· ἅπαν, ὅ,τι περὶ φύσεως αὐτῶν ἐνταῦθα σχετικῶς πρὸς τὰ τῶν ὄντων ἠθικὰ φαμὲν, τοῦτ' ἐπίσης σχετικῶς ἀληθὲς ϗ πρὸς τὰ τῶν ὄντων φυσικά· ἀπεκδέχεσθαι δὴ, ποιεῖν, ἐπιτελεῖν τι διὰ τούτων, ὃ ξυμφέρον ἅμα ϗ καθῆκον, οὐκ ἔστιν, ὅ, τι μὴ τῇ αὐτῶν φύσει συμμορφουμένοις.

Η τῶν πραγμάτων φύσις, ἥδε τυγχάνει, ὅπερ ἐν τῷ περὶ φυσικῆς θρησκείας σχεδίῳ αὐτῆ ὁ βολλασὼν ἀλήθειαν τούτων καλεῖ, ἣν τὸ κακὸν μὴ ποιοῦντας, των ἀμηχάνων ἀρνεῖσθαι.

ϛ. ἔσχατον τέλος σημαινόμενον, καθ' ὅτε τῆς φύσεως ὄνομα ἔσθ' ὅτε ἐκδεχόμενοι οἱ φιλοσοφοῦντες, τὴν τοῦ παντὸς πρώτην αἰτίαν παριςᾶν βούλονται· ταύτην γὰρ μὴ μόνον, ὡς τοῦτο διαφέρουσαν, θεωροῦσιν, ἀλλὰ ϗ ὡς ἀρχὴν τῆς αὐτοῦ ὑπάρξεως ϗ τοῦ τρόπου, ὃν τοῦθ' ὑπάρχει, τῶν κινητικῶν δυνάμεων, τῶν φυσικῶν ϗ ἠθικῶν, ἃς ἐν αὐτῷ παρατηροῦμεν, τῶν νόμων, καθ' οὓς αὗται ἐνεργοῦσι, τῆς τῶν διαφόρων ὄντων σχέσεως,

σεως, τῶν ἐν τούτοις ποικίλων ἰδιοτήτων, καὶ τοῦ περὶ ἕκαστον αὐτῶν προσδιορισμοῦ· θεωροῦντες δ' ὡς ὁρίζουσα τὴν φύσιν αὕτη, κανονίζει τὴν ταύτης κίνησιν, καὶ τὴν αὐτῆς κατάστασιν πηγνῦσα, δι' αὐτῆς καὶ ἐπ' αὐτῇ ἐνεργεῖ, τοὔνομα, ὅ, τ' ἀποτέλεσμα δηλοῖ, τῇ αἰτίᾳ διδόασι.

Τωόντι δε, μὴ ὁμοδοξούντων τούτων περὶ τῆς ἐν τῇ αἰτίᾳ ταύτῃ ἰδέας, οἱ μὲν, οἷα ψυχήν τινα, τὸ ζῆν παρεχομένην τῷ κόσμῳ, καὶ τοῦτον τιθεμένην εἰς ἐνέργειαν, σφίσιν αὐτοῖς ταύτην παρίσων, κατὰ την ἐν τῷ σώματι ἡμῶν, ᾧ συναπτομένη τε καὶ ἐμψυχοῦσα, εἰς ἐνέργειαν αὐτὸ τοῦτο καθίστησι, τὴν κατὰ στωϊκοὺς ψυχὴν τοῦ παντός, ἤ, κατά τινας, τὴν ἀναγκαίαν εἱμαρμένην, μόριμόν τι οὖσαν, ὅπερ εἰ καὶ διανοητικὸν, εἴκειν γεμὴν τῇ κινήσει, ἣν τῷ κόσμῳ διατηρεῖ, βιάζεται· οἱ δὲ ὀρθώτερον, ἀνεξάρτητόν τινα καὶ αἰώνιον νοῦν αὐτὴν ὑπάρχειν δογματίζουσι, πρώτην καὶ ἐλευθέραν πάντων, ὅσα γ' ὑφέστηκεν· οἱ φιλόσοφοι χριστιανοὶ, ἐπιστάμενοι, ὡς ἅπαν, ὅ, τι ὑπάρχει, ἔργον θεοῦ ὑπάρχει, τοὔνομα θεὸς, ἡ φύσις, ἀδιαφόρως τῷ ὄντι τῶδε παρέχονται· περὶ τούτου τοίνυν, οἷα δημιουργοῦ τῆς ὑπάρξεως, τῆς τῶν ἰδιοτήτων συστάσεως καὶ τοῦ προσδιορισμοῦ αὐτῶν, ὅσα τόδε τὸ πᾶν ξυντιθέασι, διαλεγόμενοι, κατὰ τὴν ὑστάτην ἐκδοχὴν τήν δε, αὐτὴν ἐκλαμβάνουσι· τῇ οὕτως ἀμφιβόλῳ ἐκθέσει ταύτῃ, ἣ τοὺς πάντῃ ἀπροφυλάκτους παραφέρειν δύναται, βέλτιον ἂν ἡ μὴ χρῆσθαι· οὐδὲ γὰρ εὐάριθμοι, ὅσοι τὸν τρόπον τόνδ' ἐνιστάμενοι διαλέγεσθαι, τὴν τοῦ ποιητοῦ, ὑπὲρ οὗ βούλονται λέγειν, ἰδέαν τῇ τε τῷ παντὶ καθόλου ἐντυπω-

θείσῃ κινητικῇ δυνάμει, καὶ τῶν εἰδικῶν ὄντων ἑκάςω, ὅσαπερ αὐτὸ ξυντιθέασι, συγχέουσι, καὶ ἅπαντα τῇ φύσει ἀπονέμειν συγκατατιθέμενοι, ᾠήθησαν, ὡς τὸ πάντοδε, αὐτὸ ἑαυτοῦ αἴτιον· τοιάδ' ἡ κατὰ Σπινόζαν ἀπάτη, ἣν ἐν ταῖς πρὸς Σερέναν ἐπιςολαῖς αὐτοῦ διδάσκει ὁ Τολάνδος, κἂν τοῖς ἄλλοις ἡ τοῦ καθηγητοῦ, οὗ ἡ περιβόητος βίβλος, σύςημα φύσεως ἐπιγέγραπται.

## Περὶ ὑποςάσεως Φιλοσοφικῆς λογικῆς καὶ μεταφυσικῆς.

Ὑπόςασις ἐςὶ, τὸ καθ' αὑτὸ ὑφιςάμενον, ὑποκείμενον τῶν ποιοτήτων, τῶν δυνάμεων, τῆς καταςάσεως, τῶν σχέσεων καὶ τοῦ προσδιορισμοῦ, ἃ τὴν ὄντος τινος καλουμένην φύσιν συνίςησιν· ἢ, διὰ βραχέων, κατ' Οὄολφιον, τὸ διαμένον καὶ δεκτικὸν εἰδοποιήσεων· ἐντεῦθεν καὶ τῆς εἰδοποιήσεως διάφορος· μεταβάλλειν γὰρ τὴν εἰδοποίησιν, τοῦ εἶναι μὴ παύουσαν, οὐδ' ἐξουτουμένην, ἀδύνατον· ἡ δὲ τὰς εἰδοποιήσεις μεταβάλλειν δυναμένη, τοῦ εἶναι τοιαύτη οὐπαύει, ὡς διαφόροις τρόποις κατὰ διαδοχὴν ὑπάρχειν ἔχουσα, τῆς καθ' αὐτὴν ὑπάρξεως μηδὲν ἀπολύουσα· ἀλλ' εἰ καὶ τὴν τῆς ὑποςάσεως ἰδέαν ἀφαιρέσει κατασκευάζομεν, ὡρισμένον τρόπον τοῦ ὑπάρχειν μὴ προσσημειοῦντες ταύτῃ, ἀτομικῆς γε μὴν ὑποςάσεως ἀντιλαμβάνεσθαι, ἄνευ εἰδοποιήσεων οὐκ ἂν ἔχοιμεν· παντὸς πραγματικοῦ τρόπῳ βεβαίῳ ὑπάρχοντος, παριςᾶν ἄνευ εἰδοποιήσεων τὴν ὑπόςασιν, οὕτω βραχὺ δυνατὸν, ὡς καὶ τὴν εἰδοποίησιν, ἤτοι τὸν τρόπον, ὑπάρχειν δίχ' ὑποςάσεως, ἢ ταύτῃ, ἢ τούτῳ, ὑπάρχει.

Τὴν

Τὴν ἁπάσης ὑποςάσεως ὡρισμένην ἰδέαν φυσικῇ ἀφαιρέσει ἀναλύοντες, διαφόρης ἰδιότητας, δεκτικότητας, ἢ πραγματικότητας, ἐν ταύτῃ ἐξ ἀνάγκης διακρίνομεν, ὧν τὰς μὲν τῆς περὶ ταύτην, μὴ ἀλλοιυμένην, ὀλλυμένην, ἑτερογενῆ γινομένην ὑπόςασιν, ἰδέας χωρίζειν, ἀμήχανον· τοιαῦται, ὅσας ἐσιώδη καλῦμεν κατηγορύμενα, ὧν κατασκευάζυσα ἡ ἕνωσις τὴν τῆς ὑποςάσεως ἐσίαν, ταύτην συνίςησι· τὰς δὲ, μεταβαλλούσας, ἀλλήλας διαδεχομένας, μὴ μεταβαλλύσης, ἐδ᾽ ἀλλοιυμένης τῆς ὑποςάσεως, δυνατὸν τῷ ὀνόματι, συμβεβηκότα, εἰδοποιήσεις, μὴ ἐσιώδη κατηγορύμενα, σημαίνεσθαι· ὕτως, ἐν τῇ ἁπάσης ὑποςάσεως ἰδέᾳ, ἣν ὑλικὴν ἐγὼ καλῶ, ἀεὶ εὑρίσκω τὴν ἔκτασιν, τ᾽ ἀδιάβατον, τὸ κινητὸν, τὸ σχηματιςὸν, τὴν ἀδράνιαν, ὧν ἀφαιρυμένης τινος, ὐκέτι τὴν τῆς ὕλης ἰδέαν ἔχω· ἀντιλαμβάνεσθαι δὲ ταύτης μετὰ τῦδ᾽, ἢ ἐκείνου, τοῦ χρώματος, σχήματος, κινήσεως, οὐδὲν ὅλως τῶν ἐν τῇ τῆς ὕλης ἰδέᾳ μεταβάλλοντα, δυνατόν.

Οὕτως τὰς ὑποςάσεις, πάσης καταφάσεως, ἢ ἀποφάσεως, ἐνεργείας, ἢ ἀποτελέσματος, ὑποκείμενον, ἐν ᾧ πᾶσα μεταβολὴ παράγεται, ταύτας αἴρων, τὸ πᾶν ἀρεῖς· οἱ γὰρ ὅροι, οὐδὲν ἄλλο, ἢ οἱ τρόποι, οἷς αὐται ὑπάρχουσιν· ἅπαντας ἄρα τὺς τρόπυς αἴρων, τὸ τῦτον, ἢ ἐκεῖνον, τὸν τρόπον ὑπάρχειν αὐτὰς αἴρεις· τὸ μὴ ὑπάρχον, τρόπον τῦ ὑπάρχειν οἶδεν ὐδένα· βυλόμενος δέ τις, τῇ τῶν ὅρων χρήσει τυγχάνειν ἀκριβὴς, τὰς ἀμφιβολίας ἂν ἀποδράσοι, τὸ

μὲν

μὲν τοῦ ὄντος ὄνομα μόναις ταῖς ὑποστάσεσιν ἀπονέμων, τὸ δὲ τοῦ τρόπου, ὧγ' εἰσὶν, ἢ ὑπάρχουσιν αὗται, ταῖς τούτων εἰδοποιήσεσιν· ἐνεργοῦσαι μὲν, αἱ ὑποστάσεις, ὁ δὲ τοῦ ταύτας ὑπάρχειν τρόπος, τὸ τῶν περὶ αὐτὰς ἐνεργειῶν ὅπως ὁρίζει.

## Περὶ μεταφυσικῆς ὑπάρξεως.

Ὁ ὅρος, ὕπαρξις, τὴν ὄντος τινος ἀφῃρημένην σημαίνει ἰδέαν, ἢ τούτου λείπεται ἡμῖν, ὅθ' ἁπλῶς, ᾗ ὑπάρχον, αὐτὸ σκεπτόμεθα, ἁπάσας ἀφαιροῦντες τὰς ἄλλας τῶν αὐτοῦ ἰδεῶν, ὧν τ' ἄθροισμα, ἄτομόν τι, ἢ τῶν ὄντων κλάσεις τινας, παριστᾷ· φυσικῇ ἀφαιρέσει τὴν ἀτόμου τινος ἰδέαν ἀναλύοντες, καὶ ταύτην βαθμηδὸν καθολικεύοντες, ἅπαν, ὅ,τι τούτῳ ἴδιον, αὐτοῦ ἀφαιροῦντες, ἐφ' ᾧ μόνον τὸ ἐν αὐτῷ γενικώτερον θεωρεῖν, μὴ τηροῦντες, ἢ ὅγε κοινὸν τοῖς πλείοσι τῶν ὄντων ἔχει, οἷα ὑπάρχον, τοῦτο κρίνειν, καταντῶμεν· παντὸς δ' ἀτόμου, ἢ ἀθροίσματος τῶν ὄντων, τὴν ἰδέαν ταύτην χωρίζοντες, τὴν τῆς ὑπάρξεως ἀφῃρημένην ἑαυτοῖς κατασκευάζομεν, ὑπὲρ ἣν, τῶν ἀνεφίκτων, νοεῖν ἄλλο τι, ἢ μόνον μείζω βαθμόν τινα ταύτης καὶ τῆς ἐν τῇ ἰδέᾳ καθολικότητος, εἴτ' οὖν τὸν τῆς δυνατότητος· αἰρομένης τῆς ὑπάρξεως, εἰ καὶ μηκέτι τὸ ὂν ὑπάρχῃ, ἡ γεμὴν τῆς τούτου δυνατότητος ἰδέα ἔτι λείπεται, αἰρομένης δὲ τῆς δυνατότητος, πραγματικὸν, ἢ κατ' ἰδέαν, ὄν τι, οὐδὲν ἔτι λείπεται.

Καὶ

Καίπερ οὖσαν τὴν τῆς ὑπάρξεως ἰδέαν πασῶν, ὅσας ἂν ᾖ δυνατὸν κατασκευάζειν, μᾶλλον ἀφῃρημένην, ταύτην τῶν τῇ διανοίᾳ πρώτων παριςαμένων ὑπάρχειν οὐχ ἕπεται, οἷα μόνῃ μελέτῃ ἡμῖν αὐτοῖς συγκροτουμένην· ξυμβαίνει δ' ἐπὶ τῇ ἰδέᾳ ταύτῃ, ἣ καὶ πάσαις ταῖς τοῦ τοιοῦδε γένους, ὧν αἰσθανόμεθα, καὶ πολλῷ πάλαι τούτων συγκεχυμένως ἀντιλαμβανόμεθα, προαισθάνεσθαί τε καὶ προαντιλαμβάνεσθαι αὐτῆς, ἢ ὥςε τοῦ τῶν ἐν μέρει ἰδεῶν, ἃς ἡμῖν τὰ τῶν ἀτόμων ἐγνωσμένα παρίςησιν, ἀθροίσματος ταύτην διακρίνειν δύνασθαι· τὰ σχήματα, τὰ χρώματα, τὰς κινήσεις, πολλῷ πρότερον ὁρῶμεν, ἢ ὡς τὰς τούτων ἀφῃρημένας ἰδέας, ἐφ' αἷς γ' εἰσέπειτα τὴν αὐτῶν γυμνάζομεν διάνοιαν, συνιςᾶν· ὡς ἔχομεν ἐν τῇ ψυχῇ ἰδέας, δίχ' ἀντιλήψεως, οὐκ ἀληθές, ὅτι καίπερ ἔχοντες πολλάκις, οὐ χωρίζομεν, οὐδ' ἀλλήλων ὅλως διακρίνομεν, ὡς ταύτας ἰδίᾳ θεωρεῖν, ὕλην τῶν ἐν ἡμῖν αὐτοῖς ἐνθυμημάτων αὐτὰς ποιούμενοι, μὴ ἀφαιροῦντες· κατὰ ταυτὰ πολλῷ πάλαι τῆς τε ἡμῶν αὐτῶν καὶ τῆς τῶν ἄλλων ὑπάρξεως προαισθανόμεθα, ἢ ὥςε λέγειν ἡμεῖς ὑπάρχομεν, τ' ἄλλα τῶν ὄντων ὑπάρχει· πρὶν, ἢ σκέπτεσθαι ἐν τῷ ὄντι τὴν τῆς ὑπάρξεως τούτου ἰδέαν, ἁπασῶν, ὅσας ἡμῖν αὐτὸ ἐμφαίνει, διεζευγμένην, καὶ τῆς, ἣν ἔχομεν, ἐννοίας ταύτης διακρίνειν· πρὶν, ἢ ζήτημα περὶ τῆς αὐτοῦ ὑπάρξεως ποιεῖσθαι, ἢ ταύτην ἐς ἀμφιβολλίαν ἄγειν, τὰς τῶν ἰδεῶν ἀφωρισμένας, ὧν τ' ἄθροισμα τὴν ὑποκειμένην τινος ὁλικὴν ἰδέαν ξυγκροτεῖ, μελέτῃ μὴ ἀφαιροῦντας, ἡ τούτου ὕπαρξις ἐν τῷ νοΐ ἅπασι τοῖς αὐτὸ χαρακτηρίζουσι, ταῖς αὐτοῦ ποιότη-

σιν,

σιν, ἐνεργείαις, σχέσεσι, καταστάσεσι, μεταβολαῖς, ὧν πειρᾶται, ἢ παράγει, ξυγχέεται· κἀγὼ μὲν τούτων οὐδὲν ὅλως ἐν μέρει ὁρῶ, ἥδ' ὕπαρξις, ἣν ἀπολύτως κεχωρισμένην ἁπάντων τῶν ἄλλων σκέπτοιτ' ἂν ἡ διάνοια, ἴσως ἐστὶν ἡ ἐσχάτη· ἐμβαθύνοντες δ' ὀρθῶς κατὰ ταυτὰ τῷ ὄντι, ὅπερ ἀντιλαμβανόμεθα, τῇ τῆς τοῦ ὑπάρξεως ἀφῃρημένῃ ἰδέᾳ ἀσχολούμενοι, εὑρήσομεν, ὡς οὐκ αὐτὴ ταύτῃ, ᾗ ἀσχολούμεθα, καὶ ἧς ἔχομεν τὴν ἰδέαν, ἡ ὕπαρξις, ἀλλ' αἱ τῆς περὶ ταύτην πραγματικότητος, ἣν, ὡς ὑποκείμενον, ἤδη κτώμεθα, συνέπειαί τε καὶ δείξεις· ἃ δὴ τηνικαῦτα παριστῶμεν, ἢ τοῦ ποιεῖν, ἢ πάσχειν, ἐνέργειάν τινα, δεκτικότης ἐστὶν, ὁ τοῦ συντρέχειν, ὡς ποιοῦν, ἢ πάσχον, ἤτοι μέσον, πρὸς παραγωγὴν μεταβολῆς τῇ τῶν ὄντων καταστάσει· πῶς οὖν ἄντις γνοίη τωὔντι, ὡς ὑπάρχει τι; κυρίως ταῖς, ὧν πειρώμεθα, ἐνεργείαις, εἴθ' ὡς ποιούσαις, εἴθ' ὡς πασχούσαις· λέγειν, ὑπάρχει τι, ἐστὶ φάναι, ὡς ποιεῖν, ἢ πάσχειν, ἐνέργειάν τινα, δυνατόν· τὸ γὰρ οὐδεμίαν ἐνέργειαν ποιοῦν, ἢ πάσχον, ὡς μὴ ὑπάρχον, ὑπάρχει μηδέν. ἀποφάσκειν μὲν ὄντος τινος τὴν δεκτικότητα ταύτην, τὴν τοῦδ' ὕπαρξιν ἐστιν ἀναιρεῖν, τὸ τῆς ἰδέας ὑποκείμενον ἐξοντοῦντας· καταφάσκειν δὲ ταύτην, τὴν αὐτοῦ ὕπαρξιν ἐστιν ὁμολογεῖν, ᾧ ταύτην ἀπονέμομεν· ὥστε πᾶν, ὅ,τι ὑπάρχει, ποιεῖν, ἢ πάσχειν, μεταβολὰς δύναται. ἐν ἄρα παντὸς ἄλλου ὁρισμοῦ ἐλλείψει, τῷ τοῦ Βιλφιγγκέρου, ἐν ταῖς καθ' αὐτὸν ἑρμηνείαις, §. 270, δυνατὸν χρωμένους φάναι, ὕπαρξις ἐστὶν, ἡ τοῦ ποιεῖν, ἢ πάσχειν, ἐ-

νέργ

νέργειάν τινα, δεκτικότης· τῇ ἐννοίᾳ ταύτῃ βέβηκε κ τὰ τῶν ἀξιωμάτων ἀναπόδεικτα, ταῦτα. τὸ μὴ ὑπάρχον, ποιεῖν, ἢ πάσχειν, ἀδύνατον· μηδὲν, ἐκ μηδενός· τῦ μὴ ὄντος δεκτικότης, ἢ ἰδιότης, ὐδεμία· πᾶν, ὅ, τι δύναται ἐνεργεῖν, ποιῦν, ἢ πάσχον, ενέργειάν τινα, τῦθ' ὑπάρχει.

Συνάγειν ἀναμφιβόλως ἐκ τῆς ἐνεργείας τὴν ὕπαρξιν, ἀεὶ δυνατόν· αἱ ἀλήθειαι, ἃς κρίνει θεωρητικῶς ἡ ψυχὴ ἄκρῳ βαθμῷ βεβαιότητος, μέσων ὅρων, ὧν ἂν τὴν μετὰ τῶν προτάσεων τύτων σχέσιν καθορώῃ, μὴ δεομένη, παρ' αὐτῶν ἐναργεςαται· τὴν μὲν τῆς περὶ ἅπασαν ἐνέργειαν ἀποφάσεως ἰδέαν, ἐν τῇ τῆς ἀνυπαρξίας ἰδέᾳ ὁρᾷ, ἀμέσῳ παραθέσει τῶν ὅρων, τὴν δὲ τῆς ὑπάρξεως κατάφασιν, ἐν τῇ οἱασῦν ἐνεργείας ἰδέᾳ· κἀν τῇ οἱασδηποτῦν ἐνεργείας ἰδέᾳ, τὴν τῆς ὑπάρξεως κατάφασιν, ὕτω δ', ὡς λέγειν, ὑπάρχει τι, ἢ ὡς δυνατὸν τῦτ' ἐνεργεῖν, ἢ ὡς ἐνεργεῖ, ἢ ὡς ὑποκείμενον, ἢ μέσον ἐνεργείας τινος, ὑπάρχειν δύναται, πρὸς ἀκρίβειαν ταυτὰ.

Μετὰ τὰς σκέψεις ταύτας, ἔν τινι τῶν ὑπομνημάτων τῦ ς τόμυ τῆς ἐν βερολίνῳ ἀκαδημίας, ὐκ ἀλόγως ὁ κύριος μεριανὸς κρίνει τὸ τῦ καρτεσίυ ἐπιχείρημα, ἐγὼ νοῶ, ἄρα ὑπάρχω, ὥπερ, οἷα ἀποδεῖξει τῆς ἡμῶν αὐτῶν ὑπάρξεως, ἐκεῖνος ἐχρήσατο, ἐλέγχων τῦτο, ὡς μὴ ὂν, ἢ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, πρότασίν τινα δεικνύον μόνῃ ταύτης ἐπανελήψει· λέγειν, ἐγὼ νοῶ, ἄρ' ἐγὼ ὑπάρχω, ἔςι λέγειν, ἐγὼ νοῶ, ἄρα

ἐγὼ

ἐγὼ νοῶ, ἐγὼ ὑπάρχω, ἄρα ἐγὼ ὑπάρχω· προφέρων τὴν πρώτην λέξιν τήνδε, ἐγὼ, μὴ καταφάσκειν ἐντεῦθεν ἤδη· ὡς ἐγὼ ὑπάρχω, ἐκ ἂν δυναίμην· ἔτω καὶ λέγειν, ἐγὼ νοῶ, ἐςι φάναι, ἐγὼ ὑπάρχω· εἰ τοίνυν ταῖς λέξεσι ταῖσδε, ἐγὼ νοῶ, ἄρα ἐγὼ ὑπάρχω, ἐχρῆτο, οἷα συλλογισμῷ, ἐκεῖνος, παριςῶν τι καὶ ἀποδεικνύοντι τῇ χρήσει τῦ μέσυ ὅρυ, ἐγὼ νοῶ, τὴν τῦ συμπεράσματος ἀλήθειαν, ἐγὼ ὑπάρχω, ὡς θατέραν τῶν προτάσεων τέτων ἐχρῆν πρῶτον ἀποδέχεσθαι, ἐφ᾽ ᾧ τὴν τῆς ἑτέρας ἀπόδειξιν ἔχειν, ἠπατᾶτο, ἔτω συλλογιζόμενος· ἀλλ᾽ ἐδαμόθεν σαφὲς, ὡς οἷα συλλογισμὸν, τὴν αὐτῦ πρότασιν θεωρῶν, ἐχρήσατο ταύτῃ, ὡς τῶν ἀρχῶν τινι, δείξεως ἐδεμιᾶς δεομένων, ὧν ἀμέσως ἡ ψυχὴ τῆς ἀληθείας ἀντιλαμβάνεται· ὡς νοῶ, αἰσθάνομαι, ἐπιθυμῶ, φοβῦμαι, βύλομαι, ἐνεργῶ, δεῖ μοι πειθύσης με δείξεως; εἰ γὰρ, πῦ ἂν ταύτην, τοιαύτην, εὕροιμι, ἢ μᾶλλον ἐναργῶς, διακεκριμένως, ἐσωτερικῶς, ἀμέσως καθορῴην ἂν τὴν ἀλήθειαν, ὡς ἐκ αἰσθάνομαι, ὑπάρχειν, νοεῖν, βύλεσθαι; εἴτω ὁμοίων δεῖ ἀποδείξεων, ἀμήχανον τῦτον πείθειν· ὁ γὰρ ταῖς τῶν ἀληθειῶν ἀμέσως προδήλοις ἀντιλέγων, ταῖς ἐμμέσως ἐναργέσιν ἐδὲ ποτε εἴξει, ὡς τῆς τῶν ὑςάτων τέτων δυνάμεως δραςικότητα τινα μὴ ἐχέσης, ἢ παρ᾽ ὅσον αὗται ταῖς τῶν ἀρχῶν ἀμέσως προδήλοις ἐρείδονται· ὅπως δὲ γινώσκω, ὡς ὑπάρχω; ὅτι τῦτο αἰσθάνομαι. ἐγὼ αὐτὸς ἐμαυτῦ αἰσθάνομαι· ἐγὼ αὐτὸς ἐμαυτοῦ λογιζομένυ, ἐνεργῦντος, ἤ, ὅπερ ἐς τ᾽ αὐτὸν ἥκει, ὑπάρχοντος, ἀντιλαμβανόμενος, ἐσωτερικήν τινα συνείδησιν τῆς ἐμαυτῦ ὑπάρξεως ἔχω·

ὅτω, φησὶν ὁ κύριος κλάρκιος, εἴ τις τῇ αὑτοῦ διςάζει ὑπάρξει, ἢ ταύτῃ ἀυχεῖ, φανιτιῶν, ἢ ἄνες· ταύτῃ καὶ τοῖς κοινῇ τινι τῶν ἀρχῶν μὴ πειθομένοις διαλέγεσθαι, ὂν ἀδύνατον, τούτοις ὁμιλεῖν, ἢ γράφειν, καὶ τῶν πάνυ ἀτόπων.

Τῇ ἐσωτερικῇ ταύτῃ αἰσθήσει τῆς περὶ τὴν ἑαυτῶν ὕπαρξιν συνειδήσεως, αἰσθήσει, ἣν μόνον ταῖς ποιούσαις, ἢ πασχούσαις, ἐνεργείαις κτώμεθα, ἃς ἡμῖν αὐτοῖς σύνισμεν, τὸ οὐθ᾽ ὑπάρχον, οὔθ᾽ ὅλως ἐνεργεῖν ἔχον, φθάνοντες κρίνομεν· ἀξίωμα, ᾧ παρ᾽ αὐτοῦ ὄντι σαφεῖ, ἀποδείξεως οὐδεῖ, ὡς σαφέςερον ἔχειν αὐτοῦ, οὐκ ἂν ἦ, οἷα, κατὰ βάθος, ταυτοῦ τῇ κατ᾽ Οὐόλφιον θαυμασίᾳ τ᾽ ἀποχρῶντος λόγου ἀρχῇ· ὑπάρχειν ἀποτέλεσμα δίχ᾽ ἀποχρῶντος λόγου τῆς αὐτοῦ ὑπάρξεως, ἀμήχανον· ξυμβαινούσης μοι δὴ μεταβολῆς τινος, ἧς ἐν ἐμαυτῷ τὸν ἀποχρῶντα λόγον οὐχ εὑρίσκω, ἄλλῃ πῃ τοῦτον ζητεῖν ἀναγκάζομαι· ἐπιςάμενος δ᾽, ὡς τὸ μὴ ὑπάρχον, οὐδὲν ἀποτέλεσμα παράγει, ἐκτὸς ἐμαυτοῦ ἀποδέχεσθαί τι ὃ βιάζομαι, ἐν οὗ τῇ ὑπάρξει περιέχοιτ᾽ ἂν ὁ τοῦ, οὗ πειρῶμαι, λόγος, καὶ οὗ σύνοιδα, ὡς ἐν ἐμαυτῷ τὸν ἀποχρῶντα λόγον οὐκ ἔχω· αἰσθάνομαι ἐπιγίνεσθαί μοι τῶν μεταβολῶν τινας, ὧν ὁ ἀποχρῶν λόγος ἐν ἐμοὶ αὐτῷ· λογίζομαι, τὴν ἐμαυτοῦ προσοχὴν ἀντικειμένῳ τινὶ πήγνυμι, ἐξετάζω, βούλομαι, μετὰ τὰς, ἃς γ᾽ ἐςάθμησα, αἰτίας, ἐμαυτὸν ὁρίζομαι· εἰς ἐνέργειαν ἐμαυτὸν τίθημι, ὀρθώτατα κατανοῶ, ὡς ὅ, τε λόγος καὶ ἡ τῶν εἰδοποιήσεων τῶνδε προσεχὴς δραςικὴ αἰτία, ἐν ἐμοί·

ἐμοί· εἰσὶ δὲ διαφόρα γένες, ἐκ εὐάριθμ' ἀλλ' ἄττα, ὧν ἐσωτερικῶς αἰσθάνομαι ἐμοὶ αὐτῷ ἐδόλως ἐνυπάρχειν τὸν λόγον· τὰς γὰρ τέτων ἀντιλήψεις ἐν ἐμοὶ ἔχειν, ἢ μή, ἐκ ἐπ' ἐμοί. πλήττεσά με τὲς ὀφθαλμὲς αἰφνίδιός τις ἀςραπὴ, ἐξιςᾶ με· κραδαίνων ξὺν πόνῳ τάμα ὄργανα τῶν ἤχων βίαιός τις, ἐν μέσῃ νυκτὶ ἐξεγείρει με· πλῆττόν με τῶν πρὸς ἐκβολὴν σφαιρίδιόν τι, συνθλᾷ μοι τὴν κνήμην· πλήρης ἐννοιῶν, ἐπιςήμης ϗ δυνάμεως διάλεξίς τις, τὴν ἐμὴν πήγει προσοχὴν, ϗ τῶν, ὧν ἀγνοῶ, ὠφελίμων ἐκ εὐαριθμ' ἄττα διδάσκεσά με, πάθη, ὧν ἐδέποτε πεπείραμαι, ἐνδιεγείρει μοι· χρώματα, σχήματα ὁρῶ· ϗ τῆ μὲν τῆς ἐμαυτῆ γεύσεως ὀργάνε, τοῖς τῶν χυμῶν πικροῖς διατιθεμένε, τῆ δὲ τῆς ὀσφρήσεως, δυσωδείας ἐνοχλεμένε, αἰσθάνομαι· ϗ πανταχόθεν ἐπερχομένης μοι τῶν ἀντιλήψεων πλῆθος, τέτων ἑκάςης αἰσθάνομαι αὐτῷ μοι ἐ δόλως ἐνεῖναι τὸν λόγον, ὡς τῆς αὐτῶν παραγωγῆς ἥκιςά πε μετέχων, αἴτιος ἐγώ· ἔτω δ' ἐναργῶς αὐτῶν αἰσθάνομαι, ὡς βιάζεσθαί με, τῶν ἐναντίων ἀντιλαμβάνεσθαι, τῶν δυνάμεων ἱκανή τις ἐδεμία· τῇ μεγίςῃ πεπεισμένοις ἐναργείᾳ, ὡς τὸ μὴ ὑπάρχον, ἐδὲν ἀποτέλεσμα παράγει, πέπεισμ' ἐντεῦθεν ὡσαυτώς, ὡς ἐκτὸς ἐμῆ ὄντα ὑπάρχει, ἃ τὸν ἀποχρῶντα λόγον τῶν εἰδοποιήσεων τέτων, ὅσας ἔξωθεν δέχομαι, ἑαυτοῖς ἐμπεριέχει, δυνάμεις ϗ ἰδιότητας ἔχοντα, ὧν ἄνευ τὰ ἀποτελέσματα ταῦτα ἐκ ἂν πρὸς ἐκείνων παράγοιτο· πεῖρα μαθὼν, ὡς διάφορα γένη ἀντιλήψεων τυγχάνει, ὧν ἔξωθεν δέχομαι, κοινὸν ἐδὲν ἀλλήλοις ἔχοντα, οἷα, φέρε, ὁ πόνος, ὃν ἐπάγει μοι ὁ πεπυρωμένος

σί-

σίδηρος, ὃ δράττομαι· ἡ λύπη, ἧς αἰσθάνομαι, δηγμῷ τῶν, οὓς μοι ποιεῖταί τις, ἐλέγχων, τὰς τούτου κρίσεις αἰδουμένῳ· τὸ τοῦ ἡλίου φῶς, καὶ αἱ σοφοῦ τινος διδαχαὶ, ὅς τ' ἀγνοούμενόν μοι διδάσκει με, κτ. τῇ διαφορᾷ ταύτῃ βουλόμενος, διὰ τῶν διαφόρων ἀποτελεσμάτων τῶν δε διακρίνειν. μανθάνω τοὺς διαφόρους αἰτίας, καὶ κτῶμαι τὴν βεβαιότητα, ὡς ἐκτὸς ἐμοῦ ὑπάρχει αἴτια, ἃ τῇ τῆς αὐτῶν φύσεως διαφορᾷ τὸν τῶν οὕτω διαφόρων ἀποτελεσμάτων ἀποχρῶντα λόγον περιέχει· αἰσθάνομαι, ὡς ἔχω σῶμα, καὶ πυκνάκις ἔξωθεν πάντῃ ὁμοίας δέχομ' ἀντιλήψεις ταῖς, ἃς ὀφείλω τῇ ἐνεργείᾳ τοῦ, ὅπερ ἐμαυτοῦ καλῶ, σώματος· ἀνακαλεῖν εἰς ἀμφιβολίαν τὴν ἐκτὸς ἐμοῦ ὕπαρξιν τῶν ὁμοίων ὄντων τῷ, ὥπερ ἐμαυτοῦ καλῶ, σώματι, οὐκ ἔπ' μοι· ἐκουσίων εἰδοποιήσεων παρ' ἐμαυτοῦ πειρῶμαι· ἐννοῶ, αἰσθάνομαι, βούλομαι, ἐνεργῶ, κατὰ τὰς ἐμαυτοῦ ἰδέας, αἰσθήσεις, βουλήσεις· ἀντιλήψεις ἔξωθεν δέχομαι, αἵ γ' ἐν τοῖς ἄλλοις τῶν ὄντων παριστᾶσί μοι πρὸς ἀκρίβειαν ὁμοίας εἰδοποιήσεις ταῖς, ἃς ἐν ἐμαυτῷ ἐμαυτοῦ ἐννοίας, αἰσθήσεις, θελήσεις, ἀνακυκλιστικὰς ἐνεργείας καλῶ· συνάγειν ἐντεῦθεν βιαζόμενος, ὡς ἔνεστί μοι ἀρχή τις, νοοῦσα, αἰσθανομένη, βουλομένη, ἐνεργοῦσα, συνάγειν ἀναγκάζομ' ἔτι, ὡς ἐκτὸς ἐμοῦ ὑπάρχει ὄντα, ἅπερ, ᾗ κἀγὼ, νοεῖ, αἰσθάνεται, βούλεται, καὶ ἐνθυμήσει ἐνεργεῖ· ὡσαύτως, οὕτω βραχὺ ἐλεύθερος εἰμὶ, τῇ τῶν ἐκτὸς ἐμοῦ νοούντων ὑπάρξει ἀμφιβάλλειν, ἢ καὶ τῇ τῶν, ἅγε σώματα καλῶ· οὕτως ἐκ τῆς τῶν ἐμαυτοῦ ἐνεργειῶν συνειδήσεως, ἀναγκαίως ἐπὶ τὴν τῆς ἐμαυτοῦ ὑπάρξεως, ὡς

τέτων αἰτίας, ἔννοιαν ὡδήγημαι· κατὰ τ' αὐτὰ ἐκ τῆς ἀντιλήψεως τῶν, ἄγ' ἔξωθεν δέχομαι, ἀποτελεσμάτων, ἀναγκαίως πείθομαι, ὡς ἐκτὸς ἐμῦ αἴτια, δεκτικὰ παράγειν ἀποτελέσματα, ὧν ἐν ἐμαυτῷ τὸν ἀποχρῶντα λόγον οὐκ ἔχω, ὑπάρχυσιν; ὐκ ἀπὸ-ὠφελείας ἐνταῦθα παρατηρεῖν, ὡς τὰ, ἃ μὴ παράγεσθαι δύναιτο, ἢ πρὸς νοὑντων αἰτίων, ἀποτελέσματα· ὀρθῶς μοι ὡσαύτως ἔγνωςαι· σύνοιδ' ἐμαυτῷ, τὰς, ἃς ἔχω, ἀντιλήψεις, ἢ ἢ, ὅσας ὀφείλω τῇ ἐντυπώσει, ἣν αἱ σωματικαὶ, ὐχὶ αἱ διανοτικαὶ, ἐμποιῦνταί μοι αἰτίαι· ὥςε διαςάζειν τῇ τῶν σωμάτων ὑπάρξει, πολλῦγε ἢ δέω· ξυγχέειν τὰ τῶν ὄντων σωματικὰ τοῖς διανοητικοῖς, τοσῦτον δέω, ὡς ἢ τὴν πεπυρωμένυ σιδήρυ καυςικὴν θερμότητα ταῖς ὑψηλαῖς, ἀγχινόοις, βαθέσι, διδακτικαῖς, ἢ διανοητικαῖς ἐννοίαις Μοντεσκίυ, ἢ Νεύθωνος. κτ.

Α'πόλυτόν τινα διαφορὰν ξυνειδότος μυ μεταξὺ τῶν μὴ προορωμένων, μὴ ἀνελιττομένων, ἀκυσίων ἢ τυχηρῶν ἐμαυτῦ κινήσεων, ἢ τῶν προορωμένων, ἀνελιττομένων, ἑκυσίων ἢ ὡρισμένων ἐμαυτῦ ἐνεργειῶν ἐφ', ὃ ζητῶ, τέλος, ἢ γνώσει τῆς αἰτίας τείνω, ἑκάςη τῶν περὶ τὰς αἰτίας κλάσεων τῶν δε χαρακτῆρας ἔχει, ὐς ἀγνοεῖν, ἢ τὴν αἰτίαν τῆς ἐν τύτοις διαφορᾶς ὑποκρίνεσθαι, τῶν ἀμηχάνων· μεῖζω γὰρ ἐσωτερικὴν αἴσθησιν ἑκατέρας τῶν σκέψεων τύτων, ἢ τῆς ἐμαυτῦ ὑπάρξεως, ὐκ ἔχω· ὐδὲν ἧττον ὑπάρχειν αἰσθάνομαι, ἢ, ὡς ἐν μὲν τοιαύτῃ περιςάσει τοιόνδε τι πέπρακταί μοι... πρῦκειτο γάρ μοι τοιῦτον· ἐν ἑτέρᾳ δὲ τοιῦτόν τι ὑτῶ γεγο-

γονεν, ὡς οὔτε τοιόνδ', οὔτ' ἀλλοῖον, γίνεσθαι τοῦτο προὔθέμην· κινουμένων τῶν, ὅσαγ' ἐκτὸς ἐμοῦ, τὰς ἰῶν δυοῖν τούτων εἰδῶν, ἃ τοὺς αὐτοὺς χαρακτῆρας φέρει, ἐνεργείας καθ' ἑκάστην ὁρῶ· γινομένας δὲ δίχ' ἀποχρώσης αἰτίας μηδενὸς, γινώσκειν, ἀνάγκη πᾶσα, νῦν μὲν τὴν ὕπαρξιν τῆς, ἥπερ, ὡς ἐγὼ, προορᾷ, αἰτίας ζητεῖν τ' ἀποτελέσματα, νῦν δὲ τὴν τῆς μὴ τοιαύτης· οὕτως ἡ τοῦ τέλους ὕπαρξις τὴν τῆς διανοητικῆς αἰτίας ἀποδείκνυσιν, ἡ καὶ τῶν φυσικῶν ἀποτελεσμάτων τι τὴν φυσικήν· ἅπαν, ὅ,τι τῶν, κατὰ τὴν ἀρχὴν ταύτην, ξυμβαινόντων, τὴν τῆς τούτου ἡγουμένης αἰτίας ὕπαρξιν δείκνυσιν, ἢ τῷ τὴν τῶν συμβεβηκότων διαγινώσκοντι οὐχ ἧττον ἀποδεδειγμένη καὶ ἐναργῶς βεβαία, ἢ ἡ ἀρχὴ ἥδε, τὸ μηδὲν, οὔτε ποιεῖ, οὔτε πάσχει, ἐνέργειάν τινα, ἀρχὴ, οὕτω βεβαία, ὡς ὁ ἐμαυτοῦ νοῦς τε καὶ ἡ ὕπαρξις· ἐπεὶ οὐχ ὅπως τὰ βραχείας διαμονῆς, ὅσαπερ ἀρχόμενά τε καὶ παυόμενα ὁρῶμεν, τὴν τῆς τούτων ἡγουμένης αἰτίας, δεκτικῆς τοῦ ταῦτα ποιεῖν ἄρχεσθαι, ὕπαρξιν ἀδιστάκτως παριστᾷ· πρὶν γὰρ, ἢ ὑπάρχειν, τῆς τούτων ὑπάρξεως αἰτία ὑπάρχειν οὐκ ἢ δύνατο· ἀλλὰ καὶ ἅπαντ' ἔτι τὰ ὄντα, ἅτης ποτ' ἂν δοκῇ διαμονῆς, εἰ καὶ τὸν τῆς τούτων ὑπάρξεως λόγον, ἢ τὸν τοῦ εἶναι τρόπον, ἐν αὐτοῖς τούτοις μὴ ὁρῶμεν, ἀντιφάσεώς τε καὶ ἀτοπίας ἄνευ ὑποτίθεσθαι δύναιτ' ἂν, ὑπάρχειν, ἢ μὴ, ὑπάρχειν, οἷάπερ ἐστὶν, ἢ καὶ ἄλλον τινα τρόπον· τὰ τοιαῦτα τῶν ὄντων, φημὶ, τὸν τοῦ, τί ἦν εἶναι, ἀποχρῶντα λόγον, καὶ τὸν, οὗ τυγχάνουσι, τρόπον ἑαυτοῖς οὐκ ἐμπεριέχοντα, τῆς αὐτῶν ὑπάρξεως

ἀναμ-

ἀναμφίβολλον παρέχονται τὴν δεῖξιν, ὡς ἡγουμένως τε ϗ ἀνεξαρτήτως τέτων ὑφέςηκέ τι, ἐν ᾧ ὁ τῆς αὐτῶν τέτων ὑπάρξεως λόγος τυγχάνει.

Τὸ τῆς εἰλημμένης, ἠρτημένης, μὴ ἀναγκαίας ὑπάρξεως εἶδος τῦτο, ἐνδεχομένη, ἢ μόνον ξυμβεβηκεία, καλεῖται ὕπαρξις, ἅπασιν ἀνήκεσα, ὧν ἡ ἀνυπαρξία, εἴτ' ἐν ὁ τῦ εἶναι διάφορος τρόπος, δίχ' ἀντιφάσεως ϗ ἀτοπίας ἐννοεῖσθαί τε ϗ ὑποτίθεσθαι δύναται· τυγχάνειν γὰρ ὄντα, ὧν τοιαύτη ἡ ὕπαρξις, τῦτο ἀναμφιβόλλως ἐσωτερικῇ αἰσθήσει ἀντιλαμβανόμεθα· μὴ ὑπαρξάντων, ἐδ' ὑπαρχόντων ἀεὶ κατὰ ταυτὰ, τῇ ἡμετέρα κατασάσει τῶν μεταβολῶν μᾶλλον, ἢ ἧττον, διάφοροι ἐπιγίνονται, μόριά τε ϗ εἰδοποιήσεις ἀπολλύντες, ἀντὶ τέτων, ἄλλ' ἄττα ποριζόμεθα, τῇ θᾶττον, ἢ βράδιον, ἐπιγινομένῃ ἡμῖν ἀναλύσει, καίτοι μὴ βελομένοις, ϗ πάσῃ μηχανῇ ἀνθισαμένοις, ὑποτασσόμενοι· ἐνδεχομένη ἄρα ἡ ἡμετέρα ὕπαρξις, ὁ τῦ ἡμετέρυ εἶναι λόγος, ἡμῖν ἐκ ἐνὼν, ἡγουμένῳ ἄρα ϗ ἡμῶν ἀνεξαρτήτῳ τῶν ἀναγκαίως ὄντων ἐτος ἐνεςί τινι· ἡ τῆς ὑπάρξεως ἡμῶν προσεχὴς αἰτία δήλη γίνεται διὰ τῶν καθ' ἡμᾶς ἐνδεχομένων, ἄλυσιν αἰτιῶν ϗ ἀποτελεσμάτων κατασκευαζέσης τῆς τέτων συνεχείας, συνεχείας ὄντων κατὰ διαδοχὴν, ὧν ἕκαςον ἐνδεχόμενον· τέτων τι, ἢ ἅμα πάντα, τὸν τῦ αὐτῶν εἶναι ἀποχρῶντα λόγον ἑαυτοῖς ἐκ ἐμπεριέχουσι: ζητητέον ἄρα τῦτον ἐν τῷ, ὑπὲρ ἀναγκαία ἡ ὕπαρξις, ἀπ' αἰῶνος παρ' αὐτῦ ἀναγκαίως ὑπάρχοντος, ϗ αὐτῷ μόνῳ ἐμπεριέχοντος τὸν τοῦ ἑαυ-

τȣ͂ εἶναι καὶ παντὸς ὑπάρχοντος ἀποχρῶντα λόγον· καλȣμένης ἄρ ἀναγκαίας τῆς τοιαύτης ὑπάρξεως, τῷ μόνῳ καὶ πρώτῳ τῶν ὄντων ταύτης μέτεςι.

Α῎παν, ὅ,τι ὑπάρχῃ, ὂν καλεῖται· ἡ τοῦ ὑπάρχειν ἰδέα τὴν τῆς δεκτικότητος τȣ͂ ποιεῖν, ἢ πάσχειν, ἐνέργειαν ἀναγκαίως περιέχει· ἤ, κατὰ τὸν ἤδη δοθέντα ὁρισμὸν τῆς ὑπάρξεως, ἡ τȣ͂ ὄντος ἰδέα, πολλῷ εἰδικωτέρα, ἢ ταύτην οἱ τῶν φιλοσοφȣ́ντων πλείȣς, καὶ ταῦθ' οἱ περὶ Ο'υόλφιον, ὂν ἐννοȣ͂ντες, ἅπαν, ὅ,τι δυνατὸν, ἐξεδέξαντο· ἐντεῦθεν ἕπεται τȣ̀ς τρόπȣς, τὰς σχέσεις, τὰς τῆς ψυχῆς ἰδέας, ἅπαν, ὅ,τι ἤδ' αὐτῇ παρίςησιν, ὄντα ȣ̓δὲν ἧττον, ἢ τὰς ὑποςάσεις, ἔσεσθαι· λέγειν μέν τοι ὧδ' ὄν, ὅ,τι ὑπάρχῃ, ἢ ὃ τῆς ὑπάρξεως ἀπολαύῃ, ȣ̓κ ἂν εἴη· εἰ γὰρ καὶ κατὰ προσθήκην συςαθέν μοι ἄθροισμά τι ἰδεῶν, ȣ̓δὲν ἀντιφάσκον, ἢ τὴν τȣ́τȣ ὑποθετικὴν ὕπαρξιν, ἀδύνατον ποιȣ͂ν, ἐμφαίνει τῇ διανοίᾳ μοι, ὑπάρχειν γεμὴν τῷ πράγματι τὸ τῆς τῶν ἰδεῶν προσθήκης ταύτης ὑποκείμενον, ἐκ τȣ́τȣ ȣ̓χ ἕπεται· ταύτῃ καὶ μᾶλλον τὴν τῆς ὑπάρξεως ἰδέαν, ἢ τὴν τȣ͂ ὄντος, συςεῖλαι Ο'υολφίῳ ἐδέησεν, ὁρίζοντι, ὕπαρξις ἐςὶν, τὸ τῆς δυνατότητος ἀποπλήρωμα, εἴτ' ȣ̓͂ν ὃ δεῖ τῷ δυνατῷ προσθεῖναι, ἐφ' ᾧ τὸ ὂν πραγματικεύεσθαι· τὸ γὰρ ἁπλῶς δυνατὸν, ȣ̓χ ὑπάρχει· ταύτῃ ȣ̓δὲ δοτέον τȣ́τῳ τὸ τȣ͂ ὄντος ὄνομα, ὃ μόναις ταῖς ὑποςάσεσιν, ἢ τῷ ποιεῖν, ἢ πάσχειν, ἐνέργειάν τινα δυνατῷ, χρὴν ἀπονέμεσθαι· θεωρεῖν ἄρα, οἷα πραγματικὸν, τὸ μὴ

ὑπάρ-

ὑπάρχον, ἅττε μὴ πρὸς ἀκρίβειαν ὀνομάζονται τῦτο, ἱκανὸν, ἐς ἀπάτην ἐμβάλλειν· δύω, τὐλάχιςον, ἐχρῆν εἴδη τῆς ὑπάρξεως διακρίνειν, τὸ μὲν πραγματικὸν, ὥπερ ὅ,τε δοθεὶς ἀριθμὸς ἀνήκει, ϗ μόναι αἱ ὑποςάσεις ἐμπεριέχονται, τὸ δε πεποιημένον, εἴτ᾽ ὖν φανταςικὸν, ὅπερ ἁπλῇ τινι τῶν τῆς ψυχῆς ἀντιλήψεων βέβηκεν, ἢ μηδὲν ἄλλ᾽, ἢ ἐνέργειά τις, ἣν ἡ ψυχὴ ποιεῖ, ἢ πάσχει, ὐχὶ δε ϗ ὄντι αὐτὴ καθ᾽ αὑτήν· μὴ μετ᾽ ἀκριβείας ἑρμηνεύειν ἡμᾶς αὐτὺς, λέγοντας, τοιαύτην ἐνυπάρχειν τῇ ψυχῇ ἰδέαν τινα, ὡς ϗ ταύτης ἤδε χωριζομένη, ἰδίᾳ ϗ δίχ᾽ αὐτῆς δύναιτ᾽ ἂν ὑπάρχειν, τῦτο τῆς ἡμετέρας γνώμης πέφυκε· βέλτιον ἄρα λέγειν; τοιαύτην ἔχειν ἰδέαν, ἢ ἀντίληψιν, ἢ ὡς ἰδίᾳ τε καὶ καθ᾽ αὑτὴν, ἐκτὸς τῆς ψυχῆς, ἤδ᾽ ὑφέςηκε.

## Περὶ ὐσίας μεταφυσικῶς.

Ο'υσία ἐςὶν, ὅπερ, οἷα πρῶτον, γενικώτερον, ϗ ὐ ἄνευ τὸ, ὅπερ ἐςὶν, ὐκ ἂν εἴη, ἐν τῷ ὄντι γινώσκομεν· ἵνα δὴ ταύτην ἐξεύρωμεν, ταῖς ποιότησι, μὴ μόνον ταῖς πρὸς ἄλλων, ἢ ἀλλήλων, ἥκιςα διοριζομέναις, ἀλλὰ δὴ ϗ ταῖς πρὸς ἀλλήλων ἐν τ᾽ αὐτῷ μὴ ἀποκλειομέναις, προσεκτέον· ὁ τῶν τριῶν πλευρῶν ἀριθμὸς, ϗ ἡ τύτων ἰσότης τὴν τῦ ἰσοπλεύρυ τριγώνυ συνιςῶσιν ὐσίαν· πρῶτον γὰρ δυνατὸν τὰς τῶν ποιοτήτων δύω ταύτας συνυπάρχειν, εἶτα δε ὐδὲ πρὸς ἀλλήλων αὐτὰς διορίζεσθαι· ὅτι ἡ τῶν γραμμῶν ἰσότης τῦ τῶν τριῶν ἀριθμῦ ἥκιςα προκύπτει, ὐδε τ᾽ ἀνάπαλιν· τρίτον δε πρὸς προ-

τέρων ἄλλων ποιοτήτων αὐτὰς μὴ διορίζεσθαι· ἐν γὰρ τῇ τῦ ἰσοπλεύρυ τριγώνυ κατασκευῇ ὐδὲν ἐςὶ κατανοεῖν, ὃ τῦτ' ἀριθμῦ ϗ τῆς τῶν γραμμῶν ἀναλογίας πρότερον· τέτταρτον ϗ τελευταῖον, ἄνευ τύτων παρίςασθαι τὸ ὂν, ὐκ ἂν εἴη· εἰ μὲν γὰρ πλείυς, ἢ ελάττυς, τῶν τριῶν αὐτῶ ἑνῶσιν, ὐκ ἄν ποτε συςῇ τρίγωνον, ἢ ϗ τύτων ὐσῶν ἀνίσων, ὐκέτι ἰσόπλευρον.

Γνωσθεῖσ' ἅπαξ ἡ τινὸς ὐσία, ἱκανὴ τὴν ἐσωτερικὴν ἀποδεικνύειν δυνατότητα· ἁπάντων γὰρ, ὅσα πραγματικῶς τῷ ὄντι ἔνεςιν, ἢ τούτῳ δυνατὸν ἐνυπάρχειν, τὸν λόγον αὐτη περιέχει· ὑποτεθεῖσ' αἱ τῶν ποιοτήτων ὐσιώδεις, τάτε κατηγορύμενα ξὺν αὐταῖς ϗ τὰ τῇ τῶν τρόπων δυνατότητι χώραν δίδοντα, ἐπάγυσι.

Ἀποδεχομένων τῶν φιλοσοφύντων ἁπάντων τὴν τῆς ὐσίας ἰδέαν ταύτην, ἡ τῶν κατ' αὐτὺς ὁρισμῶν διαφορὰ, φαινομένη μόνον· ὁ τῶν σχολιαςῶν βαθύτερός τε ϗ ὑψηλότερος Σὐαρὲ, ὁ γάλλος, ταύτην ὁριζόμενος, πρώτην, ῥιζῶδη ϗ ἐσωτερικὴν ἀρχὴν ἁπασῶν τῶν τ' ἐνεργειῶν ϗ ἰδιοτήτων, ὅσαι τῷ πράγματι ἀνήκυσιν, ἀποφαίνεται· εἶτα δ' Ἀριςοτελικῶς τὸν ὁρισμὸν ἀναπτύσσων, ὐσία ἐςὶ, φησὶ, τὸ πρῶτον, ὃ τῷ ὄντι κατανοῦμεν ἁρμόζειν, τῦτο συγκροτῦν, προςιθέμενος, ὡς πραγματικὴ ὐσία ἐςὶ, τὸ ἐναντιότητα, ἢ ψιλὴν ϗ πρὸς ἀρέσκειαν ὑπόθεσιν περιέχον ὐδεμίαν· πρόδηλον ὖν, ὡς δυνατὸν ἐπὶ τὴν ἡμετέραν ἐπανάγειν τὰς ἰδέας ταύτας· ἐχόμενος δ' ὁ καρτέσιος τῦ, ὃν ὁ καθηγητὴς

ὗτος αὐτὸν ἐδίδαξεν, ὁρισμὸ, οἷα τῦν ὑποςάσεως, φησὶν, ἡ κυριωτέρα ἰδιότης, ἣ τήν τε φύσιν καὶ ὐσίαν ταύτης συνίςησι, καὶ ἐφ' ἣν αἱ λοιπαὶ πᾶσαι ἀνάγονται, μία· ἀλλ' ἡ ἀπάτη, ἐς ἣν οἵ τε σχολαςικοὶ καὶ ὁ καρτέσιος αὐτὸς ἐμπεπτώκασιν, ἔςι τὸ ὕτω θετικῶς καταφάσκειν, ὡς ἡ ἁπασῶν τῶν ἄλλων βάσις, μία τις ὖσα τῶν ἰδιοτήτων, τὴν τῦ ὄντος ὐσίαν συνίςησι· δυνατὸν γὰρ ἔχειν, ἣ καὶ κοινῇ ἔχομεν, πλείης, ἢ μίαν, οὐσιώδεις ποιότητας. ὧν ὁ ἀριθμὸς, ἐκ ὧν πεπηγὼς, ἐφ' ἁπάσας τὰς, ὗτε πρὸς ἄλλων, ὔθ' ὑπ' ἀλλήλων, ὑποτιθεμένας, ἐκτείνεται, ὡς εἴρηται.

Ἐξ αὐτῆς ταύτης τῆς περὶ τὴν ὐσίαν ἐννοίας ῥᾶςον, τὸ, τ' αἰώνιον καὶ ἄτρεπτον ἐπάγειν· ἡ τῶν πρὸς ἀρέσκειαν ὐσιῶν ἰδέα, τῶν ἀντιφάσεων πηγή τις· αἱ τῶν πραγμάτων ὐσίαι τῇ τῶν περὶ ταῦτα πρώτων ποιοτήτων μὴ ἐναντιότητι ἐρείδονται, ὡ εἴδομεν, γνωσθείσας δ' ἅπαξ ταύτας ἐν μὴ ἐναντιότητι, εἰδικὴν ἔχειν ἀνθίςασιν, ἢ ταύτας αὐτῇ δύνασθ' ἐνυπάρχειν, ἀμήχανον; ἀναγκαία ἄρα ἡ τῆς τύτων συνυπάρξεως δυνατότης, μηδὲν ἀλλ' ὖσα, ἡ αὐτὴ ἡ ὐσία· ἡ εὐθυγράμμυ τινὸς, φέρε, τριγώνυ οὐσία, ὑ βέβηκε τῇ μάχῃ τῦ, τρεῖς εὐθείας γραμμὰς, ὧν αἱ δύω πάντῃ μεταλαμβανόμεναι, μείζυς τῆς λοιπῆς, ὕτως ἀλλήλαις συνάπτεσθαι, ὡς διάςημά τι περικλείειν· ἐρεῖ τις, ὡς δυνατὸν ἐξίσυ τ' ἀντία ἀκολυθεῖν, εἴτ' ὖν ὡς δυνατὸν ἐςὶ, μὴ δυνατὸν, ὐδ' ἴδιον τῶν ὑποτεθεισῶν τριῶν γραμμῶν διάςημά τι περικλείειν; εἰ γὰρ, ἠλήθευ-

θευσεν ἂν, ὡς τ' αὐτὸ ἅμα εἶναι κ) μὴ εἶναι, δυνατόν· ἔςιν ἄρα, κ) ἦν, κ) ἐσαεὶ ἔςαι ἀναγκαῖον κ) ἴδιον τῶν τριῶν εὐθειῶν, διάςημά τι περιέχειν· ὃ δὴ προϊςάμεθα, λέγοντες, ὡς ἡ τȣ τριγώνȣ, ἢ ἡ ὁτινοσȣ̃ν ἄλλȣ τῶν σχημάτων, ȣ̓σία ἔςιν ἀναγκαία, τȣ̃το ἐςί· κατὰ ταῦτα, εἰ κ) μηδέποτε δημιȣ́ργημά τι, οἷον ὁ ἄνθρωπος, ὑπῆρχεν, ȣ̓χ ἧττον γεμὴν ἦν ἂν ἀναγκαίως δυνατὴ, ἡ τȣ́τȣ ȣ̓σία, κȣ̓δ' ἂν αὐτὸ τὸ θεῖον τὴν πραγματικότητα τȣ́τῳ εἶχε διδόναι, εἰμὴ ἡ τῆς περὶ αὐτὸν ȣ̓σίας δυνατότης προηγεῖτο· ȣ̓ γὰρ τὴν τȣ̃ θεȣ̃ δύναμιν περιορίζειν, τȣ̃το, ἀλλὰ ταύτην ἐν τοῖς τȣ̃ δυνατȣ̃ περικλείειν ὁρίοις· ἡ ἄρ᾽ ἐφ' ἅπαν, ὅ, τι μὴ ἀντίφασίν τινα περιέχοι, ἐκτεινομένη δύναμις, ἄπειρος. ὅ, τι δὲ, παρὰ τȣ̃το, ψιλὸν μηδὲν, ὅπερ ἐνεργητικῆς τινος δυνάμεως ὑποκείμενον ȣ̓κ ἄν ποτ' ᾖ.

## Περὶ ψυχῆς μεταφυσικῶς.

Εὐρυτάτῃ ἐννοίᾳ τȣ̓́νομα, ψυχὴ, λαμβάνετ' ἐσθ' ὅτε, ὡς ἀρχὴ τῆς τε ζωῆς κ) ἐνεργείας πάντων, ὅσα ζῆν, ἐνεργεῖν, κινεῖσθαι δοκεῖ, εἴτ' ἐσωτερικῶς, εἴτ' ἐξωτερικῶς, ἡ φαμὲν, ὡς ζῇ κ) ἔμψυχα τυγχάνει· οἱ ἐν ἐκδοχῇ τῇ αὐτῇ τȣ̃το λαμβάνοντες φιλόσοφοι, κ) τὴν τῆς ζωῆς κ) ἐνεργείας ἀρχὴν, ὡς κεχωρισμένην κ) διακεκριμένην τῆς παχυτέρας ὕλης, θεωρȣ̃ντες, ἐν παντὶ εἴδει ζώντων ψυχήν τινα ὑποτιθέασι· λαμβανόμενος ἐν τῇ αὐτῇ ὁλικότητι ὁ κόσμος, κ) οἷα ἑνιαῖόν τι ὂν, θεωρȣ́μενος, πρὸς ἁπάντων τῶν διαφόρων εἰδικῶν ὄντων, ὅσα ἑαυτῷ ἐμπεριέχει, ξυντιθέμενος, τῇ αὐτῶν διανοίᾳ παρίςαται, οἷά τι μέγα ζῶον, ἐν ᾧ ψυχήν τινα ὑπο-

τιθέασιν, ἣν τοῦ κόσμου καλοῦσιν· εἶδος μέντοι ζωῆς ἐν τοῖς φυτοῖς γινώσκοντες, τούτοις ψυχήν τιν᾽ ἀπονέμουσιν, ἣν τῶν φυτῶν, εἴτ᾽ οὖν αὐξητικὴν ὀνομάζουσι· τὰ δὲ ζῶα, ὧν πολλῷ ἔτ᾽ ἐκπληκτικωτέροις τῶν σημείων ἡ ψυχὴ ἐμφαίνεται, ἧς αἱ ἐνέργειαι, αἱ αἰσθήσεις ϗ τὰ πάθη ὁρᾶται, ἔτι μείζων αὐτοῖς ὁ λόγος διϊσχυρίζεσθαι, ταύτῃ αὐτὰ κεκοσμῆσθαι, ἣν αἰσθητικὴν ϗ ἄλογον φασὶ· τῷ ἀνθρώπῳ τέλος, ὃς τοῖς μὲν ζώοις ϗ φυτοῖς κοινὰ ἔχει τὸ θρεπτικόν τε ϗ αὐξητικὸν, τοῖς δ᾽ ἀλόγοις τὴν ἐνέργειάν τε ϗ αἴσθησιν, προστιθέμενοι τόν τε νοῦν ϗ λόγον, ἀπονέμουσιν αὐτῷ ἑπομένως, οὐχ ὅπως τὴν ζωτικὴν ϗ αἰσθητικὴν, ἀλλ᾽ ἔτι δὴ ϗ τὴν λογικὴν, ἣν τῷ τῆς ἀνθρωπείας ψυχῆς, τοῦ ἀνθρωπίνου πνεύματος, τοῦ λόγου, ἢ τῆς οὕτω ψυχῆς κυρίως καλουμένης, ὀνόματι γινώσκομεν· τῇ ἐννοίᾳ ταύτῃ, ἧπερ οἱ καθ᾽ ἡμᾶς φιλοσοφοῦντες χρῶνται, συστελλόμενοι, ψυχὴν ἐννοοῦσιν, ὄν τι, ὅ, τι ποτ᾽ ἂν ᾖ, ὃ τῷ ἀνθρώπῳ ἐνὸν, νοεῖ, αἰσθάνεται, βούλεται, ἐνεργεῖ, ϗ ὃ σύνοιδεν ἑαυτῷ, ἢ δύναται λογίζεσθαι, αἰσθάνεσθαι, βούλεσθαι, ἐνεργεῖν ϗ γινώσκειν ἑκάστην τῶν αὐτοῦ ἐνεργειῶν, ἃς ἐπιτελεῖ· μᾶλλον δ᾽ ὁ τρόπος, εἰ βούλει, τις ἔσται τοῦ ὄντος, ἡ εἰδοποίησις, ἧς τῇ τε δυνάμει ϗ τῷ ἀποτελέσματι ὁ ἄνθρωπος νοεῖ, αἰσθάνεται, βούλεται, ἐνεργεῖ ϗ ἐσωτερικῶς γινώσκει, ὡς νοεῖ, αἰσθάνεται, βούλεται, ἐνεργεῖ.

Ὁ τοὺς τῶν πραγμάτων λόγους ἀνακαλύπτειν ἐφιέμενος, οὐδὲν ἂν ἔχοι δικαιότερον, τά γε μοι δοκοῦντα, ξενίζεσθαι, ἢ τὴν τῶν δοξῶν, ἃς

οἱ

οἱ φιλοσοφοῦντες ἀσπάζονται, ἐναντιότητα ἐφ' ἑκάστῳ τῶν ζητημάτων, ὅσα δυνατὸν κατασκευάζειν, περὶ τοῦ τῆς ἀνθρωπείου ψυχῆς ὑποκειμένου.

Δοξαζομένην δὴ πρὸς τούτων τὴν ταύτης φύσιν, εἴτ' οὖν οὐσίαν, πῇ μὲν ὑλικὴν, πῇ δ' ἄυλόν τε καὶ ἀμερῆ, τῶν ὑλιστῶν, οἱ μὲν, οἷα σωματικὴν ὑπόστασιν, διακεκριμένην τε, ὅπερ ἐμψυχοῖ, σώματος, καὶ τούτου χωρίζεσθαι δυναμένην, ταύτην θεωροῦσιν· οἱ δ' οὐχ ὡς ἰδίαν τινὰ ὑπόστασιν, ἀλλὰ μόνον προκύπτον τι τ' ἀθροίσματος, τοῦ συνδυασμοῦ, τῶν ἐν ἁρμονίᾳ σχετικῶν μερῶν, οἷς τὸ σῶμα συντίθεται· τῶν δὲ πνευματικῶν, οἱ μὲν, ὡς πραγματικήν τινα ὑπόστασιν, ταύτην φρονοῦσιν, οἱ δὲ τοιαύτην ταύτην δοκοῦσι μὴ γινώσκειν, οἷα ὑποκείμενον δηλοῦσαν, ὅγε ψυχὴν ἡμεῖς καλοῦμεν, ἀλλὰ ταύτης οὐσίαν, μόνον τὸν νοῦν, φασὶ, τυγχάνειν· τὰ ζητήματα ταῦτ' ὧδε μὴ ἐξετάζοντες ἡμεῖς, τοὺς τούτων ἐφιεμένους, ἐπὶ τὴν ὕπαρξιν, ὑπόστασιν, ὕλην, κτ. παραπέμπομεν.

Β. Ζητεῖται δεύτερον, τίς, ἡ τῶν ἀνθρωπίνων ψυχῶν ἀρχή; ἀπ' αἰῶνος αὗται ὑφεστήκασι; σύγχρονοι τῷ κόσμῳ, τηρούμεναι ἔν τινι τῶν ταμείων, τὴν τάξιν λαβεῖν περιμένουσαι, ἐλθεῖν τὸ ἔμβρυον ἐμψυχώσουσαι; ἐν τῇ συλλήψει, ἢ μετὰ ταύτην, τοῦτ' ἀφικνοῦντ' ἐμψυχώσουσαι; ἆρ' οὖν ἡ τούτων δημιουργία, ὁ ταυτόχρονος τῷ ὑπάρχειν ἀρχομένῳ ἐμβρύῳ; ὁ σύγχρονοι πᾶσαι τοῖς σπέρμασιν, οἷς ἐν τῇ δημιουργίᾳ

τῇ

τῇ δ' ἐξ ἀρχῆς συνυπάρχȣσαι, κατὰ διαδοχὴν ἐξελίττονται; ȣ̓ τῇ τȣ̃ πατρὸς ϗ τῆς μητρὸς συνευρέσει, ᾗ ϗ τὸ σῶμα, ἐν τῇ γεννήσει κατασκευαζόντων, ἐγεννήθησαν;

Γ. Τρίτη τῆς αὐτῶν ἀσυμφωνίας, περὶ ψυχῆς, πηγὴ, ἡ ταύτης σχέσις πρὸς τὰ, ἅπερ ἦδ' ἔμψυχοι σώματα, ἡ ἐπίῤῥοια, ἣν ἥδε μὲν ἐπὶ ταῦτα, ταῦτα δ' ἐπ' αὐτὴν, ἔχει· ἡ αὐτῶν ἀπ' ἀλλήλων ἐξάρτησις, ἢ ἡ ἀνεξαρτησία.

Ταῖς ἐναντιότησι ταύταις ὡς πλείςας ἐπῳκοδόμησαν τῶν ὑποθέσεων, ἃς ἀλλήλαις ξυνᾴδειν πάσας, ϗ τῶν πάνυ δυσχερῶν· οἱ μὲν ἁπάντων τῶν ἐν ἀνθρώποις ἔργων ȣ̓δὲν ἀλλ', ἢ τὸ ἑνιαίας τίνος ὑποςάσεως, ἁπάσης ὑλικῆς, φυσικὸν προκύπτον θεωρȣ̃σιν· οἱ δὲ τὴν πνευματικῆς τινος ȣ̓σίας ὕπαρξιν ἀποδεχόμενοι, ἀρνȣ́μενοι δὲ, ἢ ἀμφιβάλλοντες τῇ τῶν σωμάτων ὑπάρξει, ἅπερ, οἷα φαινόμενα, πραγματικότητος ἀμοιρȣ̃ντα, δοξάζȣσιν, ὡς παρεμπτώσεως, αἰσθήσεως, σωματικȣ̃ ὀργάνȣ ἄνευ, ἐν τῷ θεῷ ὁρῶμεν ἅπαντα· ἕτεροι τῇ τῶν σωμάτων ϗ τῆς ψυχῆς ὑπάρξει μὴ διςάζοντες, ἀποφάσκοντες γεμὴν, ὡς θάτερον ἐπὶ θάτερον δύναται ἐνεργεῖν, τὴν ἀντίςροφον ἐνέργειαν ταύτην τȣ́τȣ μὲν ἐπ' ἐκείνην, ἐκείνης δ' ἐπὶ τȣ̃το τ' ἀνάπαλιν, ἀδύνατον ἀποφαίνονται· τῶν τὴν ἐξάρτησιν τῆς ἀντιςρόφȣ ταύτης ἐναργείας ἀρνȣμένων, ϗ διαφερομένων ἀλλήλοις, οἱ μὲν τὴν μεταξὺ τῶν τῆς ψυχῆς ϗ τȣ̃ σώματος ἐνεργειῶν σχέσιν, ἢ τὸ ἀντιςρόφȣ τινος ἐπιῤῥοίας θατέρȣ ἐπὶ θάτερον ἀπο-

ποτέλεσμα δοκεῖ, θεωρῦσιν, ὡς ἄμεσον ἐνεργείας, ἀεὶ παρόσης ἢ πραγματικῆς, τῦ θεοῦ, ὅς, βούλησει τῆς ψυχῆς, κατὰ τὴν αὐτῆς ἔννοιαν τὸ σῶμα κινεῖ, ἢ ἀντιςρόφως, ἐνεργῦντος ἐξωθέν τινος ἐπὶ τὰ τῦ σώματος αἰσθητικὰ ὄργανα, τῇ ψυχῇ ἐνδιεγείρει τὰς ἰδέας, τὰς λογισμὸς, τὰς θελήσεις, τῇ, ἣν πάσχει τὸ σῶμα, μεταβολῇ ταύτῃ τῆς καταςάσεως ἀνταποκρινομένας· οἱ δὲ τὰς τῶν αἰτιῶν τυχηρὰς ταύτας ἀποτιθέμενοι, ὡς τῇ τῦ θεῦ σοφίᾳ ἀντικειμένας, εἰ ἢ τὴν ἀρχὴν, ἢ ταύτῃ δέδωκε τὴν γένεσιν, ἀποδέχονται, τιθέναι μέντοι, ἀντὶ ταύτης, ἐσκέψαντο τὴν προδιατεταγμένην ἁρμονίαν, ἣ διδάσκυσιν, ὡς, ἡ μὲν ψυχὴ ἔχυσα παρ' αὐτῆς τὴν δύναμιν τῦ τὰς ἀντιλήψεις ἢ τὰς εἰκόνας τῶν πραγμάτων κατασκευάζειν, τῆς περὶ ἀλλοτρίαν τινὰ αἰτίαν ἐνεργείας πρὸς τῦτο ὑδεῖται, ἀλλὰ συνεχεῖ ἢ ὡρισμένῃ τινὶ ἀκολυθίᾳ τ' ἀποτελέσματος ἐκ τῆς ἐν αὐτῇ πραγματικῆς καταςάσεως ἐπὶ τὴν ἢ ἐνέςαι ἐν τῇ ἑπομένῃ ῥοπῇ ταύτας κατασκευάζει· τὸ δὲ σῶμα παρ' αὐτῦ, μηχανή τις, ἣν τοιαύτην τὸ θεῖον ἐμηχανήσατο, ὡς παρ' αὐτῦ, μετὰ τὸν κλόνον, ὃν αὐτῷ τὰ περικυκλῦντα ἢ ἐνεργῦντα τῶν σωμάτων ἐν τυποῖ, κατὰ τὰς τῆς κινήσεως ἀτρέπτυς νόμυς, ἐπιτελεῖ πᾶν, ὅ, τι τ' ἀνθρωπείῳ σώματι ἐκβαίνειν ὁρῶμεν· ἐν τοιαύτῃ ἄρ' ἁρμονίᾳ τυγχάνει τὸ συναμφότερον, ὡς τὰς ἐκείνυ κινήσεις ἀεὶ ταῖς ἀντιλήψεσι ἢ τοῖς ἐκείνης προσδιορισμοῖς ἀνταποκρίνεσθαι, ὑδετέρυ τῷ ἑτέρῳ φυσικῶς ἐπιῤῥέοντος ξυνάδειν τέλος τῶν καθ' ἡμᾶς φιλοσοφύντων οἱ πλείυς δοκῦσι περὶ συςήματός τινος, ὃ μᾶλλον σύμφωνον, φασὶ, δοκεῖ τοῖς πείρᾳ τε ἢ ἐσωτερικῇ συνειδήσει ἀνακαλυπτομένοις·

τοις· δοξάζουσι γὰρ καὶ οὗτοι, ὡς δυνατὸν ἐνεργεῖν τὸ σῶμα ἐπὶ τὴν ψυχὴν, ταύτην δ᾽ ἀνάπαλιν ἐπὶ τοῦτο, φυσικῇ τινι ἐπιῤῥοίᾳ, ἧς οὐδὲν ἧττον δυσχερὲς ἀρνεῖσθαι τὴν ὕπαρξιν, ἢ τὸν ταύτης ἑρμηνεύειν τρόπον.

Δ. τετάρτη ἐναντιότης τῆς ἀσυμφωνίας, ἐν ταῖς τῶν φιλοσοφούντων δόξαις, περὶ τοῦ τῆς ψυχῆς ὑποκειμένου, ἡ εἱμαρμένη· οἱ μὲν γὰρ, ἀπωλλυμένου τοῦ σώματος, καὶ ταύτην συναπόλλυσθαι οἴονται, ὑλικὴν, ἢ ἀπολύτως εἰδοποίησίν τινα τῆς ὕλης, ταύτην φρονοῦντες· οἱ δ᾽, ὡς τούτου χωριζομένη, ἔσθ᾽ ὑφίσταται, καὶ τούτῳ ἐπιβιοῖ· ἕτεροι τῶν σωμάτων καινὰ περιβαλλομένην, ταῦτ᾽ ἐμψυχοῦν· ἄλλοι τὸ σῶμ᾽ ἀποδυσαμένην, ἐντελεωτέρᾳ καταστάσει ὑπάρχειν, ἢ ὅτε τὰς αἰσθήσεις περιεβάλλετο καὶ τὰ ὄργανα, ἃ ταύτην ἐν ταῖς αὐτῆς ἐργασίαις στενοῦντα, ἐκώλυεν· οἱ δ᾽ αὖ, τοὐναντίον, δίχα τῶν σωματικῶν ὀργάνων μὴ δυναμένην ἐνεργεῖν, ἐν τῇ τῆς ἀνενεργησίας, εἴτ᾽ οὖν ληθαργίας καταστάσει διάγειν, μετὰ τὸν τοῦ σώματος χωρισμὸν, δεῖν δ᾽ αὖ, κατὰ τοὺς τοῦ δημιουργοῦ λόγους, τῷ, ὥπερ ἐμψυχοῖ, σώματι αὐτὴν ἑνοῦσθαι, ἐν ἁρμοζούσῃ καινῇ τάξει τῶν ὄντων αὐτὴν καταστήσοντος· τελευταῖον, τῶν μὲν, προωρισμένην ἐπὶ βραχύτι ὑπάρχειν, τὸν βίον τελευτῶσαν μετὰ σώματος, τῶν δὲ, δεῖν αὐτὴν αἰωνίως ζῆν, τῶν ὑστάτων τούτων, οἱ μὲν τὴν αὐτῶν δόξαν τῆς περὶ τὴν ψυχὴν ἀθανασίας ἐπάγουσιν ἐκ μόνου τοῦ βουλήματος τῆς τοῦ θεοῦ ἀπείρου σοφίας, οἱ δὲ καὶ ταύτης καὶ τῆς ἐν τῇ ψυχῇ ἀφθάρτου φύσεως.

Ε. ζητεῖται πέμπτον, τίνες αἱ τῆς ἀνθρωπείη ψυχῆς ἠτιώδεις δυνάμεις τε ϗ ποιότητες, ἤτοι αἱ διάφοροι ἐνεργητικαὶ ϗ παθητικαὶ δυνάμεις, αἳ ταύτῃ ἐνυπάρχησται ϗ τὴν αὐτῆς ἐσίαν συνιςῶσαι· τὸν περὶ ταύτας ἀριθμὸν οἱ φιλοσοφῦντες ἀλλήλοις ἐ ξυνᾴδεσιν· οἱ μὲν γὰρ μόνον τὸν νῦν, ἐφ᾽ ὃν ἁπάσας τὰς ἄλλας ἀνάγεσιν, ἀποδέχονται, οἱ δὲ δύω, τὴν διάνοιαν, εἴτ᾽ ἐν τὸν νῦν ϗ τὴν βέλησιν, οἱ δὲ τρεῖς, ἃς, ὡς τὴν τῆς ψυχῆς ἐσίαν συνιςῶσας, θεωρῦσι, ϗ ὧν αἱ λοιπαὶ πᾶσαι πηγάζεσιν, ἤτοι τὴν διάνοιαν, βέλησιν, ϗ αἴσθησιν.

ς. ζητεῖται τέλος, ἐν τίσι τῶν ὄντων ἡ αὐτὴ ψυχὴ, εἴτ᾽ ἐν τίνων ταυτοέσιος ἤδε τῇ τ᾽ ἀνθρώπῃ· οἱ μὲν ὕπαρξιν ταύτης τοιαύτην ἐ γινώσκεσιν, ὅ, τι μὴ τὴν τῆς ἀνθρωπείη· οἱ δὲ τὴν τῶν κτηνῶν, οἷς ταύτην χαρίζονται, τῆς ἡμετέρας δοκῦσι μὴ διαφέρειν, πλὴν εἰμὴ κατὰ τὸ μᾶλλον, ἢ ἧττον· τέλος δ᾽ εἰσὶν, οἱ τοῖς τε φυτοῖς ϗ τῷ παντὶ ὁλοσχερεῖ αὐτὴν τοιαύτην ἐπιδαψιλεύονται.

## Περὶ ἑνώσεως ψυχῆς ϗ σώματος μεταφυσικῶς.

Πρᾶγμά τι σημαίνει ἡ ἔκθεσις αὕτη, ὃ πολεμεῖσθαι, ἢ ἀμφιβάλλεσθαι, τῶν ἀμηχάνων, πλὴν εἰμὴ τοῖς μίαν μόνην ὑφεςηκυῖαν ἐσίαν, ἤτοι τὴν ὕλην, ὅρα ὕλη, βελομένοις γινώσκειν· ἀλλὰ ϗ κατ᾽ αὐτάς γε τέτας, ταυτὸ ἤ δ᾽ ἔτι σημαίνει, διαφόρως μέντοι ὡρισμένον· ἡ τῆς ψυ-

χῆς

χῆς μετὰ τȣ̃ σώματος ἕνωσις, καθ' ὑλίςας, την, ἣ ἐπιγίνεται, ϗ ἐπιγίνεσθαι δεῖ τῇ ὕλῃ, εἰδοποίησιν ἐμφαίνει, ὅπως νοητικὴν, αἰσθητικὴν, βȣλητικὴν, ἐνεργετικὴν ταύτην ποιῇ, ȣ̃ ἄνευ εἴη ἂν ἐκείνη τȣ́των ȣ̓δὲν· ἀναμφίβολον γὰρ, ὡς ὁ νȣ̃ς, ἡ αἴσθησις ϗ ἡ ἐνέργεια, τῇ ὕλῃ ȣ̓κ ȣ̓σιώδεις, ὅτι ȣ̓δεμία ὕλη, νοεῖ, ουδ' αἰσθάνεται, ȣ̓δὲ βȣ́λεται, ȣ̓δὲ ὅλως ἐνεργεῖ· ϗ πολλῷ μᾶλλον, ὡςτὸ ταύτης μεῖζον μέρος ȣ̓δὲ τὴν ἐλαχίςην ἔνδειξιν τῆς τȣ́των δεκτικότητος ἔχει. ἵνα δ' αὐτὴν κτᾶται, ἢ κτᾶσθαι δοκῇ, εἰδοποίησιν δεῖ δέχεσθαι, ἢ ȣ̓κ ȣ̓σιώδης ταύτῃ, ϗ ἧς ἕνεκα ζητεῖν δυνατὸν, ὅθεν αὕτη ταύτην δέχεται, πότε ϗ ὅπως αὕτη αὐτῇ δέδοται, ϗ πρὸς ἡ καινὴ αὕτη δεκτικότης, πότερον, ἁπλῆ τις εἰδοποίησις; εἴγε τοιαύτη, προκατασκευαςικὰ ταύτης ἴχνη ἐν τῇ ὕλῃ ἑωρῶμεν, ϗ τὰς ποιότητας, ὅσαι ταύτην καθιςῶσι δυνατὴν, ἔτ' ἀνεκαλύπτομεν· ἀλλ' ἐπὶ τ' αὐτῆς ἁπλȣςέρα τῶν ςοιχείων ἐπαναγομένης, ὡς οἷόν θ', ἡμῖν τῆς ὕλης, ϗ τῶν ἐν ταύτῃ ἀναγγελλοντος ἡμῖν μηδενὸς, ȣ̓́τε τὴν τȣ̃ τοιαύτην εἰδοποίησιν δέχεσθαι δεκτικότητα, ȣ̓́τε τὴν δυνατότητα, ἢ τῶν τῆς ὕλης ἐγνωσμένων εἰδοποιήσεων τις δύναιτ' ἂν τὴν τȣ̃ νοεῖν παράγειν δεκτικότητα, ȣ̓κ ἀναγκασθησόμεθα συνάγειν, ὡς, εἰ νοητικὴ γίνεσθαι δοκεῖ ἡ ὕλη, ȣ̓κ ἀποτελέσματι καινῆς τινος εἰδοποιήσεως τȣ̃θ' αὕτη γίνεται, ἀλλὰ τῷ τῆς κατ' αὐτὴν ἑνώσεως μετ' ἄλλης τινος ȣ̓σίας, ἢ ȣ̓σιωδῶς νοητικῆ; τȣ̃το ἐςὶν, ὅπερ οἱ τῶν φιλοσόφων πλεῖȣς ϗ περιβλεπτότεροι ἀλλήλοις ξυνᾴδȣσιν· οἱ γὰρ ὑλίςαι, ȣ̓δ' οἱ πολυαριθμώτεροι, ȣ̓δ' οἱ

τῇ τῆς ῥοπῆς καὶ τοῦ λόγου ὑπεροχῇ διακριτικώτεροι.

Τῇ ȣ̓σιωδῶς νοητικῇ ȣ̓σίᾳ διδόναι τȣ̓́νομα, ψυχὴ, οἱ τῶν φιλοσοφȣ́ντων κορυφαῖοι ξυνάδȣσιν, ἵνα ταύτην διακρίνωσι τȣ͂ σώματος, ὕλης ὄντος, ȣ̓σιωδῶς μὴ νοȣ́σης, πεπεισμένοι, τῇ τȣ͂ νοεῖν δυνάμει τȣ͂το μὴ κεκοσμεῖσθαι, ἀλλ', ἢ, ὡς ἑνωθείσης αὐτῷ τῆς ψυχῆς· ἑρμηνεύοντες δὲ τὸ πρᾶγμα, ᾧ τὸ μὴ νοȣ͂ν τῇ νοȣ́σῃ ψυχῇ ἥνωται, τῇ ἐκθέσει ταύτῃ, ἡ τῆς ψυχῆς ἕνωσις μετὰ τȣ͂ σώματος, χρῶνται.

Τῷ δὲ πράγματι τῷδε γινώσκειν ἐθέλȣσι τὰς περιςάσεις, ὅσαι τȣ͂το χαρακτηρίζουσι, τὸν τρόπον, ὥπερ αὐτὸ χώραν ἔχει, τὸν χρόνον, ἐν ᾧ αὐτὸ ἀποτελεῖται. ϗ τὴν αὐτȣ͂ διαμονήν· οἷας ποτ' ἂν ᾖ ἀνάγκης ταυτὶ τὰ ζητήματα, ὅσα περὶ τȣ͂ ὑποκειμένȣ τȣ͂δε κινȣ͂σι, ϗ ἡ τῶν εἰρημένων ϗ γεγραμμένων περὶ τούτου ποσότης, ὅπως ὁρίσωσιν αὐτὸ, ἔτι μείζονος δεῖ τȣ́τῳ τῆς σαφηνείας.

Τὰς περιςάσεις, ὅσαι τὴν ἕνωσιν ταύτην χαρακτηρίζȣσιν, ἢ τὰ φαινόμενα, ὅσα ταύτην ἀναγγέλλει, πείρᾳ ϗ ἐσωτερικῇ αὐτȣ͂ αἰσθήσει, ὅσαι τȣ́τον ἐν ἀμφιβόλῳ ȣ̓κ ἐῶσιν, ἱκανὸς διαγινώσκειν ἕκαςος· ἐπανάγεται δὲ τὰ φαινόμενα ταῦτα ἐπὶ τὰ ἑπόμενα. Α. ἅπασαι αἱ διεγειρόμεναι, ἢ παραγόμεναι, κινήσεις ἐν τοῖς σώμασι, εἰδοποιȣ͂σι τὴν ψυχὴν, ἢ τȣ́τοις ἡνωμένη, αἰσθάνεται, ὡς ἐντεῦθεν μεταβολή τις τῇ, ἐν ᾗ προῆν τῷ ἡγȣμένῳ ἀκαρεῖ, καταςάσει αὐτῆς ἐπι-

πιγίνεται, ϗ ἔτι τῆς κατ᾽ αὐτὴν ὑπάρξεως, ϗ ὡς αὕτη, ποικιλλομένη, μεταβολῶν κατὰ διαδοχὴν πειρᾶται· ἀρεσκηστῶν δ᾽, ἢ ἀπαρεσκηστῶν, αὐτῇ τέτων, τῆς αὐτῶν διαμονῆς, ἢ τῆ τέλης, ἐπιθυμεῖ, παράγειν, ὃ ἐφίεται, διὰ τέτων ἐπειγομένη. Β. ἐκ τῶν τῆς ψυχῆς διαφόρων εἰδοποιήσεων τῶνδε, ἐν κινήσει πρὸς ταύτης τίθεται τὸ σῶμα, κανονικῷ ϗ ἁρμονικῷ τρόπῳ τῇ φύσει τῶν μεταβολῶν, ἃς παράγειν ἡ ψυχὴ βέλεται ἐν τῇ αὐτῆς πραγματικῇ καταστάσει· τ᾽ ἄρα σῶμα ἐπὶ ταύτῃ, αὕτη δ᾽ ἐπὶ τέτῳ ἐνεργεῖ, ἢ γῦν ἡμῖν ἕτω δοκεῖ.

Ζητεῖται πρὸς ζῆλον ὧδε, τίς ὁ τῆς ψυχῆς θρόνος; ἢ τί τὸ σημεῖον, ᾧ ἡ νοητικὴ αὕτη ἐσία ἥνωται τῷ μὴ νοῦντι σώματι; περὶ τέτε ἰδίᾳ μὲν ἐξυνάδεσι, γενικώτατα δὲ, ὡς ἐκ ἐν ἅπαντι διακεχυμένη τέτῳ, ἐν τῷ ἐγκεφάλῳ τὸν αὐτῆς ἱδρύει θρόνον, ἔνθ᾽ ἅπαντα ἀπολήγει τὰ νεῦρα· ὡς, εἰ ϗ πράγματι τὰς δακτύλες μοι αὕτη κινεῖ, ϗ πρὸς ἀρέσκειαν αὐτῇ τὴν τέτων κίνησιν διευθύνει, ἀλλ᾽ ἐπὶ τέτοις ἐκ ἀμέσως ἐνεργεῖ, ἀλλὰ τέτες κινῦσα διὰ τῶν νεύρων, τῶν μυώνων, τῶν τενδόνων, κτ. ἃ κοινωνοῖ πως τοῖς ἐν τῷ ἐγκεφάλῳ νεύροις· ἐντεῦθεν τοῖς τέτων πέρασιν, οἷς ἐνεργεῖν ποιεῖ τὸ σῶμα, τὸν αὐτῆς θρόνον ἱςᾶσιν· ἀλλὰ περὶ τοῦ ταύτης ὡρισμένε τόπε, ὅς αὐτῇ θρόνος, ἔπω ἔτ᾽ ἀλλήλοις ξυντίθενται· ἐν τῷ αὐτῆς θρόνῳ παριςῶντες τὴν ψυχὴν, κεῖσθαί, φασιν, αὐτὴν ἔν τινι τῦ ἐγκεφάλε χώρᾳ, κατὰ τὸν ἐν ἀφεγκεῖ τῷ τῶν ταμείων κεκλεισμένον, τὰ ἐκτὸς ἅπανθ᾽ ὁρῶντα, ἔν τινι τῦδε χώρῳ ἱςαμένα,

να, ἐν ᾧ, αἱ δὶ ὀπῆς ἔξωθεν εἰσερχόμεναι ἐν αὐτῷ ἀκτῖνες, πίπτουσιν, σχέδιόν τι διαγράφουσαι, ταῖς τῶν ἐν ἡμῖν αἰσθήσεων διαφόροις ἀνάλογον, ἅμα δ' ἐκεῖθεν, οἷα μηχανικός τις, ὅς μίαν, ἢ πλείους, κρατεῖ τῶν χορδῶν, δι ἐκείνων, ᾗ δέον, κρίνουσαν μετὰ τὸ ὁρώμενον, ἐν κινήσει τὰ μέλη τιθέναι, ἵνα τὰς τῆς, ἧς ἐπιθυμεῖ, καταςάσεως μεταβολὰς προκατασκευάζῃ· τὴν τῆς ψυχῆς μετὰ τοῦ σώματος ἕνωσιν πρὸς ἀκρίβειαν ἡμῖν οὐχ ἑρμηνευούσης τῆς παραθέσεως ταύτης ἡ ἐνδόμυχος σχέσις, ἣν ἐν τούτοις ὁ δημιουργὸς ἐτάξατο, τῶν μυςηρίων ἀνερμήνευτόν τι τοῖς φιλοσοφοῦσιν· ἐκπλητlόμενοι ταῖς δυσκολίαις, ὅσαι τούτου ἕπονται, τὴν πραγματικότητα ἠρνήσαντό τινες, ἅπαντ' ἐφ' ἁπλᾶ ἄτlα τῶν φαινομένων ἐπανάγειν βουλόμενοι· ἐντεῦθεν ἡ κατὰ Λεϊβνίτιον προδιατετταγμένη ἁρμονία, αἱ κατὰ περίςασιν αἰτίαι, αἱ ὑποθέσεις, ὡς ἅπαντ' ἐν τῷ θεῷ ὁρῶμεν, ἐν τῷ παντὶ δ' οὐδὲν σῶμα, ϗ τῶν φαινομένων τι μόνον, ἡ ὕλη.

Πειθόμενοι δ' ἕτεροι, ὡς αἱ δυσκολίαι, ὅσαι τῇ τοῦ πῶς τινος, ἄλλως ἀμφιβόλου, ἀναπτύξει παρίςανται, ταύτην ἀρνεῖσθαι, οὐδιδόασιν, τὸ τῆς φυσικῆς ἐπιῤῥοίας σύςημ' ἀσπάζονται, δοξάζοντες, ὡς δὶ εἰδικῆς ἐνεργείας κινούμεναι τῇ τῶν ἐκτὸς ἐν τυπώσει αἱ αἰσθήσεις, ἐν τῷ ἐγκεφάλῳ τῷ αὐτῶν ἐσωτερικῷ πέρατι ἐνεργοῦσιν ἐπὶ τὴν ψυχήν, ἥδε δὲ παρ' αὐτῆς ἐπὶ τῷ ἐσωτερικῷ πέρατι τῶν νεύρων ϗ ἰνῶν, τῶν τοῦ ἐγκεφάλου, ὡς κέντρου, ἀφιςαμένων, ἐνεργοῦσα, ἐν κινήσει τίθεται τὰ σώματα, ἐνεργεῖν ταυ-

ταῦτα ποιȣμένη, ἢ ἁρμονικώτερον κρίνει, ὑπάρχοντος ἀεὶ παθητικȣ̃ τȣ̃ ἐν τῷ ζῶντι ὄντι σώματος.

Ἐπεὶ μὴ ἁπάσῃ ὕλῃ ξυνδέδεται ἡ ψυχὴ, ἡ δὲ ταύτης μετὰ σώματος ἕνωσις, ξυμβεβηκὸς, ϗ ȣ̓κ ἀναγκαῖον ἔργον, ζητεῖται, ὅτε τῷ τȣ̃ ὀργανικȣ̃ ὄντος σώματι αὐτὴ ἥνωται; ὁμολογεῖται γὰρ, ὡς ὑπάρχει ὀργανικὰ σώματα, οἷς αὐτὴ δύναται ἑνȣ̃σθαι, ϗ οἷς μόνοις, τȣλάχιςον, ἡ αὐτῆς παρȣσία καταγγέλλεται.

Μὴ ἀποδεχομένȣ τȣ̃ τῆς γονῆς προϋπάρχοντος σπέρματος, ἀνάγκη, οἴεσθαι, τῷ τοῦ ὄντος γεννηθησομένῳ ἐμβρύῳ ἑνȣ̃σθαι τὴν ψυχὴν, δεχομένων διὰ τῆς γονῆς τὴν τȣ̃ γίνεσθαι τοιȣ̃τόν τι ζῶν ὂν δεξιότητα μορίων τινων τῆς ὕλης· ὥςε, μὴ ἀποδέχεσθαι τὰ τῆς γονῆς προϋφεςῶτα σπέρματα, πάνυ δυσχερὲς· προϋφεςώτων γὰρ τȣ́των, πάνυ φυσικὸν λογίζεσθαι, ἢ ϗ γενικώτατα λελόγιςαι τήμερον· συνίςᾶσθαι μὲν ϗ συντίθεσθαι ἅπαν σπέρμα ἐξ ἁπάντων τῶν τὴν ȣ̓σίαν τȣ̃ αὐτȣ̃ ὄντος συγκροτȣ́ντων, εἴτ' ȣ̓ν ἐξ ἑνὸς σώματος ϗ μιᾶς ψυχῆς, συζῆν ἡνωμένων ϗ ἅμα κοινόν τι διανύειν ῥᾴδιον· διαμένειν διὰ τὴν τȣ́των ἕνωσιν, ἐξ ȣ̃ παραγεγόνασιν ἐν τῇ ὑπάρξει, ὡσεὶ παρὰ Θεȣ̃ ἀνέκαθεν ἅπαντ' ἐδημιȣργεῖτο τὰ σπέρματα· συντίθεσθαι τȣ́των ἕκαςον ἐξ ἑνὸς σώματος ϗ μιᾶς ψυχῆς ἀνέκαθεν, ὡς, ἑνȣ́μενα, μηδέποτ' ἀλλήλων χωρίζεσθαι· ὑπάρχειν ἅπαν σπέρμα, οἷα δεσμόν τινα, πρὸ τῆς γονῆς ἀνενέργητον, κατὰ τὴν μήπω κραδαινομένην ςάθμην· ἢ οἷα δυνάμει τινι μὴ ἀποκαθιςάμε-

νον

νον ἐλατήριον, τὴν τούτου ἐνέργειάν τε καὶ ἐξέλιξιν κωλύουσῃ· ἔργον εἶναι τὴν γονὴν, ὃ τὴν ἐνέργειαν παρέχον τῷ δεσμῷ. καὶ τῆς κινήσεως μεταδίδον τῇ στάθμῃ, τὸ ἐλατήριον τοῦτ᾽ ἀποκαθιστᾷ, ἐκτειλίσσεσθαί τε καὶ ἐνεργεῖν ξυγχωροῦν.

Φύσει ἀνώλεθρον ὑπάρχειν, δοξάζουσί τινες, τὴν τοῦ συναμφοτέρου ἕνωσιν. κἂν ὡσαύτως τὰ μέρη, ὅσα τῇ καλουμένῃ αὐξήσει, ἢ τροφῇ, ἑνοῦται τῷ σπέρματι, ἐφ᾽ ᾧ τὸ ζῶν ὂν κατασκευάζειν, ἐπὶ τὴν αὐτοῦ ἀφιχθὲν τελειότητα, διὰ τοῦ θανάτου ἀλλήλων χωρίζηται διαλυόμενα· ὡς, εἰ καὶ τὸ ζῶν ὂν φθείρεται, οὐχ ἧττον γεμὴν ἀχωρίστως ἡνωμένη τῷ σπέρματι διαμένει ἡ ψυχὴ, ἄχρις ἂν, δεξαμένης ταύτην καινῆς τινος ὕλης, καινήν τινα καὶ τὴν ζωὴν διὰ τῆς ἀναστάσεως, ἢ παλιγγενεσίας, λάβῃ, ἢ πρώτην τινα ζωὴν, δραστικῶς γόνιμον ὑπάρχειν αὐτὴν ἐν τῇ αὐτῆς πρώτῃ μήτρᾳ μὴ ἐπιτρεψασῶν τῶν περιστάσεων· ἀλλὰ ταῦτα πάντα οὐδὲν ἄλλο χαρίζεται τῷ πνεύματι, ὅ,τι μὴ πιθανότητας, ὧν ἱκανῶς ἀποδεικνύειν τὴν ἀλήθειαν, οὐκ ἂν δύναιτό τις.

## Περὶ πνεύματος μεταφυσικοῦ.

Σημαινούσης μεταφυσικῶς τῆς λέξεως τῆσδε, πνεῦμα, γένος οὐσιῶν, ὃ τοῦ τῶν ἐντοῖς σώμασι διάφορον, προσοχῇ βουλευομένοις τὴν πεῖραν, ἀδύνατον μὴ καθορᾶν, ὡς ὑπάρχουσιν οὐσίαι, ὧν ἄλλας οὐσιώδεις ἰδιότητας μὴ ἀνακαλύπτοντες, πλὴν εἰμὴ τὴν ἔκστιν, τ᾽ ἀδιάβατον, τὴν διαίρεσιν, τὸ κινητὸν καὶ τὴν ἀδράνειαν, σώματα

τα ταύτας καλοῦμεν, ἐξ ἀνάγκης τῶν σχημάτων τινι περιβαλλόμενα, ὡρισμένον καταλαμβάνοντα διάστημα, τὴν ἄλλου χώραν μὴ ἐπέχοντα, ὅ,τι μὴ τοῦτ' ἐκτοπίζοντα, τόπον ἄλλον πληροῦν αὐτὸ κατεπείγοντα, μερῶν εὐποροῦντα, θατέρων, παρὰ θάτερα, ὑφισταμένων, χωρίζεσθαι ἀλλήλων, κἀκ τόπου ἐς τόπον δυναμένων κινεῖσθαι, ἐν ᾗ ἂν τιθοῖτο, χώρα διαμενόντων, ἀμείβειν αὐτὴν ἀνεπιδέκτων, ὅ,τι μὴ παρ' ὅσον ἀναγκάζουσα ταῦτα ἀλλοτρία δύναμίς τις, τὴν ἀνθίστασιν, εἴτ' οὖν ἀδράνειαν, ἣ τούτοις ἰδία, νικᾷ· τούτοις ἄλλην μεταβολὴν, παρὰ τὴν τοῦ σχήματος, τοῦ μεγέθους, τῆς τῶν ἐν αὐτοῖς μερῶν θέσεως, τὴν μόνη κινήσει, ἣν ἔξωθεν ταῦτ' ἐπιδέχεται, ἐγγίνεσθαι δυναμένην, γινώσκειν οὐκ ἔχομεν· ἐν ἄρα ταῖς οὐσίαις, ὅσαι καλοῦνται σώματα, ἄλλην ἐνέργειαν, παρὰ τὴν τοῦ ὅλου, ἢ τὴν τῶν μερῶν, κίνησιν μόνον, ἣν ἔξωθεν ἐπιδέχεται, οὐκ ἴσμεν, διὸ κἂν ταύτῃ ἡ αὐτῶν ὁρίζεται δεκτικότης· ἅπαν ὅ,τιοῦν, σῶμα καλεῖται, ἐκ μερῶν συγκείμενον, οὐσιωδῶς τὰ τοῖς σώμασιν ἴδια κατηγορούμενα ἐχόντων, ἢ ὧν τῆς ἑνώσεως τὰ σωματικὰ ταῦτα κατηγορούμενα προκύπτει, καὶ ἃ θεωρούμενα πρὸ τῆς αὐτῶν ἑνώσεως, στοιχεῖα τῆς ὕλης, (ὅρα ὕλη), τῇ τῆς ὕλης γενικῇ λέξει σημαινόμενα, εἴθ' ὡς στοιχεία ταῦτα, εἴθ' ὡς σώματα, σκεπτόμεθα· ἡ ἀνενεργησία, εἴτ' οὖν ἀδράνεια, τοῦτ' ἐστι, τὸ τοῦ ἐνεργεῖν ἀνεπίδεκτον, ἰδιότης τῆς ὕλης.

Α᾽λλὰ, παρὰ τὰ ἐν τῇ φύσει θεωρήμενα, ἀνακαλύπτομεν ἔθ᾽ ὡσαύτως ἐν αὐτῇ ϗ τὰ, ὧν τὰ μὲν κατηγορήμενα τοῖς ἐκείνων ὀδεμίαν ἔχει τὴν κοινωνίαν, αἱ δὲ δυνάμεις ϗ αἱ τῶν ἰδιοτήτων ὀσιώδεις, ταῖς τῆς ὕλης ἀσυμπάθητοι, οἷα τῆς ἐκταλῆς ϗ ἀδρανῦς ὀσίας κατηγορήμενα ὑπάρχειν μὴ ἔχοσαι· ταῦτα δ᾽ αἱ νοητικαὶ ὀσίαι, ὧν ὀσιώδη κατηγορήμενα, τὸ νοητικὸν, τὸ βολητικὸν, ἡ τῆς αὐτῶν καταςάσεως ἐσκεμμένη ἀντίληψις, ϗ αἵγ᾽ ἐμφύτῳ ϗ ὀσιώδει τῇ αὐτῶν φύσει ἐνεργητικῇ ἀρχῇ κεκοσμημέναι, παρ᾽ αὐτῶν ἐνεργητικαὶ, ἐνεργεῖν δυνάμεναι, ἑαυτὰς τῇ αὐτῶν ἐνεργείᾳ εἰς πρᾶξιν προσδιατιθέμεναι, οἷα ὑπόχρεω, ἢ ἐκεῖνα, τὴν τῆς αὐτῶν καταςάσεως μεταβολὴν ϗ τὴν τὴν τῆς ἀδρανίας ἧτταν πρὸς ἐξωτερικῆς δυνάμεως δέχεσθαι, μὴ ὄσαι· ξυμβολευομένοις ὂν τὰ γινωσκόμενα, δυνατὸν ἁπάσας διαιρεῖν τὰς ὀσίας εἰς ἐνεργητικάς τε ϗ ἀδρανεῖς, ὧν ἐκεῖναι μὲν πνεύματα, αὗται δὲ, σώματα.

## Ὁρισμός.

Πνεῦμα μὲν, νοερὰ ϗ ἐνεργητική τις ὀσία, τῆς καθ᾽ αὑτὴν καταςάσεως συνείδησιν ἔχοσα, νοῦσα, βολομένη ϗ αἰσθανομένη.

## Ὁρισμός.

Σῶμα δ᾽, ἐκτατὴ, διαιρετὴ ϗ ἀδρανής τις ὀσία· τότο μὲν γινώσκω τὴν ὕπαρξιν, ὅπο ποτ᾽ ἂν ἐκλάσει συναντῶ, ἢ τῇ, ἣν ἐν ταύτῃ παράγειν βόλομαι, κινήσει ἀνθιςαμένη, μέρη μοι παρίςησι,

σι, χωρίζεσθαί τε ϗ ἑνῆσθαι δυνάμενα, ϗ ὡρισμένον καταλαμβάνοντα διάστημα, τὴν δ᾽ ἐκείνης, ὅπῃ ποτ᾽ ἂν νῦν, βούλησιν ϗ ἐνέργειαν ἀνακαλύπτω.

Τὸ τοῖς φιλοσοφῦσι μεγίστας κινῆσαν τὰς διαλέξεις ὑποκείμενον, τοιῦτον.

Τύτων, οἱ μὲν μίαν μόνην ὑσίαν ἐν τῇ φύσει ἀποδεχόμενοι, τὴν προγεγονυῖαν ἀρνῦνται διαίρεσιν, οἱ δὲ ταύτην ἀσπαζόμενοι, ὑσιωδῶς ἀλλήλων διαφέρειν ταῦτα δοξάζυσι· κἀκείνων, οἱ μὲν ἀποτιθέμενοι τὴν τῶν πνευμάτων ὕπαρξιν, τυτ᾽ ἔστι, πᾶσαν, ἀνέκτατον, ἄσχημον, ἀκίνητον, ἀδιαίρετον, ὑσίαν, ϗ, παρὰ τὰ σώματα, ἤτοι τὴν ὕλην, ἄλλα μὴ ὁμολογῦντες, ὑλίσται ὀνομάζονται, οἷοίπερ, οἱ περὶ σπινόζαν· τὰ γὰρ τοῖς ὀνόμασι, νῦς, συνείδησις, βύλησις, διάνοια, γινωσκόμενα, ὗτοι, οἷα τρόπους τῆς ὕλης, ταῦτα θεωρῦσι, μὴ προσέχοντες, ὡς ὑστάτῃ ἀναλύσει ὗτοι ἅπαντες ἐπὶ μόνην τὴν κίνησιν, εἴτε τὴν τῦ ὅλυ πρὸς τὰ περὶ τῦτο, εἴτε τὴν τῶν μερῶν πρὸς ἄλλα τοιαῦτα, ἐπανάγονται, ὑδ᾽ ὡς ἀναλογία, ἢ ἡ τισῦν σχέσις μεταξὺ τῶν ἐννοιῶν, ἰδεῶν, συλλογισμῶν, ϗ τῆς σώματός τινος μεταθέσεως ἀφ᾽ ἑνὸς ἐφ᾽ ἕτερον τόπον, τῦ περὶ τῦτο σχήματος, τῦ ἐν αὐτῷ χρώματος, κτ. ὑδεμία.

Πρὸ πολλῦ τῆς φιλοσοφίας, ϗ ταύτα γε τῆς φυσικῆς, ἐκ ποδῶν γεγονυίαις ταῖς κατὰ σχολαστικὰς κεκρυμμέναις τῶν ποιοτήτων, ταύταις οἱ περὶ σπινόζαν τὴν ὕλην κοσμήσαντες, ἐ-

πὶ

πὶ τῆς σκηνῆς αὖθις αὐτὰς ἐπανάγειν ἠξίωσαν, ὑλίς ἐντεῦθεν καλούμενοι, ἐφ' ᾧ προφάσεως δραξαμένοις, δυνατὸν αὐτοῖς λέγειν, νῷ τὴν ὕλην κεκοσμῆσθαι.

Οἱ δ' ἐπὶ τὴν πάντῃ ἀντικειμένην μοῖραν πίπτοντες, τὴν τῶν σωμάτων ὕπαρξιν ἀποφάσκουσιν, ἅπαντα τὰ φαινόμενα, ὅσα τῇ τῆς ὕλης ὑπάρξει ἀπονέμεται, ὡς φαινόμενα δίχα πραγματικότητος, θεωροῦντες· κατὰ γὰρ τούτους μόνα τὰ πνεύματα ὑφέστηκε, τὰ δὲ σώματα, περιστάσεις, εἴτ' οὖν τοῦ νοὸς φαντάσματα, πραγματικότητα τοῖς ἐκτὸς οὖσιν, ὅσα μὴ ὑφέστηκεν, ἢ τῇ, ἣν οὗτος κτᾶται, ἰδέᾳ, παρεχομένου· ἰδεῖσται, οὗτοι ἀκούουσι.

Πραγματικοὶ δὲ καλοῦνται, ὅσοι προΐστανται, ὡς οὐχ ἧττον σώματα, ἢ πνεύματα, ὑπάρχει. τὰ γὰρ ὄντα, ὧν τὴν ἰδέαν πορίζόμεθα, πραγματικὴν ἐκτὸς ἡμῶν ἔχει τὴν ὕπαρξιν, ταῖς, ἅς γε κτώμεθ', ἀντιλήψεσιν ἀντιστοιχοῦσαν. ἐν ταῖς τῶν φιλοσοφούντων διαφόροις αἱρέσεσιν ἐγήγερταί τις, ἥπερ εἰ καὶ πραγματική πως, τῷ γε μὴν βάθει ἰδεαστικὴ δοκεῖ, οἷα ἡ κατὰ Λεϊβνίτιον, ὃς μηδὲν πραγματικὸν γινώσκων, ἢ τὰς μονάδας, ἃς ἁπλᾶ ὄντα νοεῖ, ἀμερεῖς, ἀνεκτάτους, ἀδιαιρέτους, ἀδιαστάτους, κεκοσμημένας παραστατικῇ δυνάμει, εἴτ' οὖν βεβαίᾳ δραστικότητι, ἢ ταύτας δεκτικὰς ἀντιλήψεως καθίστησι, μᾶλλον, ἢ ἧττον διακεκριμένης, ἐκτατὴν, εἴτ' οὖν ὑλικὴν οὐσίαν οὐδεμίαν τωόντι ἀποδέχεται ἔννοιαν, ἣν τῷ τῆς ὕλης ὅρῳ οἱ πραγματικοὶ χαρίζονται.

Πα-

Παραιτέμενοι ἐν μέρει ἅπαντα τὰ συςήματα, ὅσα πρὸς ὑπερηφάνων νέων, λόγον ϗ αὐτȣ̃, ὃ ὑπὲρ τὸν αὐτῶν νȣ̃ν ἀπολύτως, βȣλομένων διδόναι, νηπιωδῶς συντέτακται, ἑαυτοὺς οἱ μᾶλλον σοφοὶ τοῖς πείρα ϗ λογισμῷ ἀνακαλυπτομένοις συςέλλȣσι, δύω εἴδη ȣ̓σιῶν, οἷα προδιεκρίνομεν, τὸ τῶν σωμάτων ϗ πνευμάτων, ἐν τῇ φύσει γινώσκειν ξυνᾴδοντες· τῶν τὴν ὕπαρξιν τῶν σωμάτων ἀρνȣμένων, ὄντων πάνυ εὐαρίθμων, λόγον πως ἔχει καταφάσκειν, τῶν φιλοσόφων μηδένα εἶναι, μήδ᾽ αὐτὸν τὸν ἐπίσκοπον Βερκλέϊον, ὃς τὸ τῶν Ἰδεϊςῶν σύςημα ἄριςα ἐξέθετο, οἰόμενον ἀληθὲς, πράγματι διςάζειν, ἐκτατὰ, διαιρετὰ, κινητὰ, ϗ ἀπολύτως ἐνεργείας τε ϗ διανοίας ἄμοιρα ἐν τῇ φύσει μὴ ὑπάρχειν σωματικὰ ὄντα· ἐπειγομένων δὲ πολλῶν, τὴν τῶν ἀΰλων, ἀμερῶν, ἀνεκλάτων, ȣ̓σιωδῶς ἐνεργείᾳ ϗ διανοίᾳ κεκοσμημένων, ὄντων, ὅσα καλȣ̃μεν πνεύματα, ὕπαρξιν ἄγειν εἰς ἀμφιβολλίαν, ταύτην ἡμεῖς ἰσχυρωτέρῳ λόγῳ ἀποδεχόμενοι, φαμὲν, τὴν τῶν ἀληθειῶν πρώτην, ϗ βεβαιοτέραν αὐτὴν ὑπάρχειν, ᾗ φησὶν ὁ Καρτέσιος, ἀρχ. φιλοσ. μέρ. 1. §. 7. 8. ἣν μὴ ὁμολογεῖν, ȣ̓κ ἂν δυναίμεθα· πνεῦμα, φαμὲν, ὃ νȣ̃ν, ἀντίληψιν, βȣ́λησιν, πρόσληψιν μετὰ λόγȣ, ϗ τῶν δυνάμεων τȣ́των, ϗ τῆς περὶ ταύτας ἐργασίας συνείδησιν ἔχει, ἀλλὰ νȣ̃ν, ἀντίληψιν, συνείδησιν, κτ. ἔχομεν, πνεύματι ἄρ ὑπάρχομεν, εἰ ἀποδειχθείη, τὴν συνείδησιν, ἥπερ ἀντίληψις ἡμετέρα, τῆς ὕλης, τȣ̃ ἐκτατȣ̃ ϗ διαιρετȣ̃ ὄντος δύναμιν μὴ ὑπάρχειν· ἀλλ᾽ ἐν τῷ περὶ ὕλης ἐδαφίῳ δέδεικται, ὡς ἅπαντες οἱ τῆς ὕλης τρόποι ἐπὶ μόνην ἐπανάγονται τὴν κίνη-

νησιν, εἴτε τὴν τῦ ὅλυ πρὸς τ' ἄλλα τῶν ὄντων, εἴτε τὴν τῶν μερῶν, καὶ ὡς ἡ ἰδέα, ὁ νῦς, ἡ συνείδησις, κοινωνίαν, ἢ ἀναλογίαν τῇ σωματικῇ κινήσει ὐδεμίαν ἔχυσιν. ἔτι δ', ὡς ἀδύνατον, κινήσει τὸν νῦν γεννᾶσθαι, κἀκείνῃ τῦτον ἀσυμπάθητον, βέβαιον ἄρ' ἐπὶ τῦ προκειμένυ, ὡς ὑπάρχει πνεύματα, εἴτ' ὐνόντα νοερὰ, ἄγε μηδόλως ὑλικά.

Πάνυ ἡμαρτημένῃ λογικῇ ἰσχυρογνωμονῦντες, οἱ καθ' ἡμᾶς ὑλίσαι, τὴν τῶν πνευμάτων ὕπαρξιν ὠδ' ἀρνῦνται· τύτων αἰσθήσεσι μὴ ἀντιλαμβανόμενος, ἅττε χρῶμα, σχῆμα, ὀδμὴν, χυμὸν, ἦχον, μηδόλως ἐχόντων, πῶς ἂν τὴν αὐτῶν ἰδέαν κατασκευάσειε τις; ὐκ ἄρ ὑφέσηκε· κατὰ τὺς ἐπαγγελλομένυς φιλοσόφυς τύτης, ὐδενὶ ἐςὶ πιςευτέον, ἢ μόνον τοῖς σωματικοῖς φαινομένοις. ἀλλαμὴν ἀπέδειξεν ὁ καρτέσιος, ὐδεμίαν ὑπάρχειν τῶν, ὧν προτέρα ἐν τῷ ἡμετέρῳ πνεύματι ἡ βεβαιότης, προτάσεων τῶνδε, ἐγὼ νοῶ, ἐγὼ βύλομαι, ἐγὼ ἐμαυτῦ αἰσθάνομαι, τὴν τ' ἐμαυτῦ κατάςασιν καὶ ὕπαρξιν σύνοιδα· προτάσεις, ὐδὲν ἡμῖν ἧπτυ παριςῶσαι, ὃ τῦ τῶν αἰσθήσεων ελατηρίυ, σωματικὸν, ὑλικὸν, ἐκτατὸν, ἐσχηματισμένον, κινητὸν, ἂν εἴη· ὁ καθηγητὴς Βαρκλέιος ἀπέδειξεν, ὡς τῇ μὲν τῶν σωμάτων ὑπάρξει ἀμφιβάλλειν, δυνατὸν, τῇ δὲ τῶν πνευμάτων, δίχ' ἀτόπυ ἀντιφάσεως, ἀδύνατον· ὅτι τῇ τῦ ὄντος, ὃ διςάζει, ὑπάρξει εἴη ἂν διςάζειν· διςάζειν, ἐςὶ νοεῖν, ἡ δὲ νόησις ἐνέργεια. ἧς τὸ πνεῦμα μόνον δεκτικὸν, ἐνέργεια, ἣ τῷ ὑλικῷ ὄντι ἀδύνατος· μεμψιμμοιρῦσι δ' αὐτοῖς, ὡς οἱ τῆς τῶν πνευμάτων υπάρξεως προϊςάμενοι, τὴν τύτων ὐ-

σίαν

σίαν κατανοεῖν ἐδιδόασι, πλὴν εἰμὴ τῶν ὅρων ἀποφατικοῖς τισιν, ἄυλον, ἀνέκτατον, ἀδιαίρετον, ἀνώλεθρον· ὁμολογῶ, ὡς πρὸς τρόπη τούτους ἂν ἤλεγχον, εἰ μόνῃ τῇ τῶν ὅρων τούτων χρήσει πείθειν αὐτὺς ἠπείγοντο, ἱκανῶς γινώσκειν, ὡς πέφυκε πνεύματα· ἀλλὰ τὸ τὸν ὁρισμὸν τῆς πνευματικῆς ὐσίας συςεῖλλαν ταῖς ἀποφάσεσι ταύταις, τί; ἢ τὴν ταύτης ἰδέαν, ἣν ἡμῖν παριςᾷν βὔλονται, τῆς τῦ σώματος, ὃ τῷ πνεύματι ξυγχέειν ὐκ ἐθέλυσι, ϗ ὃ κοινὸν ὐδὲν τῇ τύτυ ὐσία, διαιρεῖν· μετὰ δὲ τὴν ἀπολύτως ἀναγκαίαν ταύτην διαίρεσιν, ἣ πᾶσαν ἀμφιβολλίαν αἶρει, τὴν πνευματικὴν ὐσίαν θετικοῖς ὡσαύτως κατηγορυμένοις, ὧν ὕτω σαφεῖς τὰς ἰδέας ποριζόμεθα, ἢ ϗ τὰς, αἷς γινώσκομεν τὰ σώματα, ἤτοι τὰς σωματικὰς ὐσίας, γινώσκειν δίδωσιν ἡμῖν ὁ φιλόσοφος· τοῖς τύτων ὐσιώδεσι κατηγορυμένοις θεωρῦντες τὰ σώματα, φαμὲν, ὡς ἐκτατά· παρατιθέμενοι δὲ ταῦτα τοῖς πνεύμασιν, αὐτὰ ταῦτα διακρίνομεν, ἀνέκτατα καλῦντες· τὰ πνεύματα τοῖς τύτων ὐσιώδεσι κατηγορυμένοις σκεπτόμενοι, φαμὲν, ὡς νοητικὰ, ἃ παραβάλλοντες τοῖς σώμασιν, ἵνα τύτων ἐκεῖνα διακρίνωμεν, φαμὲν, ὡς ταῦτα μὴ νοητικά· τοῖς θετικοῖς ϗ ἀποφατικοῖς τῶν κατηγορυμένων, ὅσα, τὐλάχιςον, ὕτω σαφεῖς τὰς τῶν πνευμάτων ϗ σωμάτων ἰδέας ἀνακαλύπτει, μέχρι τῦδ' ἑκάτερα ἐπίσης ἐσημείωσα· ἀλλ' ὁ φιλόσοφος ταῖς διακρίσεσι ταύταις ὐχ ἵςαται, ὡς δυνατὸν τύτῳ, ἐπὶ μείζω τινα λεπτολογίαν χωρῦντι, ἑκατέρῳ τύτων οἰκείυς καὶ ὐσιώδεις χαρακτῆρας, ὡσαύτως βεβαίυς, σαφεῖς ἐν τοῖς πνεύμασιν, ἢ κἂν τοῖς σώμασι, σημειῶν

τῇ περιεκτικῇ ἰδέα τῆς ἐκτάσεως, τȣ͂ σχήματος, τȣ͂ χρώματος, τῆς ἀνθιςάσεως τῇ κινήσει, ἣν παράγειν, ἢ κωλύειν, βȣ́λομαι, ϗ ἁπασῶν τῶν ἄλλων αἰσθητικῶν ποιοτήτων, ἐφ' ἃς ἐπανάγεται τὰ, ὅσα γινώσκομεν, σώματα, τὴν τȣ͂ ὑλικȣ͂ ὄντος ἰδέαν σαφέςατα κατασκευάζων, ἐντεῦθεν ἄλις διακεκριμένως ταύτην ταῖς ἐμαυτȣ͂ αἰσθήσεσι γινώσκω, ἵν' ἀεὶ διακρίνειν ἔχω τὴν ὕπαρξιν τȣ͂ μὴ ὄντος σώματος, ὅπȣ ποτ' ἂν αἱ ποιότητες αὗται μὴ παριςῶνταί μοι, κἀντεῦθεν ἐς ἀμφιβολίαν ταύτην μηκέτ' ἄγω· ὡσαύτως περιεκτικῇ ἰδέα τȣ͂ νȣ͂, τῆς συνειδήσεως, βȣλήσεως, ἐλευθερίας, ἐνεργείας, δι' ἧς τȣ͂ ἔργȣ ἄρχομαι, ἐμαυτὸν ἑκὼν εἰδοποιῶ, ϗ ἐν κινήσει τῶν σωμάτων τι τῷ νῷ τίθημι, ϗ ὡς εἰκὸς ὁρίζω, τρανωτάτην ϗ μάλ' ἐνεργῆ την τοῦ, ὃ πνεῦμα καλεῖται, κατασκευάζω· τὰς ἄρ' ἰδέας τȣ͂ νοεῖν, βȣ́λεσθαι, ἐγείρειν, ἢ κωλύειν τὴν τῶν σωμάτων κίνησιν δύνασθαι, ὡς ἐμφύτȣς ȣ̓σίᾳ τινι, ἧς διακεκριμένην ἰδέαν ȣ̓κ ἔχω, σκεπτόμενος, τὴν τ' ἀΰλȣ πνεύματος σαφεςάτην ȣ̔́τω συγκροτῶ· τὰς δὲ ἰδέας τῆς ςερεότητος, τῆς τῶν μερῶν συναφείας, τῆς διαιρετότητος, τῆς τȣ͂ κινεῖσθαι δυνάμεως, συνάπτων, ϗ συνυπαρχȣ́σας τὰς ποιότητας ταύτας ἐν ȣ̓σίᾳ τινι, ἧς ȣ̓δεμίαν διακεκριμένην κτῶμαι ἰδέαν, ὑποτιθέμενος, τὴν τȣ͂ ὑλικȣ͂ ὄντος ἐναργεςάτην συνίςημι· τῶν ἰδεῶν τȣ́των ἐπίσης σαφὴς ἑκατέρα, φησὶν ὁ κύριος λώκιος· τῶν γὰρ ἰδεῶν τȣ͂ νοεῖν ϗ κινεῖσθαί τι ȣ̔́τως ἐναργῶς ϗ διακεκριμένως δυνατὸν ἀντιλαμβάνεσθαι, ἢ ϗ τῶν τῆς ἐκτάσεως, ςερεότητος ϗ κινητότητος· ὅτȣ χάριν δὴ οἱ καθ' ἡμᾶς ὑλίςαι διϊσχυρίζονται, ὡς τὰ σώματα μόνα,

να, ὀχὶ δὲ ϗ τὰ πνεύματα, ἄγνωςαι; εἰ ἑκατέρῳ τούτων προσέξωμεν, ἡ τῆς οὐσίας ἰδέα, ἐκ πρέμνων αὐτῶν τοῦ ταύτῃ ὑποκειμένου, οὗ τὰ κατηγορήμενα γινώσκομεν, οὐχ ἧττον ὑπὲρ ἡμᾶς τυγχάνει· τί ποτ᾽ ἀτεχνῶς τὸ τοῦ σώματος χρῶμα, ἡ τούτου ἀνθίςασις τῇ κινήσει, ἣν αὐτῷ παράγειν βούλομαι, οἱ ἦχοι, αἱ ὀδμαὶ, κτ; παραγόμεν᾽ ἀποτελέσματα διὰ τῶν ἐντοῖς σώμασι ποιοτήτων; οὐχὶ δὲ κ᾽αὐτὸ τὸ σῶμα· ὁρῶ, τῶν ἀποτελεσμάτων τούτων ἀντιλαμβάνομαι, ἀλλὰ τὴν οὐσίαν διὰ τούτων πάντῃ ἀγνοῶ· κατὰ ταυτὰ, νοῶ, βούλομαι, κατ᾽ ἐκλογὴν ἐνεργῶ, τῆς ἐμαυτοῦ καταςάσεως αἰσθάνομαι, τί ποθ᾽ ἅπαν τοῦτο; τρόπει τοῦ πνεύματος, οὓς σαφέςατά γε ϗ ἀσφαλέςατα οἶδα, ἀλλὰ οὔτοι οὐκ αὐτὴ ἡ τούτου οὐσία· ἄγνωςος γάρ ἔμοιγ᾽ ἤδε, ᾗ ϗ ἡ τοῦ σώματος· προϊὼν ἔτι πόῤῥω, μετὰ λωκίου φημὶ, οὐδὲν ἀλλ᾽ ἐνταῦθα ποιεῖν, ἢ ἀντιγράφειν, οἰομένους ἐνδείᾳ σκέψεως ἀτενοῦς, μὴ παριςᾶν ἡμῖν τὰς ἑαυτῶν αἰσθήσεις, ἢ τὰ τῶν ὄντων ὑλικὰ· τούτων ἑκάςῳ συντόνως προσέχοντι, ϗ τὰ πνευματικὰ ϗ σωματικὰ θεωροῦντι ἐπίσης, μᾶλλον ἀδύνατόν μοι, τὴν τῶν πρώτων, ἢ τὴν τῶν δευτέρων, ὕπαρξιν ἀρνεῖσθαι· ὁρῶν γὰρ, ἢ ἀκούων, ἢ ἁπτόμενος, γινώσκω, ὡς ἐκτὸς ἐμοῦ ἐςι τι σωματικὸν, ὃ τῇ αἰσθήσει ταύτῃ ὑποκείμενον· ἔτ᾽ ἀσφαλέςερον ἐπίςαμαι, ὡς πνευματικόν τι ὄν μοι ἐνυπάρχει, ὅπερ, ὁρῶν, ϗ ἀκοῦον, τὴν τῶν αἰσθημάτων τούτων συνείδησιν ἔχει· πείθεσθ᾽ ἄρα, ἐνέργειαν ἀναισθήτου, μὴ ἐνεργητικῆς, κινεῖσθαι δὲ ϗ διαιρεῖσθαι μόνον δεκτικῆς, ὕλης ταῦθ᾽ ὑπάρχειν, δίχα νοητικοῦ τινος ὄντος, ὅπερ ἄυλον; τελουμένην, οὐκ ἂν εἰδείην.

 Ἔρω-

Ἔρομαι ἤδη, ὅ,τι βούλονται αἱ τῶν ὑλιστῶν δυσκολίαι; ὅ,τι δηλοῦσιν αἱ πρὸς τούτων χιλιάκις ἐπανειλημμέναι φράσεις αὗται; ὅ,τι ποτε πνεῦμα, ἀγνοῶ· ἀνεκτάτου ϗ ἀμεροῦς οὐσίας οὐδεμίαν ὅλως ἰδέαν ἔχω· κρεῖττον ἴσασιν, ἤτοι, ὅ,τι ποτ᾽ ἐστὶν ἡ ἐκτατὴ ϗ στερεὰ οὐσία; αἱ τοῦ πνεύματος ἐνέργειαι, ὅσαι τὴν ὕπαρξιν αὐτοῦ ἀναγγέλλουσιν, ἧττον ἐναργῶς γινώσκονται, ἤτ᾽ ἀποτελέσματα τῶν αἰσθητῶν ποιοτήτων, αἳ τὴν τῶν σωμάτων παρουσίαν μηνύουσι; ἧττον σαφῶς ἀντιλαμβάνῃ τῶν τοῦ πνεύματος ἐνεργειῶν, τῆς σκέψεως, τῆς ἀμφιβολίας, τῆς χαρᾶς, τῆς λύπης, τῆς θελήσεως, τῆς ἀποφάσεως, τῆς ἐπιθυμίας, τοῦ φόβου, τῆς αἰσχύνης; οὗ χάριν μᾶλλον ἀρνῇ τὴν ὕπαρξιν τοῦ ὄντος, ὃ σοὶ τοσαύτας ποιεῖται τὰς ἐνεργείας, ἢ τὴν τοῦ, ὃ σοὶ τὰ αἰσθήματα παράγει διὰ τῶν αὐτοῦ σωματικῶν ποιοτήτων; ϗ οὗ χάριν τῇ οὐσίᾳ, ἧς οὐδὲν ἀλλ᾽ ἴσμεν, ἢ τὴν ἔκτασιν ϗ τὴν κίνησιν, ἀπονέμειν διϊσχυρίζῃ τὰς ἐνεργείας, ὅσαι τῇ τ᾽ ἐκτάσει ϗ κινήσει οὐδεμίαν σχέσιν ἔχουσιν; ἀρνεῖσθαι τὴν τῶν ἀΰλων ὕπαρξιν, τῶν νοεῖν μόνον δεκτικῶν, αὐτὸν τοῦτον ἐστὶν ἀρνεῖσθαι τὸν νοῦν.

Εἰ μὴ τὰς αὐτοῦ ἐργασίας σύνοιδε τ᾽ ἄϋλον ὄν, τοῦτο μὲν αὐτὸ ἑαυτοῦ αἰσθάνεσθαι, τῶν αὐτοῦ ἀντιλήψεων ἀντιλαμβάνεσθαι, ταύτας τοῦ τε αὐτοῦ εἶναι, ϗ τῶν ταῖς αὐτοῦ νοήσεσιν ἀντικειμένων, διακρίνειν, ἦν ἂν ἀνεπίδεκτον· ἡμεῖς δ᾽ αὐτοὶ ἰδέαν τῶν πνευμάτων οὐδεμίαν ἂν εἴχομεν, οὐδὲ τὴν ἐν ἡμῖν συλλογιζομένην οὐσίαν τῆς μὴ τοιαύ-

της

της διεκρίνομεν· ἀλλ' ἡ συνείδησις, ἡ ἀντίληψις, αἱ τῆς ἡμῶν ψυχῆς δεκτικότητες, διδόασι τὴν ἐν ἡμῖν συλλογιζομένην ἀρχὴν τῆς ἥκιστά γε τοιαύτης διακρίνειν· ἅπασι γὰρ τοῖς ἐν ἡμῖν αὐτοῖς ξυμβαίνουσι καὶ πρὸς ἡμῶν δοκιμαζομένοις προσέχοντες, γινώσκομεν. ὡς νοοῦμεν, βουλόμεθα, ἐνεργοῦμεν· καὶ ὡς τὸ μὲν νοοῦν βούλεται καὶ ἐνεργεῖ, εἰς ἐνέργειαν δ' ἑαυτὸ τιθέμενον, πρὸς ἀρέσκειαν τὴν αὐτοῦ κινεῖ τὸ, ὅπερ ἡμέτερον καλοῦμεν, σῶμα, καὶ ὡς τοῦτ' ἐκείνῳ εἴκει, τὸ δὲ ἀντιλαμβανόμενον, μενόντων ἐν ἀκινησίᾳ τῶν αὐτοῦ μερῶν, ἢ καὶ ἄλλως ἀσχολημένων ἐν ἀγνοίᾳ τῶν ἄλλων, διατίθεσθαί τι μέρος αὐτοῦ πρὸς ἰδέας τινος οὐ γινώσκει· ὅθ' ἡμεῖς γινώσκομεν, ὡς τὸ ἡμέτερον σῶμα διατίθεταί τινι τῶν αἰσθημάτων, οὐ τῶν ἄλλων μερῶν οὐδὲν πειρᾶται· ὁ διηγηθέντες οὕτως ἀνακαλύπτειν, ὅπερ ἐσύστερον ὁ λόγος ἔδειξεν, ὡς ὄν τι, ἀδιαίρετον, ἀνέκτατον, ἀμερὲς, ἐνναῖον, ἐνεργητικὸν, ὑπάρχει τὸ πνεῦμα, τῇ ἡμῶν αὐτῶν προσοχῇ τὴν τοῦτ' ἀφῃρημένην ἰδέαν ἐποριςάμεθα· πειρασώμεθα οὖν ἤδη, τὴν τούτου ἐξελίττειν ἰδέαν, τῷ ἡμετέρῳ ἀναγνώςῃ προσάγοντες, ὅπερ ὑγειής τις φιλοσοφία, ὡς βεβαιότερον καὶ ὠφελιμώτερον ἡμᾶς περὶ τοῦ ὑποκειμένου τούτου διδάσκει.

Τῇ τῶν πνευμάτων ὑπάρξει, ἤτοι τοῖς οὖσιν, ὅσα νοεῖ, καὶ ὧν αἴτιον ποιότητες καὶ δυνάμεις, ἃς ἐπιςάμεθα, οὐκ εἰσὶ τῶν ποιοτήτων, ἢ ἰδιοτήτων, ἃς ἐν τῇ ὕλῃ, εἴτ' οὖν τῷ σώματι γινώσκομεν, οὐκ ἄν τις ὅλως διςάσειε· νοοῦντων ἑαυτοὺς, ἅπαντα τὰ περὶ ἡμᾶς, ἀναμφιβόλως τῷ

ἡμε-

ἡμετέρω πνεύματι παρέχεται τὰς ἀποδείξεις, ὡς ϗ ἕτερα, ἢ τὸ ἡμέτερον, ὑφέςηκε πνεύματα· ὡς γὰρ διὰ τῆς γνώσεως, ἣν ἔχομεν περὶ τῦ ἡμετέρȣ, ἀνακαλύπτειν ἥκομεν, ὅτι δυνατὸν, ἐν γένει, ταῦθ᾽ ὑπάρχειν· ὕτω διὰ τῆς πείρας τῶν, ὧν μετέχει τὸ ἡμέτερον, ἀποτελεσμάτων, τὴν τῶν ἄλλων σωμάτων γνῶσιν πορίζομεθ᾽ ἀφαιρέσει, ἢ τὰς ἡμῶν αὐτῶν ἰδέας ἀναλύȣσα, ταύτας καθολικεύει.

Ἡ τῶν δυνάμεων πρώτη, ἣν ἐν τῷ πνεύματι γινώσκομεν, ἐςὶν ἡ συνείδησις, εἴτ᾽ ἦν ἡ ἀψευδὴς τῦ νῦ γνῶσις, ἣν αὐτὸ τῦτ᾽ ἔχει περὶ τῆς αὐτῦ ὑπάρξεως, τῆς καταςάσεως, τῶν ἐνεργειῶν, τῶν διαθέσεων, ὧν πειρᾶται, ϗ ᾗγε αὐτὸ ἑαυτὸ διακρίνει παντὸς ἄλλȣ, ὃ μὴ αὐτὸ τοῦτο, ϗ τῶν ἰδίων εἰδοποιήσεων ϗ ἰδεῶν, ὅσαι ἔνεισιν αὐτῷ ἐκείνῳ.

Δευτέρα, ὁ νῦς, εἴτ᾽ ὖν ἡ διάνοια, ἣ μετὰ τὴν εἰς ἑαυτὸ παράςασιν τῶν ἐκτὸς, ἢ ἐν τοῖς αὐτῦ, ἀντικειμένων, τὴν τύτων γνῶσιν πορίζεται, τὰς, ὅσας δι᾽ αὐτῶν κτᾶται, ἰδέας πρὸς ἀλλήλας παρατιθέμενον, τῶν ἐνταύταις ἀνακαλυπτομένων σχέσεων κοινὰ φῶτα, ὅσα τὴν αὐτῦ γνῶσιν ἐκτείνει, ἑαυτὸ ἐναποταμιεῦον.

Τρίτη, ἡ μνήμη, ἣ διατηρεῖ, ἢ ἀνακαλεῖται ϗ παρῦσας, ὅτε δεῖ, καθίςησι τὰς ἰδέας, ὅσας συλλογισμῷ, ἢ ϗ ἄλλως, ἅπαξ ποτὲ δεξαμένη, ἐκτήσατο· τὰς τρεῖς ταύτας πρώτας, ὐσιώδεις ϗ διακριτικὰς αὐτῦ δυνάμεις δυνατὸν σημειῦν

μειῶν τοῖς ὀνόμασι, διάνοια, ἢ δόξα, ἢ νῦς, ἅπερ, εὐκολίᾳ τῆς ἐκθέσεως, ἐφ' ἓν μόνον τὸ τῦ νῦ, ἢ τῆς διανοίας ἔςιν ἀνάγειν.

Παρὰ τὸν νῦν, κεκόσμητ' ἔτι ὁσιωδῶς αὐτὸ αἰσθητικότητι, τὴν αὐτῦ κατάςασιν γινώσκειν τε ϗ διακρίνειν ταῖς, ὅσαις πειρᾶται, διαθέσεσι τὸ τὴν αὐτῦ εὐδαιμονίαν ὠφελῦν, ἢ βλάπτον· ἐντεῦθεν ἡ ἀγάπη, ἢ τὸ μῖσος, ἡ τιμὴ, ἢ ἀτιμία, ἡ ἐπιθυμία, ἢ ὁ φόβος, ἡ εὐχαριςία, ἢ ἀχαριςία.

Γινώσκοντος ἑαυτὸ τῦ πνεύματος, πάνυ ἀηδὴς ἂν εἴη ἡ τῦτη κατάςασις, εἰμεθ' ὃ αἰσθάνεται ϗ γινώσκει, ὁρίζειν ἑαυτὸ ϗ ἐνεργεῖν, ἵνα τὴν αὐτῦ διαττάτῃ θέσιν, ἢ ὠφελιμωτέραν αὐτῷ ταύτην κρίνοι, μὴ δύναιτο· ἅπαν δὲ πνεῦμα δυνάμει ϗ ἐνεργείᾳ κεκόσμηται ζητεῖν, ἢ ἀποδρᾶν, τ' ἀντικείμενα, ἵνα τὴν αὐτῦ μεταβάλλον κατάςασιν ϗ ἑαυτὸ εἰδοποιῦν, εἴτ' ὂν προσδιορίζον, τοῖς περὶ αὐτὸ, ϗ ὧν εὔχρηςος, ἢ ἄχρηςος, αὐτῷ ἡ ὕπαρξις, ἐνεργῇ.

Ὡς δυνατὸν ἐνεργεῖν, ὐχ ὅπως νοεῖν, ἢ ἐνθυμεῖσθαι, τὰ τῆς αὐτῦ ἐνθυμήσεως ἀντικείμενα μεταβάλλειν, ἀλλὰ ϗ αὐτὸ τῦτο τὸ ἡμέτερον σῶμα ὡσαύτως κινεῖν ϗ διὰ τῦτυ τ' ἄλλα, ὅσα τῇ ἐν ἡμῖν ἐνεργητικῇ ἀνταποκρινομένην, παθητικὴν ἔχει δύναμιν, τῦτο πείρᾳ διδασκόμεθα.

Τὰ, ὅσα δυνατὸν ἀνακαλύπτειν ἐν τοῖς πνεύμασι καὶ τούτοις ταῦτ᾽ ἀπονέμειν, κατηγορούμενα, δυνατὸν μόναις ταῖς τρισὶ κλάσεσι ταύταις, εἴτ᾽ οὖν τῇ διανοίᾳ, δόξῃ, βουλήσει, ἤτοι ἐνεργείᾳ ἀναφέρεσθαι· ὄντων δὲ μόνοις αὐτοῖς ἰδιοτήτων, τούτων ἐν τοῖς σώμασιν ἀντιλαμβάνεσθαι, ἢ ταῖς ἐν τούτοις ταύτας ξυνάπτειν, καὶ τῶν πάντῃ ἀμηχάνων.

Ἐκ τῆς φύσεως τῶν ποιοτήτων καὶ δυνάμεων τῶνδε, ἰδίων τοῖς τῆς ὕλης κατηγορουμένοις, ἤτοι τῇ ἐκτάσει, τοῖς μέρεσι, τῇ διαιρέσει, τῇ ἀδρανίᾳ, ἀσυμπαθήτων, ἕπεται, ἁπλᾶς οὐσίας ὑπάρχειν τὰ πνεύματα, ὡς μέρη, ἐκτὸς ἀλλήλων ὑφιστάμενα, καὶ ἀλλήλων φυσικαῖς αἰτίαις, ἢ νοήσει, χωριζόμενα μὴ ἐχούσας· ἐντεῦθεν, ἀθροίσματι καὶ διατάξει ὡρισμένων τινῶν μερῶν, αὐτὰ, ἢ τὸ σῶμα, κατασκευάζεσθαι, ἢ ἀναλύσει ὄλλυσθαι, ἢ ἐν τῇ αὐτῶν ὑπάρξει παραγίνεσθαι ἄλλως, ἢ πραγματικῇ δημιουργίᾳ, ἢ ὄντα παύειν, ἀδύνατον, ὅ, τι μὴ ἐξοντώσει.

Τῇ τῶν πνευμάτων, ὧν τὰ μὲν, τελεώτερα, τὰ δ᾽, ἀτελέστερα, ἰδιοτήτων φύσει συνάγεται καὶ τὰς δυνάμεις καὶ ποιότητας ταύτας δυνατὸν αὐτὰ διαφόροις βαθμοῖς κτᾶσθαι· τὸ δὲ πάντα γινώσκον, ὑπερτέλειον ὂν, τὸ μᾶλλον καθῆκον, καὶ τοῦτ᾽ ἀεὶ βούλεται· τὴν τούτου ἐνέργειαν οὐδὲν οὐδέποτε κωλύει, ὡς μὴ ἐκβαίνειν, ὅπερ αὐτὸ ποιεῖν ἐθέλει· Τοιοῦτον ὂν, ἀπολύτως κύριον πάντων ἐστὶ, πρώτη αἰτία, αἰώνιος, πάντων, ὅσα ὑπάρχει, δημιουργὸς, ἡ πασῶν τῶν

τελειοτήτων πηγὴ, τ' ἀνεξάρτητον ὄν, ᾧ πάντ' ἀνήκει, τὴν τοῦ παντὸς αὐτοκρατορίαν ἔχοντι.

Ὑφίςασθαι, παρὰ τοῦτο, καὶ ἕτερα πνεύματα, ἀπόδειξις, ἡ ἡμετέρα ὕπαρξις· ἀλλὰ μεταξὺ θεοῦ καὶ ἡμῶν ὑφέςηκέ τινα; τοῦθ', ὃ καὶ ἀεὶ ὑφωρᾶτο, ὁ μὲν λόγος εἰ καὶ ὑποτίθεσθαι δύναται, ἀποδείξεις γεμὴν παρέχειν ἀμηχανεῖ, ἡ δ' ἐποκάλυψις ἀεὶ θετικῶς περὶ τούτων διδάσκει.

Τό,τε κοινὸν, καὶ τῶν φιλοσόφων καὶ πεφωτισμένων οἱ πλείας πιςεύειν ἀεὶ ξυνῆσαν, ὡς τοῦ μὲν δημιουργοῦ ὑποδεέςερα, τῶν δ' ἀνθρωπῶν ἀνώτερα διαφόροις βαθμοῖς, καὶ τούτων κυρίως διάφορα, ἅτε βάρει καὶ πάχει σώματος, καθ' ἡμᾶς, μὴ ἡνωμένα, νοερὰ πνεύματα ὑφέςηκεν· ἡ τῶν τ' ἀνθρώπου ὑψηλοτέρων πνευμάτων διδασκαλία ἤδε, ἡ τῆς πολυθείας καὶ εἰδωλολατείας θεμελιώδης, βάσις· παρὰ γὰρ τὸν ἕνα ὕψιςον θεὸν, ὅς, νῦν μὲν ἡ εἱμαρμένη, ἄλλοτε δὲ ταύτῃ ὑποκείμενος, οὐκ εὐάριθμα νοερὰ τῶν ὄντων, ἐν τῇ τοῦ κόσμου οἰκονομίᾳ χώραν ἔχοντα, καὶ διαφόρων τάξεων ὄντα, οἱ ἐθνικοὶ ἐφρόνουν· οἱ τῇ ἀςρολογίᾳ καὶ μαγείᾳ προσχόντες ἀνατωλικοὶ, ἀγαθοῖς καὶ κακοῖς ἐπίςευον πνεύμασιν, ὧν τῇ ἰδέᾳ, ταῖς τῶν κατ' αὐτοὺς βίβλων ἁγίαις διαῤῥήδην βοηθοῦσῃ, συνεφρόνουν οἱ ἰουδαῖοι· ἐντεῦθεν οὖν ταῦτ' ἐκθέσεσί τισι τοῦ εὐαγγελίου καὶ τῶν ἀποςολικῶν γραφῶν, τῶν, τῆς ἡμετέρας πίςεως ὑποκείμενον, ἢ πρὸς θεοῦ ἀνακαλυφθὲν ἡμῖν τι τῶν δογμάτων, τοῦθ' ὑπάρχειν,

χειν, ἥκιςάπυ διδασκόντων, ἀποδεχόμενοι καὶ οἱ χριςιανοὶ ἐν γένει, ταῦτα περὶ τύτων δοξάζυσι.

Ζητυμένυ, δυνατὸν, ἄνευ σώματος ϗ οἵων δήποτ᾽ ὀργάνων ταῦθ᾽ ὑφίςασθαι; τὸν τρόπον, ᾧ, παρὰ τ᾽ ἀνθρωπείον εἶδος, αὐτὰ ὑφέςηκεν, ἀγνοεῖν ὁμολογῦμεν· κρίνοντες γὰρ, μετὰ τὴν αὐτῶν πεῖραν, πειθόμεθα, ὡς ἰδέας ταῦτα δέχεσθαι, ϗ τύτων κοινωνεῖν ἀλλήλοις, ϗ ἐνεργεῖν ϗ παράγειν ἄλλως, ἢ τῶν ὀργάνων τισὶν, ἀποτελέσματα, τῶν ἀμηχάνων· διὸ ϗ τὸ, τε ὅπως τινὸς, ϗ τὸ τῦτ᾽ ἀδύνατον μὴ γινώσκυσι, μόνα τὰ τῆς προπετείας ἡμῖν ξυγχωρήσει, περὶ τύτυ τῶν προτάσεων τινας.

Μᾶλλον, ἢ ἧττον, λεπτοῖς ϗ κύφοις τῶν σωμάτων, οἷς ϗ ὁρατὰ ἐσθ᾽ ὅτε, κατὰ τὸ τῶν, αἷς γε, οἷα ἑρμηνεῖς, ὑπηρέτυν, νοερῶν δυνάμεων βύλημα, αὐτὰ ἡνῶσθαι, ϗ τὰς τῶν τεθνεώτων ψυχὰς σκίαν τινα τῦ σώματος, ὅπερ αὗται ἐμψυχῦσι, διαφέρυσαν, τό, τε σχῆμα ϗ τὰ ὁρατὰ ἴχνη, ἀλλ᾽ ἀνχφῆ, περιβαλέσθαι, οἱ πάλαι ᾤοντο· ὁ τῦ καθ᾽ ἡμᾶς αἰῶνος δυσειδαίμων λεὼς, ὃς τοῖς αὐτῷ ἀρέσκυσι πιςεύει, μικρῦ τῆς αὐτῆς ἰδέας, διαφορᾷ γεμὴν τοιᾶδε, ὡς αἱ τῶν ἀπελθόντων σκιαὶ ἴσην μικρῦ δεῖν τῇ τῶν ζώντων σωμάτων ἔχυσι δύναμιν ϗ ςερεότητα· οἱ τῶν ευσεβύντων πλεῖυς δοξάζυσιν ἀπεκδεχομένας τὴν ἀνάςασιν, ἀπολύτως πάσης ὕλης κεχωρισμένας αὐτὰς ὑπάρχειν, ἢ ϗ τὺς ἀγγέλυς. μετὰ δὲ ταύτην τοῖς αὐτῶν σώμασιν ἑνωθήσεσθαι, ταῖς τῶν μεταβολῶν ἀναλόγοις, ϗ τῇ αὐτῶν καινῇ

κα-

καταςάσει, ἐς ἣν μεταςήσονται, κληρωθείσαις, ὑποκύψασι· τὴν γὰρ τῶν ψυχῶν σὺν τοῖς σώμασι καινὴν ταύτην ἕνωσιν, ὡς ἀναγκαῖον μέσον τῆς αὐτῶν εὐδαιμονίας τε καὶ τελειότητος, ἡ ἀποκάλυψις δοξάζει· κατὰ Λεϊβνίτιον τὸν μέγαν, τῶν δημιουργηθέντων πνευμάτων οὐδὲν τοῦ ὀργανιθέντος σώματος χωρισθήσεται· „φρονῶ, φησὶ,
„ ξὺν τοῖς πάλαι, οὐδ' ἄνευ λόγου, ὡς οἱ ἄγ-
„ γελοι, εἴτ' οὖν τὰ νοερὰ πνεύματα καὶ αἱ ψυ-
„ χαὶ, τῶν παχυτέρων σωμάτων χωριζόμενα,
„ ἀεὶ λεπτὰ σώματα ἔχει, εἰ καὶ ταῦτ' ἀσώμα-
„ τα· ἐπις. ε. πρὸς Κλάρ. §. 16. φρονῶ, φη-
„ σὶν, ἀεὶ ὀργανικῷ σώματι ἑκάςην ψυχὴν,
„ εἴτ' οὖν μονάδα συνεῖναι. πρόσθ. πρὸς θεόδικ.
„ μέρ. δευτ. §. 120, καὶ 124.

Διαγινώσκειν, ὅτωπερ αὐτὴ ἑαυτῆς διαφέρει, τὴν τούτων ἁπλότητα, οὐκ ἂν ἔχοιμεν, ὡς μόνα τὰ τῶν ὄντων σύνθετα παριςῶντες εἰκόσι: ταύτῃ κᾀυτῇ τῇ τῆς αὐτῶν οὐσίας φύσει, τῇ ἀρχοειδεῖ οὐσίᾳ, καὶ τῇ πρώτῃ καταςάσει ἀλλήλων διαφέρειν, ὑπάρχειν ἀδύνατον, οὐχ ἕπεται· ἄλλο γὰρ ἄγγελοι, καὶ ἄλλο χερουβείμ, ἄλλο ψυχὴ, καὶ ἄλλο, θεός· ἐνδεδυμένα, κατὰ Λεϊβνίτιον διαφόροις ὀργάνοις ἅπαντα, ἀνάγκη καὶ διαφόρους δυνάμεις, ποιότητας ταῦτ' ἔχειν, ἢ καὶ τοὺς ἀνθρώπους· ὑπάρχειν οὖν ταυτὰ τῇ οὐσίᾳ, καὶ τῶν ὀργάνων μόνον, οἷς περιβάλλεται, τὰ τῆς αὐτῶν διαφορᾶς προκύπτειν, ἀπίθανον· τοιαύτην δαψιλῆ ποικιλίαν τῇ οὐσίᾳ, οἵαν καὶ τὰ σώματα, ἀνθ' ὅτου μὴ ἔχῃ κᾀκεῖνα; ἡ τοῦ πυρὸς οὐσία, τοῦ τ' ἀέρος, τοῦ ὕδατος, τῆς γῆς, τῶν μετάλ-

λων,

λων, τοῦ κρυστάλλου, οὐχ ἡ αὐτή· τὸ πῦρ, ἢ μικτὸν, διαφόρους ἐπιδεχόμενον ἰδιότητας, καὶ τῶν ἀποτελεσμάτων παράγον διάφορα, ὂν πῦρ οὐ παύει, ὡς οὔτ' ἀήρ, οὔθ' ὕδωρ, γινόμενον· τὸ τινὸς εἴδους πνεῦμα, οὐχ ὅπως τοῖς αὐτοῦ ὀργάνοις, ἀλλὰ, παρὰ ταῦτα, δυνατὸν, καὶ ταυτοειδοῦς ἑτέρου διαφέρειν, τούτῳ ταυτοειδὲς ὂν μὴ παῦον, οὔτ' ἐπὶ διάφορόν τι τῶν εἰδῶν μεταβάλλον· ὡς δὴ τὸ ἀγγελικὸν πνεῦμα, ἐς τὸ τοῦ δαίμονος, ἢ τὸ τοῦ ἀνθρώπου, τραπήσεται, κἂν τὰ τούτων ἀμφιέσαιτο ὄργανα, πιθανὸν, τοὐλάχιστον, οὐ δοκεῖ.

Προσεκτέον δ' εὖ περὶ τούτου μηδὲν βεβαιοῦν, ὡς μόνον ταῦτ' εἰδότας ξὺν ἀσφαλείᾳ, τῶν αὔλων οὐσία τις, τὸ πνεῦμα, ἀμερὲς, οὐσιωδῶς νοοῦν, βουλόμενον, συλλογιζόμενον, ἐνεργοῦν, κἀντεῦθεν ὡσαύτως πάντῃ διαφόρου φύσεως, ἢ κατὰ τὰς σωματικὰς, αἷς τῶν ἰδιοτήτων τούτων οὐδεμία ἀνήκει· πρὸς δὲ, τῶν πνευμάτων ἄπειρόν τι τελειότητι, πάντων ἀρχὴν ὑπάρχειν, τῷ ὀνόματι, Θεὸς, σημαινομένην· πάνυ δυνατὸν καὶ πιθανὸν, τῶν ὄντων πνευματικὰ οὐκ εὐάριθμα ὑφίστασθαι, ἀλλ' ἡμῖν ἄγνωστα· οὐσιωδῶς πνευματικὴν τιν' ἀρχὴν ἐνυπάρχειν τῷ ἀνθρώπῳ ἐπιστάμενοι, τουτονὶ δεξιὸν καθιστῶσαν, νοεῖν, συλλογίζεσθαι, ἐθέλειν καὶ ἐνεργεῖν, ὧν ἅπαντα τὰ ἀδρανῆ καὶ διαιρετὰ σώματα, ἀνεπίδεκτα, τοῖς ζώοις κατωτέραν τινα ὁμολογοῦμεν τῇ δεξιότητι τῆς τοῦ ἀνθρώπου ψυχῆς, ἡττωμένην ἰδέας, βούλεται, ἐνεργεῖ, καὶ ἀσώματος τυγχάνει.

## Περὶ ἀθανασίας μεταφυσικῆς καὶ ἠθικῆς.

Α'θανασία ἐςὶ, προνόμιον, ᾧ κατὰ συνέχειάν τε καὶ ἀϊδίως, μετὰ τὴν τοῦ περὶ ταύτην σώματος ἀνάλυσιν, ζῆν κεκόσμηται ἡ ψυχή.

Ἵνα τῆς ὠφελίμου ταύτης ὕλης τὸ δυνατὸν καὶ μεῖζον φῶς κατασκεδασθῇ, Α. ὄντων τῶν τῆς ἀθανασίας εἰδῶν δυοῖν, τὸ μὲν ἐσωτερικὸν, τὸ δ' ἐξωτερικὸν, καλεῖται.

Ε'σωτερικῶς ἀθάνατον, ὃ φύσει τῇ αὐτοῦ ὄλλυσθαι τοῖς τῶν ὄντων κτιςοῖς, ἀδύνατον, οἷον, ἅπαν ἁπλοῦν καὶ ἀδιαίρετον· πρῶτον γὰρ, ὂν ἀσώματον, τὸ ἁπλοῦν, οὐδεμιᾷ σωματικῇ ἐνεργείᾳ, ἀντενέργειαν ὑποτιθεμένῃ, τοῦθ' ὑπόκειται, οὐ τοῖς τῶν ὄντων λοιποῖς οὐδόλως μέτεςι· καί μοι μηδεὶς ἐνταῦθα, ἐφ' ᾧ τὴν τοῦ συλλογισμοῦ δύναμιν ἀποδρᾶν, τὸ τῆς φυσικῆς ἐπιῤῥοίας, εἴτ' οὖν τῆς τοῦ σώματος ἐνεργείας ἐπὶ τὴν ψυχὴν, καὶ τῆς ἐν ταύτῃ ἐπὶ τοῦτο, σύςημα προτεινέτω· εἴη γὰρ ἂν τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ἁπλοῦν ὂν ἄρ' ἡ ψυχὴ, ἀδυνατούντων ἐπ' αὐτὴν ἐνεργεῖν τῶν κτιςῶν, ἀνώλεθρον ἔςαι καὶ ἄφθαρτον, εἴτ' οὖν ἀθάνατον ἐσωτερικῶς καὶ φύσει τῇ αὐτῆς. Β. ὄλεθρον, πλὴν τοῦ ξυμβαίνοντος τῇ τῶν μερῶν διαζεύξει, οὐδένα ἄλλον ἐπιςάμεθα, ἁπλοῦν δ' ὄν τι, οἷον, ἡ ψυχὴ, καὶ τούτων ἄπορον, εἴκειν αὐτῷ οὐ πέφυκεν· ὄλλυσθ' ἄρα ταύτην, ἀμήχανον, ὅ,τι μὴ ἐξοντώσει καὶ τῇ ἐς τὸ μηδὲν ἐπαναγωγῇ· ἀλλ' ὁ ὄλεθρος οὐδὲ τῶν ἐν τοῖς φυσικοῖς

κι

αἰτίων κρείττων, φύσει ἄρα τῇ αὐτῆς ἡ ψυχὴ, ἀνώλεθρος, ὡς μὴ ἁπτομένων ταύτης τῶν κτιςῶν αἰτίων, ἐσωτερικῶς ἄρ᾽ αὕτη ἀθάνατος.

Ἐξωτερικῶς ἀθάνατον, αὕτη ἡ τῶν ὄντων τινος ποιότης, ἢ πρὸς ἅπαντος ἄλλε, ὁποίασποτ᾽ ἂν ἡ φύσεως, τέτόγε, ὅτως ἀνώλεθρον αὐτὸ καθίςησιν, ὡς τὸν τέτε ὄλεθρον τυγχάνειν ἀντίφασιν· ἐξωτερικῶς ἀθάνατον ἄρα, μόνον τ᾽ ἀναγκαῖον ὄν· μεῖζον γὰρ ἑαυτῦ τῶν ὄντων ἄλλ᾽, ὃ δυνατὸν αὐτὸ ἐς τὸ μηδὲν ἐπανάγειν, ἐδὲν οἶδε· ταύτῃ ϗ ἀντιφατικὸς ὁ τέτε ὄλεθρος· ἄλλως γὰρ ἀναγκαῖον ἐκ ἂν εἴη· κατὰ τὴν ἔννοιαν ταύτην ἐκδεκτέον ϗ τὸ τῦ ἀποςόλε, περὶ Θεῦ, λεγόμενον, ὁ μόνος ἔχων ἀθανασίαν. Α. τιμ. 6 ϗ 16.

Ζητῦντι δὴ πρῶτον, πότερον, ἀθάνατος, ἡ ψυχή; δεύτερον, τὴν ταύτης ἀθανασίαν δυνατὸν ἀποδεικνύειν λόγῳ; τῇ μὲν ἐσωτερικῇ ἀθανασίᾳ ςρέφοντος τῦ ζητήματος, πρόχειρος, ἡ ἀπάντησις, ὡς ἐδὲν ἔτω ῥᾷον· ἢ τῷ τῆς περὶ ταύτην ἁπλότητος λόγῳ ἐσωτερικῶς ἀθάνατον αὐτὴν ἀποδεικνύειν· τῇ δ᾽ ἐξωτερικῇ, ἐπεὶ μόνῳ τῷ Θείῳ ἤδ᾽ ὁσιωδῶς ἀνήκει, ταύτην ἀπονέμειν τῇ ψυχῇ, μὴ τῆς τῶν ἐνδεχομένων τάξεως ἐπὶ τὴν τ᾽ ἀναγκαίε μετατιθεμένῃ, τῶν ἀμηχάνων· λόγῳ γὰρ διδασκόμεθα, ὡς αὕτη, ἡ ϗ ἅπαν ἐνδεχόμενον, παντοδύναμόν τινα ϗ παντελεύθερον αἰτίαν, ἀρχὴν οἶδεν, ἥγ᾽ ἐκ τῦ μηδενὸς ἐς τὸ εἶναι παραγαγῦσα ταύτην, ἀεὶ ὑφ᾽ αὐτὴν διατηρεῖ, ϗ τὴν αὐτῆς ὕπαρξιν δύναται παύειν,

βα-

βȣλομένη, ἣ ϗ ταύτην αὐτῇ, ὅτ' ἠθέλησεν, ἐδωρήσατο· αἰωνίως ἄρα ταύτην διατηρεῖσθαι πρὸς τȣ πρώτȣ ὄντος, χάρις, ἣν αὐτῇ τοῦτο πεπόιηται.

Α'λλ' ἐπὶ τὸ ζήτημα ἤδη, πότερον, δοθήσετ' αὐτῇ ἡ χάρις ἥδε τῷ αἰωνίῳ ὄντι; τῆς ἀμφιβολλίας τȣτ' ἀπολύει τὰ τῆς ἀποκαλύψεως· ἆρ' ȣν φυσικῷ λόγῳ, παρὰ ταύτην, ἀμήχανον, τȣτ' ἀποδεικνύειν; πᾶς, ὃς ἂν ειδείη, ὅ, τι ποτ' ἐστὶν, ἡ, ἰδίως τοιαύτη καλȣμένη, ἀπόδειξις, καταφάσκειν τȣτὶ ȣκ ἂν ὅλως ἀπεριθρυάσειε, ὡς μόνον γινώσκειν δεῖ τὸ θεῖον βȣλημα· τȣτο δὲ, ὃ ϗ εἰς ἔργον τιθέναι ὀφείλομεν, εἰ ϗ σαφέστατα γινώσκειν ὁ λόγος δίδωσιν, ȣ μὴν ϗ τὰ αὐτȣ φῶτα ἐπὶ τοσȣτον ἡμῖν ὑφαπλοῖ, ὡς τήν τε τȣτȣ θέλησιν, ϗ ὅπερ αὐτὸ τȣτο δρᾷν μέλλει, ἐπίςασθαι. ȣσα ἄρ' ὑπὲρ ἡμᾶς ἡ τȣτȣ γνῶσις, τῇ ἐν ἡμῖν αὐτοῖς ἐυδαιμονίᾳ ϗ τῶν πάνυ ἀσυμφόρων πέφυκε.

Α'λλ' εἰ ϗ πρὸς ἀκρίβειαν τὰ τῆς ἀθανασίας δύναιτ' ἂν ἡμᾶς πείθειν μόνη ἡ ἀποκάλυψις, ȣχ ἧττον μέντοι ϗ τῶν λόγων πλείους ἰσχυροὶ δίδονται, ὧν ȣ τῆς τυχούσης δυνάμεως τ' ἄθροισμα, ὃ τὰ μέγιςα παραμυθοῦν, ἡμᾶς βεβαιοῖ.

Πρῶτον δὴ, ȣπιθανὸν, ȣ̓ντινα, ὃς τοσαύτας τῶν ἀληθειῶν γινώσκειν, ἱκανὸς, τοιαύτας ϗ τοσαύτας τῶν ἀνακαλύψεων ποιȣμενον, περὶ ἀπείρων συλλογίζεσθαι, τῆς ἀναλογίας, ἁρμονίας, καλλονῆς αἰσθανόμενον, τὰ τȣ δημιȣργοῦ

ποιή-

ποιήματα θεωρεῖν, ἐς ἰοῦτ' ἀνυψούμενον, ἐφ' ᾧ τούτου μὲν τοὺς λόγους ἐξιχνιάζειν, ἐπὶ δὲ τὰς αὐτῶν αἰτίας διαβαίνειν, ὑπὲρ τὰ ὁρώμενα ἀνιπτάμενον, ϗ μέχρι τῆς τῶν τε πνευματικῶν καὶ θείων γνώσεως, ξὺν ἐλευθερίᾳ ϗ κρίσει δυνάμενον ἐνεργεῖν, ϗ τῶν ἀρίστων ἀρετῶν δεκτικὸν; οὐ πάνυ πιθανὸν, φημὶ, κεκοσμημένον ἐξόχοις τε ϗ ὑπερεχούσαις τῶν ἐν τοῖς ἀλόγοις ποιότησι μὴ δεδημιουργεῖσθαι, ἢ ὡς ἐπὶ βραχύ τι ὧδε διατρίβειν; τῆς τοῦ ἐπιχειρήματος τοῦδ' ὁλικῆς ἀλκῆς οὐδὲν ἔλαττον ᾔσθοντο ϗ οἱ πάλαι.

Τοιαύτη ἄλλως ἡ τ' ἀνθρωπείου πνεύματος φύσις, ὡς προόδους ἀεὶ ποιουμένην, τὰς αὐτῆς δυνάμεις τελειοῦν δύνασθαι· εἰ ϗ πράγματι ἐν βραχέσιν ὁρίοις συστέλλονται αἱ ἡμῶν ἰδέαι, πέρατα γεμὴν τῶν, ἃς ἔχομεν κλᾶσθαι, ἕξεων, τῶν εὑρέσεων, ὧν πεφύκαμεν δεκτικοὶ, τῆς κρίσεως, φρονήσεως ϗ ἀρετῆς οὐχ ὁρῶμεν· ταύτῃ ϗ δῆλον ἀεὶ καινοῦ τινος βαθμοῦ τελειότητος καὶ ἀκμῆς δεκτικὸν τυγχάνειν τὸν ἄνθρωπον, ᾧ γε πρὶν, ἤ, ἵν' οὕτω φῶ, τὰς αὐτοῦ προόδους τελειοῦν, ϗ ἔτι πόῤῥω χωρεῖν ἱκανῷ, ἐπιὼν ὁ θάνατος, αὐτὸν αἴρει.

Τῇ ἡδονῇ ϗ χάριτι, ὧν οἱ τῶν ἐθνικῶν αἰσθητικώτεροι ϗ σοφώτεροι ᾔσθοντο, τῇ αὐτῆς φύσει ἀθάνατον ὑπάρχειν τὴν αὐτῶν ψυχὴν δοξάζοντες, οὐδὲν ὅλως ἰσόῤῥοπον· ἐν μέσῳ πελάγει μετεώρων ἀτυχιῶν, ἐν αἷς σφᾶς αὐτοὺς ἐξετίθεντο, ϗ ταῦτά γε τῶν, ἃς αὐτοῖς ἡ κατ' αὐτοὺς ἀρετὴ ἐπεσπᾶτο, τῶν στερεωτέρων ἔρεισμα ἐτύγχανεν αὐτοῖς τὰ τῆς ἐννοίας ταύτης,

ουσμι-

ἐ σμικρὰς τῆς μελλούσης εὐδαιμονίας τὰς ἐλπίδας παρέχοντα, τοιαύτη τις τέλος τῶν αἰτιῶν ἐκείνοις γινόμενα, ὡς παντὶ εἴδει τῶν ἠθικῶν ἀρετῶν ἑαυτὴς κοσμῦντας, τῷ τῦ λόγυ κράτει, καθυποβάλλειν το σφῶν αὐτῶν σῶμα.

Αὐτῇ τῇ φυσικῇ ἀντιλήψει τῆς τε τῦ ἐν ἡμῖν ὄντος ἀξίας, ϗ τῦ περὶ τὸν ἐν ἡμῖν προορισμὸν μεγέθυς συναισθανόμενοι, τὰς ἡμῶν αὐτῶν θεωρίας ἐπὶ τὸ μέλλον φύσει παρεκτείνομεν, τοῖς μεθ' ἡμᾶς ξυμβησομένοις τῇ διανοίᾳ συντλάμενοι, τό, τε ἡμῶν αὐτῶν ὄνομα ϗ τὴν μνήμην διαιωνίζειν, ζητῦντες, τῆς τῶν ἐπιγινομένων κρίσεως περὶ ἡμῶν ὐ πάντῃ ἀναίσθητοι τυγχάνομεν· ὐ φιλαυτίας, ἢ προλήψεως, φαντάσματα, αἱ τοιαῦται τῶν σκέψεων. ἀλλ' αὐτὴ ἡ τῦ περὶ τὴν ἀθανασίαν ἔρωτος ϗ τῆς ἐλπίδος, αὐτῇ τῇ φύσει ἐνδιεγειρομένη ἡμῖν, ἰδέα· ὕτω λογικὸς εἰς ἑαυτὸν ὗτος αὐτὸς, ϗ ξὺν τοσαύτῃ ὠφελείᾳ τε ϗ ὀρθότητι ξυνδεδεμένος τῷ τῆς ἀνθρωπότητος συςήματι, ὡς πιθανωτάτην ἐπαγωγὴν τήτῳ ῥᾷςον ἐπιφέρειν· οἷόν ποτ' ἂν ᾖ ἐς αὐτὸ τὸ τῦτῳ πῦρ, τοσῦτον ἔτ' αὔξει, ὅσῳ μᾶλλον τὸν ἐν ἡμῖν αὐτοῖς λόγον καλλιεργῦντες, τῇ τῆς ἀληθείας γνώσει ϗ πράξει τῆς ἀρετῆς ἐπιδιδόαμεν, τῶν εὐγενεςέρων, μεγαλοψυχωτέρων καὶ τῇ κοινωνίᾳ ὠφελιμωτέρων ἐνεργειῶν ἀσφαλεςέρας ὔσης ἀρχῆς, τῆς σκέψεως ταύτης· διὸ ϗ ἔςι λέγειν, ὡς, ταύτης ἄνευ, μικραὶ, ταπειναὶ ϗ χαμερπεῖς, ἅπασαι αἱ τῶν ἀνθρώπων θεωρίαι· πόθεν ἤδη δῆλον, ὡς τοῖς ἀνθρώποις τὸ θεῖον ἐλπίδας, ἃς μηδέ ποτ' ἔς ἀπολαύειν, ἐνέθετο; ἔρωτας

τας

τῶν αὐτοῖς ἀντικειμένων μηδενὶ ἀνταποκρινομένϐς; ἀναποδράςϐς ποίας τῶν ϐδεμίαν ἐχόντων πραγματικότητα;

Η' φυσικὸν ἄχρις ὧδε σκεψάμενοι τὸν ἄνθρωπον, ϗ, οἷα ἠθικὸν ἤδη, τϐτον θεωρήσωμεν. λογικῷ ὄν ϗ αὐτεξϐσίῳ ὄντι, ϗ τό, τε δίκαιον ϗ τίμιον, ὅπερ ἐν ταῖς τῆς αὐτϐ συνειδήσεως ἀρχαῖς εὑρίσκει, διακρίνοντι, τὴν δ' αὐτϐ ἐξάρτησιν ἐκ τϐ δημιϐργϐ γινώσκοντι, ὡς τῶν καθηκόντων τινα ἀποπληρϐν γεγεννημένῳ, τό, τε λογικὸν αὐτῷ ϗ ἡ ἀρετή, ὁ τῶν κόσμων εὐπρεπέςατος, ὡς τϐτοις προκόπτειν σπεύδοντι τὰ μέγιςα, ϗ ἁπάσης ἀφορμῆς, ἥγε μελετᾷν ἑαυτὸν ϗ τ' ἀγαθὸν ποιεῖν διδάσκει, δρατ]ομένῳ· ὅσῳ μᾶλλον ἑαυτὸν ἐν ταῖς ϐτως ἐπαινεταῖς τῶν ἀσχολιῶν ἀσκῶν, κρατύνει, τοσϐτῳ μᾶλλον τὰς τϐ ποιητϐ εὐχὰς, εἴτ' ϐν προθέσεις ἀποπληροῖ, ἄξιον τῆς, ἣν εἴληφε παρ' αὐτϐ, ὑπάρξεως ἑαυτὸν ἀποδεικνύων· γινώσων δ', ὡς τὸν τῆς αὐτϐ οἰκονομίας λόγον δυνατὸν ϐκ ἄνευ λόγϐ εἰσπράτ]εσθαι, κατὰ τὰς αὐτϐ διαφόρους ἐνεργείας, ἑαυτὸν φιλεῖ, ἢ κρίνει.

Προσθῶμεν τῇ σκέψει ταύτῃ, ὡς, εἰ τῷ σώματι συναποθνήσκει ἡ ψυχὴ, τιμιωτέρα τῆς τ' ἀνθρώπϐ, ἡ τῶν ἀλόγων κατάςασις· αἱ τϐτων ἐπιθυμίαι, εἰ ϗ πρὸς αἴσθησιν μόνον, καθαρώτεραι γεμὴν ϗ πραγματικώτεραι, ὡς ἀδιάφθοροι, ἀμείωτοι, ἀναλλοίωτοι τῶν ἐνθυμήσεων τινι, δι' ὅλϐ ταύταις ἑαυτὰ μὴ παραιτϐμενα, ὅτε δὲ τϐτων ϐδεμιᾶς ἀπολαύει, ἐλάτ]ονος δεῖσθαι δοκεῖ, ἢ ὁ ἄνθρωπος, ὡς μηδένα λόγον

περὶ τȣτων ποιȣμενα, ȣδὲ τῶν περὶ ταῦτα πα-
„ θῶν ἀναμιμνησκόμενα· „τ᾽ ἄλογα, φησὶν,
„ ὡς ἄριςα, ὁ σένεκας, τὸν, ὃν ὁρᾷ, κίνδυνον
„ φεύγει, τȣ̃τον δ᾽ ἀποδράντα, ἠρεμεῖ· ταρα-
„ χῆς ἀπηλλαγμένα, τῆς αὐτῶν οἰκογενείας,
„ ἢ τῶν ἀπογόνων, ȣδεμίαν ποιεῖται τὴν πρό-
„ νοιαν, τοῖς ἐπιςήμης τινος, ὧν αὐτοῖς δέον ξυ-
„ ναπόλλυσθαι, ματαίοις τῶν ζητημάτων μὴ
„ ἀσχολȣμενα, ζωῆς μελλήσης, οἷα μὴ ἐλ-
„ πίζοντα, κολασθῆναι δεήσειν, ἀφρόντιςα·
„ αἰφνιδίοις τισι τῶν βολῶν, ἢ τῶν ἀπροόπτων
„ πονων σμικροῖς, παύει τέλος ὄντα, ȣδέποτ᾽
„ ἐγνωκότα, ὡς θνητὰ ἐτύγχανε.

Ἐξ ἁπασῶν ἄρα τῶν σκέψεων τῶνδε, ȣ̓
φυσικῇ οἰκονομίᾳ, ἣ τὰ κτήνη, περιορίζεσθαι,
ἀλλ᾽ ἠθικῇ δοκεῖ ἐμπεριέχεσθαι ὁ ἄνθρωπος· αὐ-
τεξȣ́σιος τωόντι καὶ λογω κεκοσμημένος, ἐν τῷ
αὐτȣ̃ βάθει ἀλευθέραν τιν᾽ ἀρχὴν εὑρίσκει, ἑαυ-
τον ὁρίζειν ἔχων, κατὰ τὰς αὐτῷ ἐνȣ́σας ἠθικὰς
τῶν αἰτιῶν, ἐνεργεῖν, κανόνα τελος κτώμενος,
ὥπερ αὐτὸν ἀεὶ προσφύεσθαι, ἀδιαλείπτως αὐτῷ
διὰ τȣ̃ ὀρθȣ̃ λόγȣ τȣτον παριςάμενον· λόγον
ἄρα μέλλει διδόναι τῶν αὐτȣ̃ πράξεων, ὃν ἀ-
νάγκη ταύταις ἀνταποκρίνεσθαι· βελήσει τωόν-
τι, ἐκλογῆς φύσει δεκτικῇ, περιβεβλημένον
τῶν ἀνθρώπων ἕκαςον, ἁπάσας τὰς αὐτȣ̃ ἐνερ-
γείας ςερρῷ κανόνι χρεὼν ἐφαρμόζειν, καὶ τὸν τῆς
αὐτȣ̃ φορᾶς λόγον ςενὸν παρέχειν· ȣ̓σ᾽ ἐλεύθε-
ροι ἅπασαι αἱ αὐτȣ̃ ἠθικαὶ ἐνέργειαι, δίχα ςε-
νοχωρίας, ἢ φυσικῆς ἀνάγκης, καὶ ἀγαθῇ, ἢ
κακῇ, προϊȣ̃σαι αἰτίᾳ, ἢ ἂν τῷ ὀρθῷ λόγῳ

σύμφωνοι, ἢ μὴ, ἐπαίνου, ἢ ψόγου, ἀμοιβῆς, ἢ κολάσεως, ἄξιαι· ὑπάρχοντος μὲν τῶν ὄντων ὑπερτάτου τινος, τὰς αὐτῶν δυνάμεις πάσας αὐτῷ τούτῳ ὀφειλέται πεφύκαμεν· τῇ δ᾽ ἀγαθῇ, ἢ κακῇ, χρήσει, ἣν τούτων ποιούμεθα, βεβηκότος παντὸς, ὅ,τι ἀγαθὸν, ἢ κακὸν, ταῖς ἐν ἡμῖν ἠθικαῖς ἐνεργείαις πέπρακται, πανταχόθεν οὖσι λόγον ἔχον, ὑποτίθεσθαι, ὡς αἱ ἀρχαὶ, τὰ αἴτια, καὶ αἱ τῶν ἐνεργειῶν τούτων περιστάσεις, μιᾶς ἡμέρας ἐξετάσει ὑποβληθήσονται, φυλακῇ, ἢ παραβάσει, τοῦ προσγεγραμμένου νόμου κριθησομένων· κἀντεῦθεν ἡ καθόλου κρίσις, ἣν ὁ τοῦ κόσμου ὑπέρτατος κριτὴς, σωτηρίας, ἢ κολάσεως, πέρι, ποιήσεται· ὡς ἐναργέστατον, θεμέλιον, φρονοῦντες ταύτην οἱ ἐθνικοὶ, ἀκριβῶς τε καὶ αὐστηρῶς τὰς ἑκάστου ἐνεργείας ἐξετασθήσεσθαι, μετὰ τὴν ἀποβίωσιν, ἐδίδασκον, δικαίως καὶ ἀπροσωπολήπτως σωζομένου, ἢ κολαζομένου, ἢ ἂν ἐν τῷ τῆδε βίῳ ἀγαθὰ, ἢ κακὰ, διεπράξατο· „μηδεὶς γὰρ, φησὶν ὁ Πλάτων, ἐπαι„ρέσθω, ὡς ἀποδρᾶν τὴν κρίσιν ταύτην ἕξει· ἐπὶ „γὰρ τὸ τῆς γῆς κέντρον καταβὰς, ἢ ἀναβὰς ἐπὶ „τοὺς οὐρανοὺς, τὴν τοῦ θεοῦ δικαίαν κρίσιν, βιῶν, ἢ „θανὼν, οὐ φεύξεται. νόμ. βιβ. 10.

Καθ᾽ αὐτὸν ἄχρις ὧδε σκεψάμενοι τὸν ἄνθρωπον, ἐπὶ τὸν θεὸν ἐπανιόντες ἤδη, καινοὺς εὑρήσομεν λόγους, οἳ τὰ τεγερα καὶ τὰς ποινὰς τῶν μελλόντων ἡμᾶς πείσονται.

Δέδεικται, ὡς μεταξὺ τῶν τῆς ἀρετῆς ἀντιποιεμένων ϗ τὴν κακίην ἐργαζομένων, οὔτε διάγνωσις, ἱκανὴ, ὔτε γέρας ἀσφαλὲς, ἐκείνοις βραβευόμενον, ϗ τῇ αὐτῶν ὑπεροχῇ ἀνάλογον, ὔτε ποινὴ τῇ κακίᾳ ἐπιβαλλομένη, ϗ τῇ ταύτης σκληρότητι ἀντιςοιχῦσα· ἐπεὶ μέντοι ἀσφαλές τε ϗ ἀναμφίβολλον, ὡς, εἰ ἔςι Θεὸς, ὗτος ὑπεράγαθός τε ϗ δικαιότατος, τῇ ἑκάςου προσφορᾷ προσέχων, τὺς τ' αὐτῦ θέλημα ποιῦντας, ϗ τὴν αὐτῦ μιμυμένυς ἀγαθότητα, ἀποδεχόμενος, τὐναντίον δὲ τὺς τὴν ἀντικειμένην ὁδὸν ἑλομένυς, ἀποδοκιμάζων, ἐπεὶ, φημὶ, ἀσφαλές τε ϗ ἀναμφίβολλον, ὄντων ἀληθῶν ἁπάντων τύτων, δεῖν ἀναγκαίως τὸ ὕψιςον ὂν τῦτο, ἐφ' ᾧ τῶν τε νόμων ϗ τῆς αὐτῦ διοικήσεως προΐςαςθαι, λαμπρότατα τέλος διδόναι ποτὲ τὰ τῆς αὐτῦ ἀποδοχῆς, ἢ ἀποςροφῆς, σημεῖα, τὴν ἐσχάτην διαφορὰν, ἣν μεταξὺ τῶν τοῖς αὐτῦ νόμοις εἰκόντων ϗ τῶν αὐτύς γε τύτυς ἀθετύντων ἀτάκτως, ποιεῖται, ἐνδεικνύμενον, τίς ὐχ ὁρᾷ, ὡς ἀνάγκη, ἑκόντας, ἢ ἄκοντας ἐπὶ θατέραν τῶν ἐπιφορῶν τῶνδ' ἐλθεῖν; λέγειν, δεῖ, ἢ πάσας τὰς, ὅσας περὶ Θεῦ κατασκευάζομεν, ἰδέας, ψευδεῖς τυγχάνειν, ὐδ' ὁρῶσαν, ὅ, τι ποτ' ἂν τὰ τύτυ δημιυργήματα ποιῇ, ὑπάρχειν πρόνοιαν, ϗ, εἴγε ὁρᾷ, πρὸς τῶν τοῖς αὐτῦ ἠθικοῖς κατηγορυμένοις ἐπιφερομένων θανασίμων βολῶν, ϗ τὴν ἐκείνυ ἰδίαν ὕπαρξιν φθειρυσῶν, μηδὲν ὅλως αὐτὸν διοχλεῖσθαι, ἢ ὡς ἀνάγκη πᾶσα, μετὰ τήνδε, ϗ ἄλλην τυγχάνειν κατάςασιν, ἐν ᾗ τάτε γέρα ϗ αἱ ποιναὶ ἑκάςῳ κατὰ τὰ αὐτῦ ἔργα διαμεριῦνται, ϗ ἅπασ

πασ' αἱ δυσκολίαι, ὅσας ἐπὶ τȣ̃ παροντος περὶ προνοίας ποιȣ́μεθα, πληρέςατα διασαφιθήσονται διανομῇ δικαία, ἥγ' ἰσόῤῥοπόςτε ϗ ἀπροσωπόληπτος ἔςαι· ἐπ' εὐθείας ȣ̓́τω δεδειγμένου, δεῖν ἔχειν μέλλȣσαν κατάςασιν τῶν ἀμοιβῶν ϗ ποινῶν, τὸν ταύτας ἐν τῷ μέλλοντι μὴ ἀποδεχόμενον, ἀνάγκη ἐκ συνεπείας ἐς συνέπειαν εἰς τὸν ἄκρατον ἀθεϊσμον ἐμπίπτειν.

Προσετι, εἰ παντέλειον, το θεῖον, ποιεῖν, ἢ τοιȣ̃τον, τῷ ὀρθῷτε ϗ τελείῳ λόγῳ ἐναντία, ἀδύνατον. ὄντος ἄρα τινος, ἢ τῆς τȣ́του καταςάσεως, ȣ̔̃ τῷ τοιȣ́τῳ λόγῳ μάχοιτ' ἂν ἡ ὕπαρξις, ὑπάρχειν αὐτὸ αἰτίαν, ἀμήχανον· ἤ, ὅπερ ἐς ταυτὸν φέρει, μὴ πρὸς τὰ τῆς αὐτοῦ δυνάμεως ἠρτημένα, ξὺν λόγῳ ἐνεργεῖν, τῶν ἀνεφίκτων· ὄντων τοίνυν ἡμῶν τȣ̃ τῶν τοιούτων ἀριθμȣ̃, ϗ τῷ ὀρθῷ λόγῳ μαχομένης τῆς περὶ τὴν ἐν ἡμῖν ψυχὴν θνητότητος, ὑπάρχειν ταύτην ἀθάνατον, τῶν ἀπεικότων ȣ̓δεν· ἔχειν ἔτ' ἄπταιςον αὐτῆς βεβαιότητα, ἣν τῇ τῶν ἐν ἡμῖν αὐτοῖς δυνάμεων χρήσει ῥᾷςον πορίζεσθαι, ȣ̓κ ἀδύνατον, εἴτ' ȣ̓̃ν ȣ̓δὲν τῶν ἐν τῇ φύσει δύναιτ' ἂν ἡμᾶς μᾶλλον πείθειν τὴν ἀλήθειαν ταύτην, ἢ ἡμεῖς αὐτοὶ ἑαυτȣ̀ς· ἀλλ' ὁρᾶν ἤδη λοιπὸν, εἰ τῷ ὀρθῷ λόγῳ ἀντικείμενον, ἡ τῆς ψυχῆς θνητότης.

Ἐν καταςάσει ςερεᾶς, ἀληθῆς, δεινῶν ὅλως ἀπηλλαγμένης, εὐτυχίας τῶν ὄντων τι κατεσκευᾶσθαι, ἢ ἐν μικτῆς, εἰ τὸ ταύτῃ ἀντικείμενον μόνον ἔλαττον εἴη, μηδὲν μεῖζον πάσχον,

χον, ἢ ὥςε τῆς, ᾗ κακοδαιμονίᾳ μέμικται, εὐδαιμονίας τυχεῖν, ϗ τέλος ὑπὸ τῇ κακοδαιμονίᾳ μᾶλλον δεδημιυργεῖσθαι, ἢ τῇ εὐδαιμονίᾳ, ἅμα τὴν ἀθλιότητα δυνάμενον εἴργειν, ἢ γὰν, ταύτης, ἀποδρᾶν, ὅσον μὴ ὑπερέχειν τὴν κακοδαιμονίαν τῆς, ἣν ἂν μᾶλλον ἕλοιτο φέρειν, ἢ ἀπολλύειν μέρος τῆς προσημμένης τοῖς αὐτῦ πόνοις, ὐκ ἂν ἐς τῦτ᾽ ἀδικίας ἐτέλει, ἢ ὡς ἀναγκαίως κακόδαιμον γεγεννῆσθαι, φαρμάκυ, ἀμοιβῆς, ἢ τῇ αὐτῦ ἀθλιότητι ἰσορῥοπίας ἄνευ· Τοσαύτης γὰρ βλάβης, ϗ ὕτω τῷ ὀρθῷ λόγῳ ἀντικείμενον, τῦτό γε, ὡς τὸν τῷ αὐτῦ φυσικῷ φωτὶ χρώμενον, ἐνθυμέμενον μόνον, ἀνάγκη, ἀφηνιᾶν· πρόσωδὴ ἐν τῇ τῆς φύσεως τῦ λόγυ ϗ τῆς δικαιοσύνης ἰδέᾳ χωρῶν τις, ἀναμφισβητήτης, ϗ ἀληθεῖς ὑπάρχειν τὰς προτάσεις ταύτας, ὐκ ἂν ὅλως ἀρνηθείη.

Ἀλλὰ τὸν τὴν ψυχὴν θνητὴν φρονῦντα, δυοῖν θάτερον ὁμολογεῖν, ἀνάγκη, ἢ ὡς ἄλογον, ἄδικον, ὠμὸν, ὂν τυγχάνει τὸ θεῖον, ἢ ὡς ἐν τῷ τῇδε βίῳ φάρμακον ϗ ἰσορῥοπίαν τῆς αὐτῦ ἀθλιότητος ϗ κακοδαιμονίας δυνατὸν εὑρεῖν τὸν ἄνθρωπον· τύτων αἱρεῖσθαι τὸ πρῶτον, εἴη ἂν τῇ προαποδειχθείσῃ ἐναργεςάτῃ ἀληθείᾳ ἀντιφάσκειν· προσθείην δ᾽ ἂν, ὡς ὕτως ἀνάξια ϗ ἀσεβῆ περὶ τῦ πρωτίςυ ὄντος φρονεῖ, ἃ ὐδ᾽ ἂν ὁ ἀτοπώτατος ἐφρόνησεν· ἀλλ᾽ ὁ τῆς δόξης τῆσδε προϊςάμενος, ψευδῆ ταύτην ἥπου ἐξεπίςαται· ὁμολογεῖν τὴν δευτέραν· τῇ τε τῦ ἀνθρώπυ ἱςορίᾳ ϗ τῇ αὐτῦ ἐσωτερικῇ αἰσθήσει ἀντιλέγειν ἂν εἴη.

Συ-

Συνάγεται δὴ, ὡς ἀπολύτως ἀδύνατον τὸν θεὸν, ὅς, ἄπειρον, σοφὸν, δίκαιον, ἀγαθὸν, ὄν τι τυγχάνει, ὐδεμίαν ἄλλην σχεῖν πρόθεσιν, ὐδ' ἄλλο τι προτείνειν τέλος, τὰ τῶν ὄντων λόγω κεκοσμημένα, οἷος τυγχάνει ὢν ὁ ἄνθρωπος, δημιυργήσαντα, ὕτως ἐυγενέσι ϗ ὑπεροχικαῖς τῶν δυνάμεων περιβαλόντα, ϗ τὴν τῆς αἰωνίυ ϗ ἀτρέπτυ διαφορᾶς μεταξὺ τῦ καλῦ ϗ αἰσχροῦ γνῶσιν αὐτοῖς δόντα, ἀδύνατον, φημὶ, ἐν ἅπασι τοῖσδε ὐδὲν ἄλλο τὸν θεὸν προθέμενον τέλος, ἢ ὄντων διαδοχήν τινα, ὕτω βραχείας διαμονῆς, αἰωνίως διατηρεῖν ταῦτα ἐν τῇ τῆς διαφθορᾶς, ἀταξίας ϗ συμφορᾶς θλιβερᾷ καταστάσει, οἵαν ἐν τῷ παντὶ ὁρῶμεν τήμερον· ϗ γὰρ τηρημένων μὲν ὕτω κακῶς ἐν τύτῳ τῶν τῦ καλῦ ϗ αἰσχρῦ νόμων, παραγυσῶν δὲ σχεδὸν ὐδὲν αἰσθητικὸν ἀποτέλεσμα τῶν περὶ τὰ πράγματα ἀναγκαίων διαφορῶν, τὴν ἀρετὴν ϗ κακίαν τῶν ταύταις ἀναλόγων καρπῶν διακρίνειν, ὐχ ὅπως ὐχ ἱκανοὶ, ἀλλὰ ϗ τὴν τῦ θεῦ δόξαν ϗ τὸ τῶν αὐτῦ νόμων ὕψος ὕτω συνεχῶς καταφρονύμενα θεώμεθα, ὡς ὔτε τὺς ἀγαθὺς τὴν αὐτοῖς τύτοις ὀφειλομένην ἀμοιβὴν ἀποφέρεσθαι, ὔτε τὺς κακὺς τὰς κατ' ἀξίαν αὐτοῖς ἐυθύνας ϗ ποινὰς ὑπέχειν· ταύτῃ ϗ τὴν τῶν καινῶν γεννεῶν, ὅσαι τήμερον πεφύκασιν, αἰώνιον διαδοχὴν ἀνάγκη ὁλοσχερῶς πυτὲ πρόσωπον ἀλλάττειν, ϗ τοὺς τήμερον ἡμᾶς, ἐν μελλύσῃ ἀλλοίᾳ καταστάσει, τὺς αὐτὺς τυγχάνειν, ἐν ᾗ ἀναλόγυς τῇ, ἣν ἐτήρησε, πολιτείᾳ τὰς ἀμοιβὰς ϗ κολάσεις ἕκαστος ἀπολήψεται, ὡς ἀνακαινισθησομένου ἐν αὐτῇ παντὸς τ' ἀτακτῦντος κόσμυ, ϗ πάσης

φι-

φιλοπροσωπίας ἀρθησομένης· αἱ γὰρ οὕτω γριφώδεις καὶ πάντῃ ἀνερμήνευτοι ἤδη δοκοῦσαι τῆς θείας προνοίας ὁδοὶ, ὡς τούτων οὐδὲν ὅλως μεῖζόν τι νῦν κατανοοῦμεν, ἢ μόνον βραχύτατόν τι, ἐν ὑπερτελεῖ ἐναργείᾳ ἐκτεθεισόμεναι, ἀπειραγάθου, δικαιοτάτου, καὶ πανσόφου τῶν ὄντων τινος ἡμῖν ὀφθήσονται ὑπεράξιαι, ὧν ἄνευ τῆς ἀληθείας, ἀνόνητα καὶ δι' ὅλου φροῦδα τὰ λοιπὰ πάντα· αἴρων γὰρ τὰς ἀντιδόσεις καὶ κολάσεις τοῦ μέλλοντος, τὴν δικαιοσύνην, τὴν ἀγαθότητα, τὴν τάξιν, τὸν λόγον ἐξοντοῖς, ὡς τοῦ παντὸς, ἢ τοῦ κόσμου, νοῦς ἄρχων οὐδεὶς, οἷα θεμελιός τις τῶν τῆς ἠθικῆς ὕλης ἐπιχειρημάτων, θεωρεῖσθαι δυνάμενος.

Ἀλλὰ τοὺς τῆς θεωρίας τῶν τῆς θεότητος ἠθικῶς κατηγορουμένων ληφθέντας λόγους δεήσαν ἐπ' ἀγορᾶς ἐκβάλλειν, μόναις ταῖς ταύτῃ φυσικαῖς τῶν τελειοτήτων προσέχοντας, ἢ, περὶ ἧς ὁ λόγος, ἀλήθεια οὐκ ἂν τὸ ἐναργὴς ὑπάρχειν παραιτοῖτο· τὸν δὲ ταύτῃ πεισθησόμενον, τῇ τοῦ δημιουργοῦ γνώσει καὶ σοφίᾳ, ταῖς αἰσθητικώτατά πως ἐν τῇ τοῦ παντὸς δημιουργίᾳ καταστραπτούσαις, δεῖ προσέχειν· τίς, ὁ πείσων, τοιαῦτα προὔχοντα τῶν ὄντων, οἷος τυγχάνει ὢν ὁ ἄνθρωπος, δημιουργήσαντος τοῦ θεοῦ, καὶ τούτοις τοιαύτας ὑπερεχούσας τῶν δυνάμεων χαρισαμένου, καὶ τῇ ἐπιγείῳ ταύτῃ σφαίρᾳ αὐτὰ κατοικίσαντος, τοσούτοις λαμπροτάτοις τῶν σημείων διαφέροντα, τὸν μὴ θεώμενον, ὡς τὸ τῶν κτισμάτων κατώτερον τοῦτο, πᾶν, τοὐλάχιστον, ἕνεκα τούτων δημιουργηθὲν, τῇ αὐτῶν

χρήσει ἀνατέθειται, μὴ τῶν πάντη ἀομμάτων τυγχάνειν; τὶς, φημὶ, ὁ πείσων, ὡς ἅπαν τῦτ᾽ ἄνευ λόγυ ἐγένετο, ϗ ἐπ᾽ ἄπειρον τὰ ὅτω βραχείας διαμονῆς ὄντα διαιωνίζει, διάγειν ἐν ἀταξίᾳ μεγίςῃ ϗ παραδόξῳ συγχίσει εὐαρίθμȢς τῶν ἐνιαυτῶν, ὅσοι τὸ ζῆν αὐτῶν ξυντιθέασι, κατακεκριμένα, εἶτ᾽ ἐς τὸ πάντῃ μηδὲν ἐμπίπτειν; „ὐ γὰρ εἰκῆ, ὐδ᾽ αὐτομάτως πε„ποιήμεθά τε ϗ ἐπλάσθημεν, ἀλλὰ δύναμίς „τις, ὡς ἀληθῶς, ὑπάρχει, ἣ τῦ τῶν ἀνθρώ„πων γένȢς προνοεῖ, ὅπως μὴ γένηται, ἢ κιν„δυνός τις περιςῇ, πᾶν εἶδος πόνων ὑπομείναν„τας, ὅτως ἐς τὴν τῦ θανάτυ αἰώνιον ἀπώλλειαν ἐμπίπτειν. κικ. τυσ. 10. ἐπὶ τῆς ὑποθέσεως ταύτης, τί ματαιότερον φαντάζεσθαι δυδύναιτ᾽ ἄν τις, ἢ τὴν τῦ κόσμυ οἰκοδομήν; „εἰ „ἀναιτίως γεγόναμεν, εἰ πλασθέντων ὐδεμία „πρόνοια, εἰ ἐκ τύχης ϗ χάριν ἡδονῆς πεποιή„μεθα, εἰ μετὰ θάνατον ἐσόμεθα μηδὲν, τί„ποθ᾽ ὅτω περιτ]ὸν, μάταιον ϗ κενὸν, ἢ τὰ „τῶν ἀνθρώπων πράγματα, ἢ ὁ κόσμος αὐ„τός; Λακτάντζιος βιβ. 8.

Ἵνα δὴ ἡ τῶν καθ᾽ ἡμᾶς συλλογισμῶν δύναμις κρεῖτ]ον κατανοηθῇ, τὰ τῶν συςημάτων δύω ταῦτα θέντες παράλληλα, ἴδωμεν, πότερον μᾶλλον σύμφωνον τῇ τάξει, τῇ φύσει ϗ καταςάσει τ᾽ ἀνθρώπȢ μᾶλλον ἁρμόζον, ϗ ἑνὶ λόγῳ μᾶλλον λογικὸν ϗ τῷ θείῳ πρέπον· θῶμεν, ἔνθεν μὲν, τὴν τελειότητα ϗ εὐδαιμονίαν ]ῶν αὐτῦ ποιημάτων, ϗ ἐν εἴδει τό, τε τ᾽ ἀνθρώπυ, ϗ τὸ τῆς κατ᾽ αὐτὸν κοινωνίας ἀγαθὸν, προτείνȢιν

τὸν

τὸν δημιȣργὸν, ὧν ἕνεκα τόν τε νῦν ϗ τ᾿ αὐτεξέσιον τȣ́τῳ δȣ̃ναι, τὸν αὐτȣ̃ προορισμὸν ἐπίςαϑαι ποιήσαντα δεκτικὸν, τὴν, ἣ μόνη ἐπὶ τȣ̃τον ἄγειν δύναται, ὁδὸν ἀνακαλύπτειν, ταύτῃ γ᾿ ἑπόμενον, βαρύτατον αὐτῷ ἐπιθέντα τὸ χρέος, ταύτης ἀποπλανᾶσϑαι μηδέποτε, τὸ τȣ̃ λόγȣ, ὃν ἀεὶ δεῖ τ᾿ αὐτȣ̃ βήματα φωτίζειν, φῶς τῆς ὄψεως μὴ ςερȣ́μενον· ἵνα δ᾿ ἔτι κρεῖττον αὐτὸν ὁ δηγῇ, τὰς τ᾿ αἰσϑήσεις πάσας, ϗ τὰς ἀναγκαίας ἀρχὰς, οἷα κανόνα, αὐτῷ ἐνθέσϑαι, ἐν πρὸς μείζονος, δυνατȣ̃, σοφȣ̃ ϗ ἀγαϑȣ̃ τινος δοϑέντα, ἅπαντας τȣ̀ς ἀληϑȣ̃ς τινος νόμȣ χαρακτῆρας πορίζεσϑαι, τὴν αὐτȣ̃ ἀμοιβὴν ϗ κόλασιν ἐν τῷ βίῳ ἐπαγομένȣ· ἐκεῖϑεν δὲ, μὴ ȣ̎σης ἱκανῆς τῆς νομοϑεσίας ταύτης, ἐπὶ διαγράμματι, τῇ αὐτȣ̃ σοφίᾳ ϗ ἀγαϑότητι πρέπον, ἅπασαν αὐτȣ̃ τὴν τελειότητα ϗ τὰς ἐν ἅπασι τοῖς δυνατοῖς τῶν ξυμβάντων αἰτίας ϗ τ᾿ ἀναγκαῖα ἐπικȣρήματα αὐτῷ διδόναι, ϑῶμεν, διαταγὴν, τῶν φυσικῶν νόμων λεγομένην κυρίως, ἥπερ ἐν τῷ μέλλοντι δήλη γενήσεται, ὁρισάμενον, τῇ δὲ τῶν ἀνϑρώπων ὁδηγίᾳ προσέχοντα, αὐτοῖς προβαλέσϑαι, τȣ́των ἕνεκα λόγον ἀποδοσομένοις, ὡς τὴν μὲν ἀρετὴν ἀμοίβεσϑαι, κολάζεσϑαι δὲ τὴν κακίαν, ἀναλόγῳ ἀνταποδόσει τῇ αὐτῶν ἀξιότητι, ἢ ἀναξιότητι.

Τὸ τοίνυν πρῶτον τȣ̃το ἀντιπαράϑες τῷ ὡδ᾿ ὑποτιϑεμένῳ, ὡς ἅπαντα τὰ ἐν τῷ βίῳ ὑπὲρ ἀνϑρώπȣ ὥρισαι· ταύτῃ ϗ ἐλπίζειν, ἢ δεδιέναι μετὰ τόνδε, ȣ̓δὲν αὐτῷ περίεςι· τὸν δὲ δημιȣργήσαντα, ϗ τὴν κοινωνίαν ταξάμενον, λόγον

γον ποιεῖσθαι μηδένα, οἷα τὴν τ' ἀγαθȣ̃ ϗ αἰσχρȣ̃ διάγνωσιν ἡμῖν διὰ λόγȣ δωρησάμενον, τῇ πρὸς ἡμᾶς χρήσει τȣ́των προσοχὴν ȣ̓δεμίαν ἔτι παρέχεσθαι. ἀπολύτως κυρίȣς κατάγνώμην τὴν ἐν ἡμῖν ἐνεργεῖν ἡμᾶς ἀφέντα, εὐθύνην ȣ̓δεμίαν αὐτῷ περὶ τȣ́των ὑφέξοντας. ὡς διανεμομένων μὲν ἐπὶ τȣ̃ βίȣ τῶν ἀγαθῶν ϗ κακῶν ἀνίσως ϗ ἀκανονίςως, ἀτακτȣ́ντων δὲ πρὸς τὰ δοκȣ̃ντα τῶν πονηρῶν ἁπάντων, διεύθυνσις πρὸς Θεȣ̃, ἢ ἀμοιβὴ, ȣ̓δεμία.

φαίη ἄν τις, τȣ̓́σχατον τόδε τῷ πρώτῳ ἐφάμιλλον, ὃ τὰς τȣ̃ Θεȣ̃ τελειότητας ἐν ȣ̔́τω λαμπρῷ φωτὶ ἐκτίθεται· τῇ αὐτȣ̃ σοφίᾳ, ἀγαθότητι ϗ δικαιοσύνῃ πρέπον; οἰκεῖον, ὡς τὸ μὲν κακὸν κολάζειν, τῆς δ' ἀρετῆς ἐν ὑψηλαῖς τε ϗ ὀλεθρίαις τῶν περιςάσεων ἀντέχεσθαι; τὴν τῆς κοινωνίας ἑδράζον οἰκοδομὴν; ὡς τοῖς τῶν νόμων φυσικοῖς κῦρος, οἷον, ἡ τȣ̃ ὑπερτάτȣ νομοθέτȣ δόξα, ϗ τὸ τῆς ἀνθρωπότητος ἀγαθὸν ἀπαιτεῖ, δωρεῖται; αἱρȣμένων δυεῖν κοινωνιῶν, τῆς μὲν τὸ πρῶτον, τῆς δὲ τὸ δεύτερον, ποτέρα τȣ́των τῶν νȣ̃ν ἐχόντων τις συζῆν ἂν ἕλοιτο; ἢ δῆλον, ὡς τῇ πρώτῃ· κάλλει ϗ ἁρμονίᾳ τȣ́των ἥπȣ παράθεσις οὐδεμία· ὡς τὸ μὲν, ἔργον τελειοτάτȣ λόγου, τὸ δὲ, ἐλλειματῶδες, ϗ τῶν ἀταξιῶν ἐναρίθμȣς πάσχειν ȣ̓κ ἀνεχόμενον· ἡςινοσȣ̃ν ἤδη μερίδος τὰ τῆς ἀληθείας τυγχάνει, ταῦτα ϗ μόνα ἱκανῶς παρίςησι· κρίνειν γάρ ἐςιν ἐντεῦθα, ϗ τȣ́ς τε λόγȣς ϗ τὰ ἔργα τȣ̃ Θεȣ̃, τȣ̃ πάνθ' ὑψηλῇ γνώσει ϗ σοφίᾳ ποιȣ̃ντος, συλλογίζεσθαι.

Ἐπὶ πᾶσι δὲ, βȣλει ταῖς πιθαναῖς τε καὶ ἀμφιβόλλοις τῶν γνώσεων τὴν τȣ μέλλοντος συντάττειν; ἐπι τ' ἀβεβαίȣ τȣ δε, πράττειν ἀεὶ, ὡς ἂν τὸ καταφατικὸν ξυμφέρῃ, λογικόν· πρόδηλον γὰρ, ἀπολλύειν μὲν ἧττον, κερδαίνειν δὲ τῷ παντὶ πλεῖον, ἀσφαλέςερον· ἀμφίβολλον, θῶμεν, τὸ μέλλον· ὄντι δὲ τȣ́τῳ, μὴ πιςεύειν, ȣ̓χ ὅπως ἁμάρτημα, ἀλλὰ ϗ πλάνη ἀπωλλείας πράττειν, ὡσεὶ μηδ' ἦν, οἷα ὀλεθρίȣς τὰς συνεπείας ἐπαγόμενον· πιςεύειν δ' αὐτῷ, εἰ ϗ μηδ' εἴη ὅλως, τὰ τῆς ἀπάτης ἀποτελέσματα, ἐν γένει, ȣ̓κ ἂν ᾖ, ἢ ἀγαθὰ, ὡς ἀτοπίᾳ τȣ μέλλοντος μὴ ὑποκείμενα, ȣ̓δὲ πάνυ τι διὰ βίου ἐνοχλȣ̃ντα· ȣ̔́τως ὁπώσποτ' ἂν ᾖ, κἂν τοῖς ἴσων τῶν νόμων φυσικοῖς αὐτοῖς, ὧν ἧττω τὰ τῆς ὠφελείας, δεῖν μᾶλλον τηρεῖν, ἢ τȣ́τȣς παραβαίνειν, τῶν νȣ̃ν ἐχόντων ȣ̓δεὶς ἂν ὅλως διςάσειε· κακίας ἀεὶ τὰ τῆς ἀρετῆς ὑπερέξει.

Ἀλλ' εἴγ' ἤδη, ἐν τῇ τῆς ἀμφιβολλίας ϗ ὁλικῆς ἀβεβαιότητος ὑποθέσει ταύτῃ, σωφρονεςέρα ἥδε ἡμέρις, μήτιγε, εἰγινώσκοιτο, ἢ ϗ γινώσκεσθαι ȣ̓δὲν κωλύει, πιθανωτέρα, τȣλάχιςον, ἥδε ἡ δόξα, ἤπερ ἡ ἑτέρα· ὁ τȣ πιθανȣ̃ πρῶτος βαθμὸς, ἡ τȣ́τȣ ἁπλότης, εἰ ϗ μικρὰ, ἀλλὰ λογικὴ αἰτία ὁρισμȣ̃ τῷ ἐνθυμȣμένῳ τε ϗ συλλογιζομένῳ; εἰδ' ἐν τῇ τȣ κοινȣ̃ ζῆν ὑποθέσει ὁδηγεῖσθαι διὰ τῆς ἀρχῆς ταύτης, φρόνιμον, τοῖς μᾶλλον ὠφελȣμένοις ϗ τοῖς εὐδαιμονίης μετέχȣσιν, ἀφίςασθ' αὐτῆς ξυγχωρήσει τοῦτο;

Α'λλ' ἐὰν τέλος βραχύτι πρόσω χωρῶν, κἀπὶ τ' ἀληθὲς σημεῖον τὴν ὑπόθεσιν ἐπανάγων, ὁμολογῇ τις, ὡς εἰκὰ λανθάνοντι, ἢ κυρίως κ-λυμένην ἀπόδειξιν μὴ ἔχομεν, ἐκ ἥσης ἀποδεκτέα τῆς θέσεως, ἀλλὰ μόνην πιθανότητα ταῖς τε λογικαῖς τῶν κρίσεων ἢ τοιαύτῃ ἁρμονίᾳ βεβηκυῖαν, ὡς ἢ αὐτῇ τῇ βεβαιότητι ὅτι μάλιςα πελάζειν· σαφέςατον ἔτι ἐςὶν, ὡς ἐν τῇ τῶν πραγμάτων τοιαύτῃ καταςάσει, ὅτω πράττειν ὀφείλομεν· ἄλλον γὰρ κανόνα ποιεῖσθαι τῆς ὁδηγίας ἡμῖν ὁ λόγος ἐδίδωσιν.

Ὡς μὲν ἐδὲν μᾶλλον τῷ λόγῳ προσῆκον, ἢ διώκειν ἐν παντὶ τὴν σαφήνειαν, ἢ ἑαυτὸς μὴ προσδιορίζειν, ἢ ταῖς τῶν ἀρχῶν σαφέσι τε καὶ βεβαίαις, ἢ τῶν πάνυ ἀληθῶν. ἀλλ' ἐκ ἀποδεχομένων ἁπάντων, ἢ τὸ προσδιορίζειν ἐν τοσέτῳ ἑαυτὸν ὄντος ἀναγκαίε, ἐφ' ὅτω προσδιοριςέον, εἴγ' ἀκριβῆ ἀπόδειξιν ἕνεκα τέτε ἀεὶ δεῖ ἐντεῦθεν προσμένειν; ἐλλείποντος τὸ τῆς βεβαιότητος ἄκρε βαθμὸ, ςέργειν χρὴ ἢ τῷ ἐλάττονι· ἢ γὰρ τῶν πιθανοτήτων μετρία τις, ἀποχρῶν λόγος τὸ ποιεῖν γίνεται, εἰ ταύτῃ μείζων τις ἐκ ἀντικέοιτο· μὴ ὢν δὲ παρ' αὐτὸ προδήλως βέβαιος ἕτος, σαφὴς γεμὴν ἢ βέβαιος κανὼν, τελάχιςον, ὃν ἁπάντων αἱρεμένες, τῇ ἀνάγκῃ, τῇ καθ' ἡμᾶς φύσει ἢ καταςάσει χρὴ ἕπεσθαι· ὄντων γὰρ ἡμῶν πεπερασμένε λόγου, ἢ βιαζομένων ἐν τοσέτῳ ἑαυτὸς προσδιορίζειν πράττοντας, εἰ ὅλην βεβαιότητα ἕνεκα τούτου ἔχειν, ἀναγκαῖον, τὸς, ἢ ἀρχὴν προσδιορισμὸ, τὸ πιθανὸν ἀσπάζεσθαι, μὴ ἐπινεύοντας, δυοῖν

ἀναγ-

ἀνάγκη θάτερον, ἤτοι τῷ ἧτ]ον πιθανῷ ϗ κατὰ τῦτυ ἑαυτὺς δεῖ προσδιορίζειν, ὃ τολμήσειεν ἂν προΐςαθαι ὐδεὶς, ἢ διὰ βίυ ἐν ἀμφιβολίᾳ διάγειν, ἀδιαλείπτως κυμαινομένυς διςαγῆ, ἀεὶ μονονὐ αἰωρυμένυς διαμένειν, μὴ πράττοντας, μηδὲ προελομένυς, ὐδὲ τῆς αὐτῶν ὁδηγίας ἀσφαλῆ κανόνα ἔχοντας, ὅ τῦ τῆς ἀνθρωπότητος ὅλου συςήματος, ἀκριβὴς ἀνατροπή.

## Περὶ Θεοῦ μεταφυσικῶς καὶ θεολογικῶς.

Τὴν ἀληθῆ ϗ πρώτην ἐτυμολογίαν τῆς λέξεως, Θεὸς, ὁρίζειν, ϗ τῶν πάντη δυσχερῶν ἂν ἤ· οἱ γὰρ τὴν, ἀφ᾽ ἧς ἡμεῖς ταύτην παρεδεξάμεθα, λαλῦντες διάλεκτον, ἀλλήλοις ὐδαμοῦ ταύτῃ ξυνάδυσιν· ὐδεὶς γὰρ, οἶμαι, ἀγνοεῖ, ὡς ἡ μὲν γαλικὴ λέξις, Dieu, τῆς λατινίδος, Deus, ἤδε δὲ τῆς ἑλληνίδος, Θεὸς, παράγεται, εἰ ϗ τῶν παιδείης ειδημόνων τινες τῇ τῶν λατίνων φωνῇ τὴν ταύτης ἀρχὴν ἀνατίθενται, εἴτε τῦ ῥήματος, dat, δίδωσι· παρὰ θεῦ γὰρ ἅπαντα δίδοται· εἴτε ϗ τῦ, deesse, δεῖν, ἅπασι γὰρ δεῖ τῦ θεῦ· αὐτὴν παράγοντες· ἀλλ᾽ ὡς βραχὺ ἁπτομένας τῆς τῦ ὀνόματος φύσεως τὰς ἐτυμολογίας τάσδε, πρὸς τρόπυ ϗ ξυμφώνως ταύτας οἱ τῶν ἐλλογίμων ἐλλογιμώτεροι ἀποτίθενται, οἷάπερ εὖ εἰδότες, τὴν λατίνων φωνὴν, Deus, τῆς τῶν ἑλλήνων, Θεὸς, ἧς ἡδεία, ἡ προφορὰ, θεὸς, παράγεσθαι· ζητεῖται δὴ ἤδη, ὅθεν οἱ τῶν ἑλλήνων παῖδες, αἰτίας δραξάμενοι, τῇ θεότητι τῦνομα τὸ δ᾽ ἀνέθεντο· Ἴων

γραμ-

γραμματικευομένων, καὶ ταῦτα τῶν ἔτι μείζονος ἡμμένων παιδείας, οὐχ ὁμοδοξούντων περὶ τούτου, οἱ μὲν τῆς λέξεως δέος, ἢ φόβον δηλοῖ, αὐτὸ παράγουσι· φόβον γὰρ ἐμπνεῖν, φασι, τοὺς θεοὺς, ταύτῃ καὶ δεῖ τούτους, φοβεῖσθαι· ἀλλὰ, κατασκευαζόντων ἐν τοῖς πρώτοις αἰῶσι τὰ τῆς διαλέκτου ὀνόματα, παραστῆναι τῇ αὐτῶν διανοίᾳ τὴν τοῦ Θεοῦ ἰδέαν, ὡς φόβου κυρίως ὑποκείμενον, βραχείας δοκεῖ πιθανότητος, καὶ ταῦτάγε, ὅτε καὶ δαιμόνας καὶ εὐεργέτας, αὐτοὺς τούτους κοινῇ ἐδόξαζον· ἄλλωστε δὲ, ἵν' εἶτα παράγειν εἶχον τὸ τῆς αὐτῶν ἀντιλήψεως ὄνομα ἐκ τοῦ περὶ τὸ ὄν, ὃ ταύτην αὐτοῖς ἐνέπνει, ὀνόματος, δοκεῖ, δειμαλέον ὑποκείμενόν τι δεῖν μᾶλλον προγινώσκειν, ἢ τὸ τούτου δέος· οἱ δὲ τοῦ ῥήματος, θεᾶσθαι, ὅπερ ὁρᾷν σημαίνει, πάντα γὰρ τὸ θεῖον ὁρᾷ, γίνεσθαι βούλονται τὸ, θεὸς, ἡ τῶν, ὅσαι τὴν παραγωγὴν τὴν δὲ κυροῦσιν, ἰδεῶν σχέσις, πιθανήν πως ταύτην ποιεῖ, οὐ μέντοι καὶ πείθειν ἱκανὴν, ὡς ἡ τοῦ ὄντος, ὅπερ ὁρᾷ, πρώτη ἰδέα, αὕτη, ἣν οἱ ἄνθρωποι περὶ θειότητος πεποίηνται· ἵνα γὰρ οἰκείαν πως αὐτὴν κατεσκεύαζον τῇ τοῦ Θεοῦ ἀρχοειδεῖ ἰδέᾳ, ἥπερ ἀεὶ παρίστατο, ἑτέρας τῶν ἰδεῶν ἐχρῆν ταύτης ἡγεῖσθαι ἐν τῷ ἀνθρωπείῳ νοΐ, τοῖς τούτων ὀφθαλμοῖς αὐτὴν ὠφέλιμον παριστώσας· τὰς γὰρ ἀναμφιβόλως ἐν τῇ διανοίᾳ τῶν ἄλλων ἁπασῶν ἡγουμένας, τὴν τὸ ὑποκείμενον δηλώσουσαν ἔκθεσιν φυσικωτέραν ἔδει παρέχειν, ἢ τὰς τοῖς ἀνθρώποις μακρᾷ μελέτῃ κατασκευαζομένας· βραχὺ δὲ τῇ τοῦ ὀνόματος, θεὸς, ἀρχῇ ταύτῃ ἀρκούμενοι οἱ πλείους τῶν ἐν λόγοις εὐδοκιμούντων, τοῦ ῥήματος, θέω, ὃ, τρέ-

χω,

χω, ὑπαινίττεται, παράγειν αὐτὸ, σφίσιν αὐτοῖς ξυνέθεντο· ὑποτιθέασι γὰρ καὶ οἵδε, ψευδῶς δὲ, ὄντας τοῦ παντὸς θεοὺς, τοὺς ἀστέρας, κἂν τῇ αὐτῶν κυκλοφορίᾳ ἱσαμένους μηδέποτε, τὰς τῶν ἀνθρώπων πρώτας ἰδέας ὑπάρχειν· ἀλλ' εἰ καὶ τοιάδ' ἡ τοῦ ὀνόματος, θεὸς, ἀρχὴ, οὐ μέντοιγε καὶ ὁ ὅρος, ᾧ ἂν αὐτοὺς τοιούτους, τοὐλάχιστον ἐν γένει, ἐφρόνουν· παρ' ἕλλησι γὰρ, καθόλου, ἢ ἐν μέρει, σημαίνειν τινα τούτων τοὔνομα, θεὸς, οὐδέποτ' ἐξείληπται· ἀλλ' ἠδή τις τούτω δέδοται τῶν ἐτυμολογιῶν, ἣν καὶ μείζονι πιθανότητι διδάσκουσιν οἱ σοφοί· τῶν ὀνομάτων οὐκ εὐαριθμ' ἄττα, φασὶν, οἱ τῶν ἑλλήνων παῖδες παρὰ τῶν ἀνατολικωτέρων γεννῶν, τῶν φοινίκων, φέρε, ἰουδαίων, ἢ χαλδαίων, ἢ καὶ τὰ τοῦ σφῶν αὐτῶν ἀλφαβίτου πρῶτα γράμματα, εἰλήφασι. παρὰ τούτοις δὴ τοὔνομα, ־ּי, δαΐ, ὅπερ ἑαυτῷ ἀρκοῦν, δυνάμενον, σημαίνει, τὴν θεότητα παριςᾶν εἴληπται· ἐντεῦθεν ἔτι κατεσκευάςαι τὸ, שַׁדַּי, σγχαδδαΐ, παντοδύναμον, ὅπερ οἱ μὲν ἑβδομήκοντα, ἱκανὸν, δυνατὸν, δεκτικὸν, μεθηρμήνευσαν, τῶν δὲ πατέρων ἔννιοι, αὐταρκές, ὅπερ αὐτὸ ἑαυτοῦ ἀρχὴ, ἀνεξάρτητον, κύριον, ὕψιςον· συγγνώμη μέντοι κἀμοὶ λέγειν, ξένον, βουλομένους, τὴν ἀναμφίβολον εὑρεῖν ἐτυμολογίαν τῆς ἑλληνικῆς λέξεως, θεὸς, ταύτην αἰτεῖν οὕτω πόῤῥω, ὅτε τὴν πάνυ κατὰ φύσιν εὕροι ἄν τις καὶ ῥαδίως ἐν τῷ, τιθέω, παρ' οὗ τοὺς πλείους τῶν αὐτοῦ χρόνων τὸ, τίθημι, ἠράνιςαι. δηλοῦν, ἐγὼ βάλλω, ὑπάρχειν, ἢ εἶναι, ποιῶ, ὃ τὴν τοῦ οὐσιαςικοῦ, θεὸς, φυσικὴν ῥίζαν ἡμῖν δω-

δωρεῖται, σημαῖνον τὸ, ὃ ὑπάρχειν ποιεῖ, ἢ ὃ τὴν ὕπαρξιν, τὴν φύσιν, τὸ μόνιμον τοῖς οὖσι παρέχεται.

Ἡ ἐτυμολογία ἥδε, ἣν τό,τε τῶν ὀνομάτων εἶδος, καὶ ἡ τούτων σημασία, οὕτω φυσικὴν ταύτην καθίστησι, τοσούτῳ πιθανωτέρα, ὅσῳ μᾶλλον ξυνάδουσα τῇ ἰδέᾳ, ἣν ἀείποθ' οἱ ἄνθρωποι ἐπορίσαντο, περὶ θεοῦ, εἴτ' οὖν τοῦ ὄντος, παρ' οὗ τὸ εἶναι ἅπαντα γινώσκει, ὃ πάντ' ἐποίησε, πάντα διετάξατο, πάντ' ἐν ἁρμονίᾳ, ἐν ᾗ ὄντα τυγχάνει, καὶ ἣν ἅπαντα σώζει, διέθετο.

Οἷαί ποτ' ἂν αἱ τῶν ἐτυμολογιῶν αὗται ὦσιν, ὧν ἡμεῖς οὐ προϊστάμεθα, εἰ καὶ τούτων ἡμῖν φυσικωτέρα δοκεῖ ἡ ἐσχάτη, ἡ γεμὴν ἰῆς τοῦ ὀνόματος τοῦδε, θεός, ἀρχῆς γνῶσις σχήσει ποτε τῆς τῶν πρώτων ἰδεῶν, ἃς ἔσχον περὶ θεότητος οἱ ἄνθρωποι, ἐκθέσεως ἐνάργειάν τινα κατασκευάζειν, εἴτε φυσικῶς, σειρᾷ τινι δηλ. τῶν ἐν αὐτοῖς ἐννοιῶν, εἴτε, ὃ καὶ πιθανώτερον, ἀποτελέσματι τῶν ἀμέσως παρὰ θεοῦ ληφθησομένων τινος μαθημάτων, καὶ παραδόσει διατηρηθησομένων· ἡμῖν μέντ' ἤδη οὐ τὰ ἐτυμολογικὰ ταυτὶ ζητήματα, τοὔσχατον περὶ τούτου καταφύγιον, ἀλλὰ τὰ τῶν ὀχυρωμάτων ἰσχυρὰ, ἐπὶ τὴν τοῦ κόσμου πρώτην ἡλικίαν ἀναγόμενα, ἐν οἷς καὶ τὰ τῆς τῶν ἀνθρώπων πρώτης πίστεως ἴχνη ἴδια ἂν ἀνεύροιμεν.

Ο῾σωπερ ἐπὶ τὴν πορρωτέρω ἀρχαιότητα ἀνίομεν, ἐπ᾽ ἐκεῖνα δηλ. τȣ͂ χρόνȣ, καθ᾽ ὃν ἦν τȣ͂ περὶ πάντων διαλέγεσθαι, ϗ τȣ͂ συστήματα ἐπινοεῖν, οἷς ἅπανθ᾽ ἑρμηνεύειν ἔσπευδον, τέχνην ἐκ φιλοσοφίας οἱ ἕλληνες συνέθεντο, τοσȣ́σω μεῖζον τὸ μονοειδὲς, τὸ ἁπλȣ͂ν, ϗ ἔτι τὸν λόγον ἐν ταῖς τῶν ἀνθρώπων ἰδέαις, ἃς ȣ̓͂τοι περὶ τȣ͂ τῆς θεότητος ὑποκειμένȣ ἔσχον, εὑρίσκομεν, ἅτ᾽ ἧττον πεφορτισμένης τῆς αὐτῶν διδασκαλίας ταῖς τῶν λεπτολογιῶν ἐξηκριβωμέναις, ϗ ταῖς τῶν κρίσεων ἐπισφαλέσι.

Α. Εἴς μάτην τῶν καθ᾽ ἡμᾶς τινες τὴν περὶ τὸ θεῖον καθόλȣ πίστιν καθελεῖν ἐπεχείρησαν, ἀμφίβολλον ἐντεῦθεν οἰόμενοι καταστήσειν τὴν τȣ́τȣ ὕπαρξιν· δέδεικται ϗ γὰρ τ᾽ ἀναντία, ὡς τῶν ἀπείρων λεὼν, γενεῶν, μικρά τις, ἢ μείζων, ȣ̓δέποτ᾽ ἐν τῷ τῇδε βίῳ μηδένα θεὸν γινώσκȣσα, ἔγνωσται, ἢ τὴν αὐτȣ͂ τȣ́τȣ πορίζομένη ἰδέαν, ταύτην, οἷά τιν᾽ ἀπάτην, ἀπέθετο, ἀκαδημίαν τιν᾽ ἀθείας συστησαμένη.

Β. Δευτέρα παρατήρησις, σκέψεως ȣ̓κ ἀναξία, διδάσκει, ὡς ἀείποτ᾽ ἐν ταῖς τῶν κοινωνιῶν ἐγνωσμέναις ἐννοεῖτο τῶν ἰδεῶν τις μᾶλλον, ἢ ἧττον, ἐξελιττομένη, ὄντος τινος, ȣ̓ τȣ̓͂νομα, οἷόν ποτ᾽ ἂν ᾖ, τῷ ὀνόματι, θεὸς, ἁπάντα, εἴτ᾽ ȣ̓͂ν ὄντος τινος, ὃ τὰ πάντα δημιȣργῆσαν, κύριον πάντων ἐστὶ, λογικὴν μοναρχίαν ἐπὶ τὸ κόσμον καταστησάμενον, ϗ μάλιστ᾽, ἐν εἴδει, ἐπὶ τ᾽ ἀνθρώπειον γένος, ὅσω ϗ ὑψηλοτέρα τȣ͂το κεκόσμηται τελειότητι, ἢ ἅπαντα τ᾽ ἄλλα, ὅσα ἐ-

νεργεῖ, τῶν ἀνθρώπων ἀνώτατος κύριος, εὐεργέτης, συντηρητὴς, νομοθέτης καὶ κριτὴς, ὃς τῇ αὐτῇ προνοίᾳ διευθύνων τὸν τούτων κλῆρον, ἀπεδέχετο μὲν, τῶν ἀγαθῶν προϊςάμενος, ἀπεδοκίμαζε δὲ, αὐτίκα, ἢ μετ' οὐ πολὺ, τοὺς πονηροὺς τιμωρούμενος.

Γ. Ἐφ' ὅσον δήποτε τῆς πλάνης καὶ ἀλογίας βάθος ἐχώρησαν εἰσέπειτα οἱ ἄνθρωποι περὶ τὸ τῆς θεότητος ὑποκείμενον, ἡ θεοῦ τινος ἔννοια, οἷά περ ἡμῖν καὶ περιγέγραπται, οὐδέποτε δὲ ὅλη τῆς αὐτῶν διανοίας ἀπήλειπται· πανταχοῦ γὰρ ἀνευρισκομένη, τὸν τῆς πίςεως συγκροτεῖ θεμέλιον, οὐ τῆς ἁπάντων, φημὶ τῶν ἐθνικῶν, (τούτων γὰρ ἔννιοι τὴν πᾶσαν κατέθεντο σπουδὴν, ἐφ' ᾧ ταύτην ἀλλοιοῦντες, ἀπαλείψωσι, τὸ ὅλον αὐτὴν καταςρέφοντες), ἀλλὰ τὸν τῆς ἁπασῶν τῶν κοινωνιῶν, γεννεῶν, λεὼν, τύπον, ὥπερ ἅπασαι αἱ ἐσύςερον ἀνακυρηχθεῖσαι τῶν θρησκειῶν ᾠκοδόμηνται, τὴν τῆς λογικῆς λατρείας τῶν πρώτων ἀνθρώπων ἀρχὴν, καὶ τὴν τῆς δεισιδαίμονος τῶν ἐπιγινομένων, τὴν σεβασμίαν βάσιν τῆς αὐτῶν ἀπαραιτήτου ὀφειλῆς.

Δ. Παρατετήρηται τέτταρτον, ἅπαντα προμηνύειν, ὡς αἱ θεμελιώδεις αἵδε καὶ ἁπλαῖ τῶν ἰδεῶν πᾶσαι, ὑπερφυσικῆς τινος ἀποκαλύψεως καρπὸς, ἧς παραδόσει τὰ μέρη δέδοταί τισι τῶν πρώτων ἡλικιῶν, αἵπερ, εἰ καὶ πάνυ βραδέως, μεταβάλλειν ἀλλ' ἣν ἤρξαντο, ὡς μὴ πρὶν ἀπολακτίσασαι, ἢ οὔτ' ἔνθεν μὲν ἧτῶν ποιη

τῶν

τῶν ἀκινδύνιστος φαντασία τὸ κοινὸν ἐς ἀπάτην παρεσύρετο ταῖς τῶν ἐκθέσεων συμβολικαῖς, ὅσαι κατὰ μόνον ἐννοοῦντο τὸ γράμμα· ἐκεῖθεν δὲ, ὅτε οἱ τῶν φιλοσοφούντων ἀλαζόνες συστήματα ἐξευρίσκειν ἐν στησάμενοι, ἵν᾽ ἅπαντα διὰ τούτων ἀναπτύσσοιεν, ἠγωνίσαντο λόγου δοῦναι τῆς μυθολογίας ψιλαῖς τῆς φύσεως ἑρμηνείαις, οὐκέτι, κατὰ τοὺς αὐτῶν προγόνους, συνάγειν ἅπανθ᾽, ὅσων αὐτοῖς παραδόσει ἡ ἀρχαιότης μετέδωκεν, ἐκζητήσαντες, οὐδὲ τῇ φιλοσοφίᾳ ἔτι, ὅπως αὐτὴν ταύτην εὕρωσι τὴν ἀλήθειαν, χρησάμενοι, ἀλλ᾽ ὅπως αἱρέσεις, ὧν ἤτοι πρῶτοι καὶ αἱ λέσιμοι κεφαλαὶ, συστήσωσι.

Ε. Σημειοῦται πέμπτον, ὡς αἱ γενεαὶ, ὅσαι τῆς ἀρετῆς μᾶλλον ἀντεποιοῦντο, τῶν πρώτων τούτων ἐννοιῶν ἀεὶ ἧττον ἀφίσταντο· τῶν δὲ φιλοσοφούντων οἱ ἀρχαιότεροι, ἐνδοξότεροι, καὶ τῷ τοιοῦτοι εἶναι ἀξιώτεροι, ἐπὶ τὴν ἁπλῆν ταύτην πίστιν ὑπερτάτου τῶν ὄντων τινος, ποιητοῦ καὶ τῶν ἁπάντων συντηρητοῦ, εὐεργέτου, νομοθέτου, τῶν ἀνθρώπων κριτοῦ, ἀξίου τῇ αὐτοῦ τελειότητι τῆς τούτων ἀγάπης, τῶν ἐν τούτοις ὁμήρων, τῆς αὐτῶν ὑποταγῆς, φίλου τοῖς ἀγαθοῖς, ἐχθροῦ τοῖς κακοῖς, τῆς κακίας ἐκδικητοῦ, καὶ τῆς ἀρετῆς βραβευτοῦ, τὴν θρησκείαν ἀεὶ ἐπανάγειν ἐξεζήτησαν.

Τοιάδ᾽ ἡ κατ᾽ ἡσίοδον ἰδέα, ἣν ἐν τοῖς τῶν ἡμερῶν καὶ ἔργων ποιήμασιν αὐτοῦ δίδωσιν οὗτος· ἢ τοῦ ὁμήρου, ὃς εἰ καὶ τὸν τῆς διδασκαλίας ταύτης θεμέλιον σώζει, τοῖς γεμὴν ξυμβόλοις αὐτὸν

τὴν ἀλλοιοῖ· ὁ Ἑρμῆς, ὁ Ζωροάστρης, ὁ Λίνος, ὁ Ὀρφεὺς, ὁ Θαλῆς, ὁ Πυθαγόρας, ὁ Σωκράτης, ὁ Πλάτων, ὁ Ἀριστοτέλης, συνιστᾷν τε καὶ ἐξελίττειν αὐτὴν ἠγωνίσαντο· ἥδε παρὰ χαλδαίοις, πέρσαις, σκύθαις, καὶ τοῖς τούτων κλόνοις, κινέοις, ἄραψι καὶ ἰνδοῖς διὰ πλείστου τετήρηται.

ϛ. Εἰ καὶ μὴ ἐκπρέμνων ἀνεσπάσθη, ἀλλ' ἀνεπαισθήτως ἀλλοιωθεῖσα, ἠμαύρωται, ἀμελείᾳ τῶν ἐπὶ ταύτην κληθέντων, ὅσοι τῇ ταύτης καθαρότητι ἐν διατηρεῖν αὐτὴν ἔμελλον, συμβολικαῖς ἐκθέσεσι τῶν ποιητῶν, οἱ μόνοι ἐπὶ πλεῖον ἐν τοῖς αὐτῶν ποιήμασι τὴν ἀρχαίαν διεσώσαντο παράδοσιν, ὅτι συμβόλων γέμουσα ἡ τούτων ὁμιλία, τὰ πλήθη ἦγεν ες ἀπάτην· ἀντὶ γὰρ τοῦ τὸν θεὸν, ὡς ἅγιόν τε καὶ δίκαιον παριστᾷν, τὰ τῶν ἀνθρώπων πάθη τούτῳ ἀνετίθεντο, οὐκέτι, οἷα θεῷ, ἀποδεχομένῳ μὲν τὸν ἀγαθὸν, ἀποδοκιμάζοντα δὲ τὸν κακὸν, οὐδὲ βουλομένῳ ποιναῖς, ἃς, οἷα φάρμακον, ἡ τῶν ἀνθρώπων διαφθορὰ ἀπῄτει, ἐπί τε τὴν ἀρετὴν καὶ τὴν εὐδαιμονίαν τούτους ἀνακαλεῖσθαι, ἀλλ' ὑβριζομένῳ ἄρχοντι, τοὺς αὐτοῦ ἀποστάτας, οἷς ἐνεκότει, ἀμυνομένῳ.

Ἀνοιχθὲν ἅπαξ τὸ τῆς συμβολικῆς διδασκαλίας ὀλέθριον στάδιον, ἀπείρους τῷ πλήθει ἔδοξεν ἐκχέειν τὰς ἀπάτας· ἡ τοῦ μόνου ὄντος σοφὴ διοίκησις, οὐκέτι ἡ πρόνοια, ἀλλ' ἡ μὴ εὐαρίθμων ὑπαλλήλων διοικούντων, τὸ ἔργον διανενεμημένων, οἱ ταχθέντες τὰς τῆς θεότητος διαφε-

φόρυς τελειότητας, ϗ τὰ τῶν ὄντων διάφορα κατηγορήμενα ἑρμηνεύειν ὑπὸ τὴν τῆς ἀπείρυ σοφίας ὁδηγίαν, ὐ πίνακας τοῖς τῶν λαῶν ἀπλήςοις προσέφερον, ἀλλὰ θεοτήτων πληθὺν, τῇ εἱμαρμένῃ ὑποκειμένων, ϗ τὰ πολλὰ ὐδὲ κατὰ βραχὺ ξυναδυσῶν ἀλλήλαις.

Ζ. Καίτοι κατανοησάντων ἐννίων τὴν τῆς θεολογίας ἀλλοίωσιν, ἀλλ' οἵ τε ἱερεῖς ϗ ἡγεμόνες προσόδων πηγὴν ϗ μέσον τῦ δεσποτικῶς ἄρχειν τῦ λαῦ μηχανησάμενοι, τὸ μὲν πλῆθος ἐν τῇ ἀπάτῃ παρῃτήσαντο, ὑπὲρ δὲ σφῶν αὐτῶν τὴν τῆς ἀληθείας γνῶσιν ἐτήρησαν, ταύτην μὴ κοινύμενοι, ὅ, τι μὴ, ὑπὸ τῇ τῦ μεγίςῃ ἀποῤῥήτυ σφραγίδι, μόνοντισιν, ὓς καὶ σφοδροτάτας εἰσπράττεσθαι τὰς δίκας ἠδύναντο· πιθανὸν, ἐν γένει, ϗ λόγος ἀποχρῶν, ὡς τὰ τῆς ἀρχαίας, ἁγνῆς ϗ ἁπλῆς διδασκαλίας ταύτης, ἣν παρὰ θεῦ εἰλήφασιν οἱ ἄνθρωποι, μυςήρια τὺς ὀργιάζοντας νεοπαγεῖς ἐμυῦντο· καθ' ὅρον δὲ τὸν ἴσον ϗ οἱ φιλοσοφῦντες αὐτοὶ, μὴ μόνον διδασκαλίαν ἔσχον κοινὴν ϗ σύμφωνον ταῖς τῶν ἰδεῶν ληφθείσαις, ἀττ' ἀποτίθεσθαι ταύτας μὴ τολμῶντες, ἀλλὰ δὴ ϗ μυςικὴν, ἣν ὐκ ἐδίδασκον, πλὴν εἰμὴ εὐαρίθμοις τῶν ἐπιλέκτων μαθητευομένων· ὕτως ἡ ἑνὸς θεῦ, παντελεῖυ, κυρίυ, συντηρητῦ, διευθύντορος, νομοθέτυ ϗ κριτοῦ γνῶσις ἐπὶ πολὺ τετήρηται ἐν μεγίςῃ καθαρότητι, ἀεὶ μὲν, ὀλίγοις, πολλοῖς δ' ὔ.

Η. Καίτοι ταῖς τῶν αἰτιῶν τέτων διαφόροις ἐς τὸ τῆς ἀπάτης ἄμετρον σκότος ἐμπεσὸν τὸ κοινὸν, καὶ τῶν θεῶν μὴ εὐαρίθμους ἀποδεχόμενον, τέτων ὅμως ὑπερτάτῳ τινι, ὑφ' ὃν οἱ λοιποὶ πάντες ὑπέκλινον, σαθερῶς δοκεῖ πισεύειν· οἵας ἀτόπους τῶν ἰδεῶν, ἃς κατεσκεύαζεν, ἐκτᾶτο περὶ θεότητος, οἵας ἀντιφάσεως αἵτε τέτε ἔννοιαι, καὶ τὰ, ὅσα ἐν τῷ τῶν αὐτῦ ἰδεῶν διαγράμματι εἰσῆγε, κατηγορέμενα ὑπῆρχον, ἀεὶ ποτ' ἀλλ' ἐν τῆς αὐτῦ ὁμιλίας καὶ λατρείας δυνατὸν συνάγειν, ὡς θεῷ τινι ἐπείθετο, ὄντι αὐτῦ ὑψίςῳ κυρίῳ, τῇ αὐτῦ θείᾳ προνοίᾳ διοικῦντι τὰ πάντα, τὲς ἀνθρώπες τὴν ἀρετὴν ἀπαιτῦντι, καὶ τὲς τῆς αὐτῦ ὑψηλῆς δικαιοσύνης, ἢ τὲς μὲν παραβαίνοντας ἐκόλαζε, τὲς δὲ κατορθῦντας ἐςεφάνε, νόμες τηρεῖν βελομένῳ, λατρείαν, ὕμνοις, χάριτος ἔργοις, δεήσεσι, τὴν αὐτῦ ἐπικαλεμέναις ἐπιείκειαν, καὶ πρεσβείαις, αἷς τὴν τῶν αὐτῷ πεπλημμελημένων ἄφεσιν σχήσει, βεβηκυῖαν ὤφειλεν ὁ ἄνθρωπος· θεωρῦντι ἤδη πλῆθος ὅλον τοῖς ἐσιν, ὅσα καὶ θεὸν ἐκάλει, τοιάνδ' ἀπονέμον τὴν λατρείαν, τῶν ἀνεφίκτων διςάζειν, ὡς ἄλλη ἡ τέτε κοινὴ ἰδέα, ἢ τοιῦτον ὑφιςάμενόν τι ὂν, παντέλειον, ἀναγκαίως ὑποτιθεμένας τὴν τοιαύτην λατρείαν, σχέσεις πρὸς ἀνθρώπες ἔχον.

Θ. Κατὰ τῆς ἑνότητος τῆσδε τῶν ἐν ἅπασιν ἰδεῶν τὰς τῶν ταύτης ἀπονευσάντων φιλοσόφων δόξας προβαλῦσιν, ἧπε, τινὲς ἐν ταῦθα· παρατηρητέον ὅμως, ἔνθεν μὲν, ὡς, εἰ καὶ ἀποδέδεικται, τὲς τῦ πλήθες θεὲς ἀρνεῖσθαι

τέ-

τούτων τινας, ἀλλ᾽ οὐ καὶ ἅπασαν ἀπεσείσαντο θεότητα· τῶν γὰρ τῆς δεισιδαιμονίας ἀτοπημάτων οἱ τῶν νόων δικαιότατοι, οἷόσπερ, ὁ τοῦ Θαλοῦ, Σωκράτους, Πλάτωνος, Κικέρωνος, Σενεκα, ἀπεςάτουν, ὡς τὸ ψεῦδος τῶν τοῖς ποιηταῖς ἐξευρεθέντων μύθων, τοῖς δ᾽ ἱερεῦσιν ἐπικυρωθέντων τε καὶ ἀφιερωθέντων, εὐμάλα κατιδόντες, θεὸν γεμήν τινα, οἷον ὧδε κατ᾽ ἀρχὰς περιεγραψάμεθα, οὐδ᾽ οὗτοι αὐτοὶ ἀπέφασκον, ὃ καὶ ὑπὲρ οὐδ᾽ εὐαρίθμων ἄλλων, λέγειν, πάνυ πρόχειρον· τοὺς κύβους ἀλλ᾽ οὖν ἀεὶ ὤφθησαν ῥίψαντες, ὡς ἄθεοι, ὅσοι τῇ τε συνηθείᾳ καὶ τῷ τῆς ἀφιερωθείσης διδασκαλίας κύρει μὴ εἶξαν· ἐκεῖθεν δ᾽ αὖ σημειωτέον, ὡς οἱ τούτων πλείους, ὅσοι διδασκαλίαν τινα, ἐπὶ τὸν ἀθεϊσμὸν εἰσάγουσαν, ἐδίδαξαν, οὐχ ἁπτόμενόν τι τῆς θεότητος διδάσκειν, ἀλλὰ μόνον διὰ τῶν φυσικῶν αἰτίων, τὴν τοῦ παντὸς ἀρχὴν καὶ συντήρησιν ἀναπτύσσειν, προέθεντο, καὶ εἶθ᾽ ὅπως σχέσει τῇ πρὸς τὸ πᾶν, ἐν γένει, ὑφεςὸς, ἐνεργεῖ τὸ θεῖον, καὶ ταῦτ᾽ οὐκ ἄλλως, ἀλλ᾽ ἢ ὡς φυσικοί· προαγαγόντων ἀλλ᾽ οὖν ἐπὶ πλέον τὰς τοῦ καθ᾽ αὐτοὺς συςήματος τῆς κοσμογονίας συνεπείας, ὡς καὶ τὸν θεὸν αὐτὸν ξυγχέειν τῷ κόσμῳ, ἢ τοῦτο ποιητὴν ὄντα ἀρνεῖσθαι, ξυνέβαινέ τισι τούτων, τὰς τελειότητάς τε καὶ πρὸς ἡμᾶς αὐτοῦ σχέσεις, ὅσαι τῇ μὲν θεότητι ἀναγκαῖον ὑποκείμενον, ἡμῖν δ᾽ ὑποταγῆς καὶ λατρείας αἴτιον, τῷ κόσμῳ, οἷα θεῷ, ἀνατίθεσθαι· ἢ, εἴγε καὶ ἐπέφερον, ὡς οὐκ ἔςι θεὸς, οὕτως εὐαρίθμους προςάτας ἔσχεν ἡ τούτων δόξα, ὡς κοινωνίαν, ὅσην ἄν τις καὶ ἀποδεχόμενος, εὐάριθμον ὑποθῇ, οὐδέποτε συνεςή-

ςήσαντο· αἱρεῖσθαι δὴ τὴν ευαρίθμων δόξαν, ϗ τέτων βραχύτι ἀλλήλοις ὁμονοέντων, ϗ κακῶς συλλογιζομένων, ϗ ὧν γε τῇ διδαχῇ τῶν κοινωνιῶν ἐδεμία ἠκολέθησε, πρὸ τῆς τῶν ἀεὶ ϗ πανταχῦ ἀνθρώπων μονοειδῦς ξυμφωνίας, ἀμήχανον· διαμένειν δὲ, ὑπομνήμασιν ἐπιφορτίζοντας τόδε τὸ κεφάλαιον, ϗ μαρτυρίαις, αἷς ἐν ταῦθα καταλέγειν ἔχομεν, ἀποδεικνύοντας, ἢ κἂν τοῖς ἡγεμένοις ἐδὲν ἄνευ ἱκανῆς ἀποδείξεως πρεβαλλόμεθα, ἐπιμηκύνειν ἂν εἴη· οἱ γὰρ παιδείας ἄπειροι τῶν μαρτυριῶν, ἃς ὑπὲρ τῶν κοινῶν παρατηρήσεων παρέξομεν, τὴν δύναμιν ἐκ ἂν αἴσθοιντο· ἐπιςάμενοι δὲ ταύτας οἱ τῷόντι σοφοὶ, ἥκιςʼ ἀγνοῦσιν, ὡς ἐδὲν ἡμῖν εἴρηται, ὃ μὴ ϗ τεθεμελίωται.

Ἔπετʼ ἐκτῶν παρατηρήσεων τῶνδε, ὧν ἀναμφίβολοι, αἱ ἀποδείξεις, ὡς ἡ τῶν ἀνθρώπων καθόλυ συμφωνία ϗ συγκατάθεσις, ὡς μία τις, οἷα δήποτε, θεότης, ὑπάρχει, τὸν τῶν ἀνθρώπων κλῆρον διαιτωμένη, τῶν τῆς ἀρετῆς φυσικῶν νόμων κυρία, ἀποδεχομένη τε ϗ βραβεύεσα τὲς, ὅσοι τέτες τηρᾶσιν, ἀποτιθεμένη δὲ, τἀναντίον, ϗ κολάζεσα τὲς ἀθετοῦντας, πραγματικόν τι ὑπάρχει, ὃ μόναι, ἡτʼ ἀμάθια ϗ ἡ κακοπιςία εἰς ἀμφιβολίαν ἀνακαλεῖν, ἢ ἀντιλέγειν, δύναται.

Προςιθεμένη τῇ τῦ θεῦ ὑπάρξει, ἡ τέτων σύμφωνος ψῆφος, ὡς ἀσφαλὴς ἀπόδειξις, θεὸν ὑπάρχειν, ἐννοίς τῶν καθηγητῶν τεθεώρηται· κικέρων γὰρ ϗ μάξιμος, ὁ τύριος, μετὰ ϗ ἄλλων

λων τῶν πάλαι, καὶ τῶν καθ' ἡμᾶς οἱ πλείους, ταύτῃ, οἷα δαφνηφόρῳ τῶν ἐπιχειρημάτων, ἐχρήσαντο· ἃ δὴ δυνατὸν ἐντεῦθεν συνάγειν, ταῦτ' ἐςὶν, ὡς τὴν μὲν τῆς καθόλȣ ταύτης συγκαταθέσεως βεβαιότητα ἔγνων οἱ καθηγηταὶ ἄτοι μαξ. τύρ. διαλ. 19 καὶ 30. κικ. τȣσ. ζήτ. βιβ. 10. τὴν δ' ἀπόδειξιν, ἣν ὑπὲρ τῆς προκειμένης ἀληθείας ἐπάγειν βȣλονται, ἀποδέχεσθ' ὡς τοιαύτην, ἄτοπον ἡμεῖς οἰόμεθα, ἅττε μὴ τοιαύτην ἄσαν· ἀρνεῖσθαι δ' αὖ, ταύτην μὴ κρατύνειν τὴν ἀλήθειαν, κενοδοξίας ȣ̓ τῆς τυχȣ́σης θείη ἄν τις τȣ̃το· τῆς δ' ȣ̓́τω καθόλȣ καὶ σαθερᾶς συγκαταθέσεως δȣ̃ναι λόγον ἄλλως, ἢ ὡς ἀεί τε καὶ πανταχȣ̃ τοῖς ἁπάντων φυσικοῖς φωσὶ ξυνᾴδȣσα εὑρηται ἡ τοιαύτη πίςις, ȣ̓δὲν ὅλως ποτὲ τȣ́τοις τῶν ἀσυμπαθήτων, ἢ τῶν ἀναγκαίως πως ἀπαιτȣμένων ὅσοις ἂν ἀσφαλῶς ἐγινώσκετο, προσάγȣσα, καὶ τῶν πάνυγε δυσκόλων· ὁ τῆς πίςεως ταύτης φυσικὸς σύνδεσμος ταῖς, οἷάπερ ἀσφαλέσιν, ἐγνωσμέναις τῶν ἀληθειῶν, ȣ̓́τω ξένον φαινόμενόν τι τῶν φιλοσοφȣ́ντων ἔδοξέ τισιν, ὡς τȣ́τῳ πειθομένȣς, ἐπιφέρειν, ὡς εἰμὴ, οἷα ἔμφυτον τῇ ἑαυτῆς ὑπάρξει, ταύτην συνῆγεν ἡ ψυχὴ, ȣ̓δ' ἂν αὐτηγε ὅλως ὑφίςατο· ἀλλ' οἶδ', ἤπȣ, ȣ̓ προτέσχον, ὡς, εἴγ' ἔμφυτος, εἴτ' ȣ̓̃ν πρός-τȣ̃ δημιȣργȣ̃ τῇ ἡμετέρᾳ ψυχῇ ἐγκεχαραγμένη, ἦν ἂν παρὰ πᾶσιν ἡ αὐτὴ, καὶ ἀλλοιȣ̃σθαι, ἢ ἀπαλείφεσθαι, ȣ̓κ ἂν ποθ' οἵα τε ᾖ· ταύτην, ἔμφυτον μὲν ȣ̓̃, ὁ λώκιος, δεκτικότητα δὲ τ' ἀντιλαμβάνεσθαι τῆς τῶν γινωσκομένων σχέσεως, καὶ, τὸ προκείμενον ἐξετάζοντας, τὸ ψεῦδος τῆς ἀληθείας διακρί-

κρίνειν, ϗ μάλα τοιαύτην ἀποδέδειχε· τῆς ἄρα συγκαταθέσεως ταύτης συνάγειν δυνατὸν, ὡς ἅπαντες, ὅσοι τὸ τῆς θείας ὑπάρξεως ἀνελίττουσι δόγμα, ἐπέβαλον, λόγου, ἀποδοχῆς ἀξίου, ϗ τοῖς τῶν φώτων φυσικοῖς πάνυ ξυμφώνου, τοῦτο μᾶλλον ἔχεσθαι, ἢ ὁ, τιοῦν ἄλλο τῶν τούτου ἀντικειμένων· τῷόντι γὰρ οὐ μᾶλλον πρὸς τῶν μειζόνων φιλοσόφων πάντων, ἢ τοῦ κοινοῦ λεὼ, τοῦτ' ἀποδέδεκται.

Εἰς μάτην ὁ τοῦ τῆς φύσεως συστήματος καθηγητὴς ἀσυγγνώστῳ ἐκτραχηλισμῷ λέγειν τολμᾷ, ὡς, ὅσοι ποτε τὴν ὑπ' ὄψιν μηδέποτε πίπτουσαν ἰδέαν τοῦ θεοῦ συγκροτεῖν πεῖραν εἰλήφασι, τῶν ἀπαθῶν ϗ ἀναισθήτων· αὐτοῖς δὲ τούτοις ϗ τοὺς μείζονος μὲν ἀγχινοίας λαχόντας, τῶν δ' ἄλλων σοφωτέρους, ϗ τῶν σοφῶν συνετωτέρους δόξαντας, ἢ κατὰ τὴν παντὸς τοῦ κοινοῦ συγκατάθεσιν, τοσούτῳ τοὺς παρὰ τοῖς πάλαι, ὅσῳ ϗ τοὺς τοῖς καθ' ἡμᾶς, χρεὼν ἔτι συντάττειν· ἀγνοῶ, εἰ ὁ πάντολμος οὗτος εἰς μόνον ἑαυτὸν τὸν τοῦ σοφοῦ τε ϗ πεφωτισμένου χαρακτῆρα, πολλῇ αὐθαδείᾳ περιποιούμενος, οὕτω μακρὰν πραγματείαν συνθέμενος, ἀποδείξων μόνον, ὡς οὐκ ἔστι θεὸς, οὐκ εὐαρίθμους τῶν ἀναγινωσκόντων τῇ τῆς ἀτόπου προθέσεως αὐτοῦ ὀρθότητι πείσει, πιστεύειν παρασκευάζων τούτους, ὡς ὁ Βάκων, ὁ Καρτέσιος, ὁ Λώκιος, ὁ Λεϊβνίτιος, ὁ Νεύθων, ὁ Κλάρκιος, ὁ Οὐόλφιος, οἵους οὗτος, ἀναισθήτους ϗ ἀμαθεῖς, ἀφρόνων, ἀποκαλεῖ· οἱ γὰρ αἰδοῦς ϗ εὐλαβείας ἄξιοι οὗτοι τῶν ἀνδρῶν, θεῷ τινι πιστεύοντες, τὰς περὶ τοῦτον αὐτὸν ἰδέας ἑαυτοῖς ἐγκατεσκεύαζον. Τὴν

Τὴν τῆς θεωρίας ταύτης δύναμιν μειώσων, διαφόρους ψευδεῖς τῶν σκέψεων ὁ αὐτὸς οὗτος καταλέγει, δι᾽ ὧν ἡ τῆς τῶν ἀνθρώπων ψήφου ξυμφωνία πρὸς τῆς τούτων ἀπάτης μηδὲν ὅλως κωλυομένη, καὶ μᾶλλον κρατύνεται· τοιαῦται δ᾽ ἡ τῶν θεῶν πληθὺς, ἡ τῶν ἀςέρων ἐπὶ τὸν κλῆρον ἡμῶν ἐπίῤῥοια, αἱ χρησμῳδίαι, ἡ τοῦ ἡλίου περὶ τὴν γῆν κίνησις· παρατηρητέον γεμὴν, ὡς ἰῶν ὑποδειγμάτων τῶνδε τὸ ὕςατον, ὑποκείμενον πίςεως, πάνυ διαφόρου εἴδους, παρέχεται· μὴ ξυγχωρουσῶν ἡμῖν τῶν αἰσθήσεων, μόνας ταύτας βουλευομένοις, κρίνειν, ὡς ἡ γῆ, καὶ οὐχ ὁ ἥλιος, κινεῖται, βραχύ τι, ἐν γένει, τοῖς ἀνθρώποις ξυμφέρει, ὁ πότερον τούτων ἀκίνητον· ἀνελθούσης τήμερον ἐπὶ τὴν αὐτῆς τελειότητα τῆς ἀςρονομίας, ἅπαντες οἱ ταύτης ἐπήβολοι σφίσιν αὐτοῖς ὁ μονοῦσι, τὴν γῆν περὶ τὸν ἥλιον τὰς αὐτῆς ποιεῖσθαι περιόδους· ἀλλ᾽ οἱ τῶν ἀθέων συλλογισμοὶ, καὶ ταῦθ᾽ ὁ τούτων ἔσχατος, τῷ τῶν ἐιδημόνων φιλοσόφων πνεύματι παρήγαγον τ᾽ αὐτὸ ἀποτέλεσμα; ἐπείσθησαν τούτοις οἱ τούτων σοφώτεροι, ὡς οὐκ ἔςι θεός; πρὸς οὐδὲν ἄρ᾽ ὧδε τὸ κατ᾽ αὐτὸν ὑπόδειγμα.

Α᾽ποδεικνύειν, ὡς ἄλογον, ἑνὶ θεῷ πιςεύειν, τὰ τῶν τούτου ὑποδειγμάτων λοιπὰ οὐκ ἂν ἔχοι· ἡ πολυθεΐα, ἡ μαγεία, ἡ ἀςρολογία, προλήψεις, ἀμέσως πρὸς τὴν μιᾶς θεότητος πίςιν, ἧς ἄνευ οὐδεμίαν ἂν ἔσχον χώραν, ἀφορῶσαι· οὕτω τὸ τῶν ἀποδεξαμένων τὰς ἀπάτας ταύτας πλῆθος, καινή τις ἀπόδειξις τῆς ἐν τῇ συγκαταθέσει, περὶ ἧς ὁ λόγος, πραγματι-

τικότητος, τὴν τῆς συμφωνίας τῆτε τῶν πραγμάτων φύσει ϗ τῷ ὀρθῷ λόγῳ ἐπαγομένην συνέπειαν ἐπιῤῥωννῦσα· ἄλλως ἑδρασμῷ τῶν ψευδῶν δοξῶν τέτων τὴν αὐτὴν καταλέγειν ξυμφωνίαν, ἢ τὸ περὶ θείας ὑπάρξεως δόγμα ἑδράζει, ὐκ ἄν τις δύναιτο· τὸ τῶν ἰεδαίων, ὠθωμανῶν, χριςιανῶν, πλειόνων τῆς ἀρχαιότητος φιλοσοφέντων γένος, ὐδ᾽ εὑρίσθαι ἄλλ᾽ ἅττα μὴ ἐγνωσμένα, ἥκιςα πολύθεα, ὐδ᾽ ἐπαγγελλόμενα τοιαῦτα· ἥτε μαγεία ϗ ἀςρολογία πρὸ πολλῦ πᾶσιν, ὅσοι τὸν ἐν αὐτοῖς λόγον ἐπιμελείᾳ καλλιεργῦσιν, ἢ μέλημα ται, τὴν περὶ αὐτῶν πίςιν τοῖς πεφωτισμένοις πάντη ἀπωλέσασαι· τἀναντίον, οἱ τῶν φιλοσοφέντων πρώτιςοι ξυμφώνως ἅπαντες ἀποδεικνύεσιν, ὡς ὑπάρχει θεός τις· εἰ δὲ καί τισιν ἡ διδασκαλία ἥδε πολεμεῖται, ὐκ ἀρνέμεθα· ἀλλ᾽ ὁ τέτων ἀριθμὸς τὴν τῶν λεων ἁπάντων συγκατάθεσιν ἱκανὸς διαῤῥηγνύειν; ἡ δ᾽ αὐτῶν ἐπίδοσις, ἀξία τὴν αὐαὐτῶν δόξαν ἀντιςαθμεῖν τῇ πίςει, ἧς ἅπαν τὸ τῶν ἀνθρώπων λοιπὸν ποιεῖται τὴν ἐπαγγελλίαν;

Φαίης δ᾽ ἄν τις, ὡς περὶ τῆς, ἣν ἔχειν δεῖν ἰδέας τῦ θεῦ ἀλλήλοις ὐχ ὁμοφωνῦσιν οἱ ἄνθρωποι· ξύμφημι· ἀλλ᾽ ἔνθεν μὲν παρατηρῦμεν, ὡς ἡ τῶν δοξῶν τέτων ποικιλλία, ἀπόδειξις, ὔτ᾽ ἔμφυτον, ὐδὲ μηχανικὴν ὑπάρχειν τὴν τῦ θεῦ ἰδέαν, ἀλλ᾽ ἤτοι καρπὸν θείε μαθήματος, παραδόσει τηρυμένε τοῖς, ὅσοι τῦτο διδαχθέντες, οἰκειοποιῦνται, οἷα λογικώτατον αὐτὸ εὑρόντες, ἢ μελέτης ϗ λογισμῦ τῶν, ὅσοι τοῖς

αὐ-

αὐτῶν φυσικοῖς φωσὶ χρησάμενοι, ἀεί τε καὶ πανταχοῦ ἀλλήλοις, πιστεύειν ἑνὶ Θεῷ, ὡμολόγουν, εἴτε παραδόσει, ἣν τῷ χρόνῳ μεταβάλλειν ἐδέησε, τὴν ἰδέαν ταύτην παρέλαβον, εἴτε καρπὸν οὖσαν τοῦ ὀρθοῦ λόγου, ὃς οὐκ ἐπίσης φωτίζει ἅπαντας· ἰδεῶν γὰρ ποικιλλίαν ἑαυτοῖς μὴ ἔχειν ὑπὲρ ταύτης, ἀμήχανον· διαφέρειν ἀλλ' οὖν ἀλλήλων τὰς περὶ ὑποκειμένου τινος δόξας, οὐκ ἔστι τὴν τοῦτ' ἀνυπαρξίαν αὐτὰς ἀποδεικνύειν· δυνατὸν, συλλογιστικὴν ἀρχὴν παρ' ἡμῖν μὴ ὑπάρχειν, ὃ κατὰ τῆς ἀληθείας, τὴν ἡμῶν ἑκάστου ὁμολογούσης ὕπαρξιν, ὅ,τι μὴ τὴν αὐτὴν ἰδέαν ἅπαντες ποιΐζονται; ἐκεῖθεν δὲ, ὡς, εἰ καὶ περὶ ταύτης ἀλλήλοις διαφέρονται, ἀλλ' οὐδὲν ἧττον καθόλου καὶ κοινὰς ἀρχὰς ὑπὲρ ταύτης ἔχουσιν, εἶναι, φέρε, ὡς ὁ Θεὸς, ἢ ἐν γένει, ἡ Θεότης, κύριος τοῦ παντὸς, τοῦ τῶν ἀνθρώπων κλήρου διαιτητὴς, τῇ αὐτοῦ προνοίᾳ τὰ πάντα διοικῶν, τὴν ἀρετὴν τιμῶν καὶ τὴν κακίαν κολάζων· ταύταις δὴ ἅπανθ', ὅσα γινώσκεται, πλήθη ἀλλήλοις ξυμβαίνοντα, τούτων καὶ τῆς λατρείας, ἣν παρέχονται τῷ, ᾧ πιστεύουσι, Θεῷ, ἄρχονται· ἐπιφέρομεν δὴ ἐντεῦθεν, ὡς, εἰ μὴ ἐξ ἀποκαλύψεως, ὑπάρχειν Θεὸν, ἔμαθον, οὔθ' οἱ τῶν σοφωτάτων μαθήματι, λόγῳ λαβεῖν ταύτην ᾠήθησαν, ἢ, εἴγε χρώμενος κατ' ἀξίαν ταῖς, ὅσαις κεκόσμηται, τῶν δυνάμεων φυσικαῖς, ἐφ' ᾧ τὴν ἀλήθειαν ἀνακαλύπτειν, ὁ ὀρθὸς λόγος, οὐκ ἀεί τε καὶ πανταχοῦ συλλογισμῷ ἐπὶ τὴν ἑνὸς Θεοῦ πίστιν ὡδήγηται, ταύτην τῷ παντὶ ἐνδιεσπάρθαι, καὶ τῷ τῆς ψυχῆς βάθει ἐγκεχαράχθαι, ὡς ἐν τῷ τῶν ἁπασῶν, δίχα ἐξαιρέσεως, γενυεῶν

πνευ-

πνεύματι ἐγένετο, μὴ ἐν ἅπασι τηρȣμένην τοῖς αἰῶσι, ϗ τȣ̀ς μᾶλλον πεφωτισμένȣς, τȣ̀ς συνετωτέρȣς, τȣ̀ς τῷόντι σοφωτέρȣς, προςάτας ἔχȣσαν, ἦν ἂν τῶν ἀμηχάνων· ξυγχωρεῖν τȣ̀λάχιςον δεῖ, ὡς ἡ ȣ̔́τω μεγίςη ξυμφωνία, ἣν καθ᾽ οἷον δήποτε καιρὸν ϗ χρόνον ἠσπάσαντο, φαινόμενον, ἄνευ παραδείγματος, τὴν τȣ̃ φιλοσόφȣ προσοχὴν ἱκανωτάτȣ νύττειν, φαινόμενον, ὅπερ ἄλλως ἀναπτύσσειν ȣ̓κ ἂν δυναίμεθα, ἤ, εἰ λέγοιμεν, δεῖν μηδὲν ἐν τῷ βίῳ τῇ κοινῇ ἡμῶν ἐννοίᾳ μᾶλλον ξυνᾴδειν, ἢ τὴν θεȣ̃ τινος πίςιν, δημιȣργȣ̃, συντηρητȣ̃, κυρίȣ τȣ̃ παντὸς, εὐεργέτȣ, νομοδότȣ, ϗ τῶν ἀνθρώπων κριτȣ̃, ᾧ δεῖ τῶν ἡμετέρων ὁμήρων ϗ τῆς ὑποταγῆς.

Ἀεὶ ϗ πανταχȣ̃ τὴν τȣ̃ δόγματος τȣ̃δ᾽ ἀκρίβειαν τῇ αὐτῇ ἐννοίᾳ ϗ φωνῇ τηρεῖσθαι πᾶσιν ἐδέησε· τίς γὰρ ἀπάτη ὑπὲρ αὐτῆς τοιαύτην ξένην ἔσχε ποτὲ ξυγκατάθεσιν, θριαμβεύουσα κατὰ ταυτὰ ἐφ᾽ οἵαν δήποτ᾽ ἐπιφορὰν τῶν ἐν ἀνθρώποις παθῶν, ἀπαςῶν τῶν αἰτιῶν, ὅσ᾽ ἀλλοιȣ̃σαι, τὰ τῆς παραδόσεως ἴχνη ἀπογράφονται, τῆς φιλοσόφων τινῶν ὁρμῆς, τȣ̃ κέρδȣς, ȣ̓, ταύτην ἀποτιθέμενοι, ἀπήλαυσαν ἂν οἱ ἄσωτοι;

Εἰ τῷ τȣ̃ συςήματος τῆς φύσεως καθηγητῇ πειθόμεθα, ἅπαν, ὅ,τι ἐν τῷ παντὶ ξυμβαίνει, ἀναγκαῖον ἐν ἑκάςῳ τῶν ὄντων ἀποτέλεσμα τῆς τȣ́τȣ ἰδίας ἐνεργείας ϗ ἀπαραίτητος τȣ̃ ὄντος συνέπεια· ἤ, ὅπερ ἐς ταυτὸν φέρει, ȣ̓δὲν τῶν ἐν τῇ φύσει γινομένων γίνεται, ἢ ὅ-

περ

περ ἡ φύσις αὐτὴ ὁρίζει· ἔπετ' ἄρ ἐντεῦθεν, ὡς ἡ Θεᾶ τινος πίςις, τοιάδε τις παραγωγὴ τῆς φύσεως, οἵαπερ ἡ τῆς ἡμῶν αὐτῶν συντηρήσεως ἐπιθυμία, καὶ τὸ τῆς περὶ ἡμᾶς ἀπωλείας δέος· ἡ ἀθέων τινων βοὴ κατὰ τᾶ φυσικᾶ τᾶ δε νόμα, ὃς Θεῷ τινι πιςεύειν ἡμᾶς πείθει, ᾶδὲν μᾶλλον ἀποδεικνύει, ἢ ἡ τῶν εἰδικῶν τινος αὐτοχειρία, ὡς, ἐφιεμένης σώζειν ἑαυτᾶς, φιλεῖν αὐτὸ τὸ ζῆν, οὐ κατὰ φύσιν.

Ἔροιτ' ἄν τις ἡμᾶς ὧδε, πόθεν τοῖς ἀνθρώποις ἐνέφυ ἡ ἑνὸς Θεᾶ πίςις; σκεπτόμενοι τὴν κατάςασιν, ἐν ᾗ τῶν βρεφῶν δύω τυγχάνει, ἐνδρυμῶνι πρὸς ἄρκτων τρεφόμενα, παντὸς εἴδους ἀποροῦντα διδασκαλίας, ὅπως ἂν παρ' αὐτᾶ τὸ τᾶτων αἵροιτο πνεῦμα ἐπὶ τὴν ἑνὸς Θεᾶ ἔννοιαν. ξυμβάλλειν τοῖς ὅλοις ἀμηχανᾶμεν· ἀλλὰ τῇ τ' ἀνθρωπείᾳ πνεύματος προόδῳ, τᾶτα χάριν ἑπόμενοι, ὁρῶμεν, ὡς οἱ τῶν συγγραφέων ἀρχαιότεροι, ποιηταὶ, ῥήτορες, ἱςορικοὶ, τὴν τᾶ Θεοῦ ὕπαρξιν, ᾶχ ὡς καινόν τι τῶν δογμάτων, ἀλλ' ὡς ἐνᾶσαν τ' ἀνθρωπείῳ πνεύματι ἰδέαν, διδάσκᾶσι, πότε δὲ καὶ πρὸς τίνος αἱ τῶν τεχνῶν διάφοροι ἐξευρέθησαν, τὸν μὲν, ἐν ᾧ ἄγνωςοι αὗται, χρόνον ἱςορᾶσι, τὸν δ', ἐν ᾧ ᾶδεὶς Θεῷ ἐπίςευεν, ἢ τὴν ἐποχὴν, ἐν ᾗ τὴν αὐτῆς γέννεσιν ἡ ὑφεςηκυῖα πίςις εἴληφεν, ἢ τὸν καθηγητὴν, ὃς ταύτην πρῶτος ἐδίδαξεν, ᾶδεὶς λέγει· προπροσοχῇ δ' ἐπὶ τὴν ἀρχαιοτέραν ἀνιὼν παλαιότητα, κατανοῶ, ὡς, οἷα τι τῶν ἀναμφισβητήτων χρῆμα, ἐν παντὶ καιρῷ ἐγνωσμένον, ἀεὶ τᾶ

δόγ-

δόγμα τοῦτο παρῆν, ἐφ' οὗτω ἑδρασμῷ οἱ τῶν πάλαι μᾶλλον ἐσταλμένοι, ζητήμασιν, ἢ συλλογισμοῖς μὲν οὔ, μόνῃ δὲ τῇ τῶν παρῳχηκότων αἰώνων ὁμολογίᾳ ἐχρῶντο· ὡς, ὅσον ἁπλουστέρα ἡ πίστις ἦδε, τοσοῦτον ἐλάττοσι καὶ τῶν δυσχερειῶν ὑποκειμένη· τὸ γὰρ δόγμα τόδε ταῖς διαλέξεσι χώραν παρασχεῖν, ταῖς ἀκριβολογίαις πεφορτίσθαι, δυσχερέσι τε καὶ ἀπολύτως ἀσυνάπτοις διδασκαλίαις κατανοεῖσθαι, ταῖς ἀμφιβολίαις καὶ τῷ ἀθεϊσμῷ χώραν δοῦναι, οὐκ ἤρξατο, ἢ ὅτε, παρ' οὐδὲν λογισθείσης τῆς παραδόσεως, μεταφυσικοὶ, ἀντὶ ταύτης, συλλογισμοὶ ἀντικατέστησαν· οἱ γὰρ τῶν φιλοσοφούντων πρῶτοι μόνην ἀπόδειξιν τῆς τοῦ Θεοῦ ὑπάρξεως, τὴν ἁπάσης τῆς ἀρχαιότητος καὶ τῶν λεὼν ἁπάντων σταθερὰν παράδοσιν καταλέγουσιν· ὅταν, φημὶ, ἐφ' ἅπαντας τούσδε τοὺς στοχασμοὺς ἐπισκοπῶν ἐπιβάλλω τῇ διανοίᾳ, διστάζειν οὐκ ἔχω, τὴν τῆς καθόλου καὶ στερεᾶς πίστεως, ὡς ὑφέστηκε Θεός τις, πρώτην πηγὴν, τὴν ὑπερφυσικὴν τυγχάνειν ἀποκάλυψιν, ἧς αὐτὸς οὗτος τοῖς τῶν ἀνθρώπων πρώτοις τὴν γνῶσιν, οἷα τῇ τούτων τελειότητι καὶ εὐδαιμονίᾳ ἀναγκαίαν, ἐδωρήσατο.

Εἰ μὴ τὴν Θεοῦ τινος πίστιν πρὸ πάντων θείᾳ τινι ἀποκαλύψει ὀφείλομεν, δέον ἀλλ' οὖν ταύτην, οἷα τοιαύτην, θεωρεῖν, ἐφ' ἣν ἐν παντὶ καιρῷ καὶ τόπῳ ἀναγκαίως ὡδηγήθησαν οἱ ἄνθρωποι τῇ τοῦ παντὸς θεωρείᾳ, τῇ ἀκριβεῖ σκέψει τῶν ὄντων, ὧν τὴν φύσιν, κατασκευὴν, καὶ τὰς σχέσεις, ὡς καὶ προσεκτικῇ μελέτῃ ἑαυτοὺς, οἷοί ποτε τυγχάνουσι, κατανοοῦσιν.

Οἷας

Οἵους ποτ᾽ ἂν ἀναισθήτους τοὺς ἐν ὁτῳοῦν χρόνῳ ἀνθρώπους ὑποθῇ τις, τούτους, παρ᾽ ἑαυτοῦ γεγονότι τῳ πειθομένους, ἐξ ἀναιτίων ὑφισαμένῳ ἀποτελεσμάτων, ἐντελῆ τάξιν, ἀκριβῆ σχέσιν πρός τε τὰς αἰτίας καὶ τ᾽ ἀποτελέσματα, ὠφέλιμόν τι τέλος ἅπασι τοῖς συστήματός τινος γνωστοῖς τῶν μερῶν, ἔχοντι, ἢ τὴν ὕπαρξιν παρ᾽ οὐδενὸς εἰληφότι, οὐδὲ τῶν ὄντων νοητῷ τινι συνημμένῳ, ἥκιστα δεῖ αἰτιᾶσθαι, εἰ καὶ ὁ τοῦ τῆς φύσεως συστήματος καθηγητὴς ἀμαθεῖς, ἀλόγους καὶ ἀνοήτους αὐτοὺς τούτους καλεῖ· οὐδέποτε γὰρ οὕτως ἀμαθεῖς καὶ ἀναίσθητοι, ὡς πιστεύειν, τύχῃ, ἢ τῶν αἰτιῶν τινι, διανοίας ὅλως ἀπορήσῃ, τὸν ὀφθαλμόν, δι᾽ οὗ ὁρῶμεν, κατεσκευάσθαι, τὸ οὖς, ᾧ τῶν διαφόρων ἤχων ἀντιλαμβανόμεθα, τὰ τῶν ὀργάνων γεννητικά, οἷς τὸ γένος ἅπαν παρεκτείνεται, τὸν στόμαχον, ᾧ τὰ τρωκτὰ καὶ ἐδώδιμα πεπτόμενα, εἰς τροφὴν μεταποιεῖται τὴν ἡμετέραν, τὴν καρδίαν, ἥπερ, οἷα ἐλατηρίῳ ἡ τοῦ αἵματος διατηρεῖται κυκλοφορία, τὴν οἴκου τινὸς οἰκοδομήν, οἵας ποτ᾽ ἂν ᾖ οὗτος ἁπλότητος, μόνῃ τῶν αἰτιῶν τυφλῇ τινι ἀνατιθεμένους· αὐτὸς ὁ τοῦ πνεύματος προσδιορισμός, ᾧ τῇ τ᾽ ἀρχιτέκτονος διανοίᾳ ἀνάκτορόν τι, ὁ πίναξ, ὃν τῇ τοῦ ζωγράφου δεξιότητι, τὸ ὡρολόγιόν τι, ὃ τῷ τοῦτο μηχανησαμένῳ, ἀπονέμομεν, ἀεὶ ἐπὶ τὴν τοῦ παντὸς θεωρίαν αὐτοὺς ἦγον, ὡς τὴν ὕπαρξιν, τὴν τάξιν, τὰς τῶν σχέσεων ξένας, τῶν αἰτιῶν τινι πρώτῃ, διανοουμένῃ, ἐλευθέρᾳ, τὸ παράδειγμα κατασκευασάσῃ, τὰ τέλη πηξάσῃ, ἐκλεξαμένῃ, καὶ τοῖς μέσοις χρησαμένῃ, ἀφιεροῦν· τὴν τῶν ὁμολογουμένων τελῶν ἐπαχθεῖσαν ἀπόδειξιν ταύ-

την, κοινόν τι τῶν ἐπιχειρημάτων τινάλλως καλέσωσιν, ὡς ὐδὲν ἧττον τοιαύτην, ὐδ᾽ ἀπορήσασάν ποτε λόγυ, ῶ τύς τε κοινὺς, ὧν ὑψηλή τις μεταφυσικὴ τ᾽ ἀκόνητον πνεῦμα ὐκ ὤξυνε, καὶ τὺς τῶν σοφῶν ὑψηλοτέρυς, ὅσοι τ᾽ ἀληθὲς ἁπλῶς ἀνιχνεύειν σπεύσαντες, τὴν ἀλήθειαν αὐτὴν ὐκ ἠμαύρωσαν, τῇ αὐτῆς εναργεία ἐξεπληξε, ταῖς, ὅσαι τῦ αὐτῶν συςήματος πρῦκυπτον, δυσκολίαις τε ϗ ἀντιφάσεσιν ἀντιτιθέμενην ἀπορίας, ἐπὶ τῷ τῶν πραγμάτων πῶς, ὅσαι τὴν αὐτῆς πραγματικότητα μὴ κατέλυον.

Τῇ συνεπείᾳ, ἣν ἡ τῦδε τῦ παντὸς, ἐν ᾧ τὴν διανοητικῆς τινος αἰτίας ἐνέργειαν ἅπαν τακαταγγκέλλει, θεωρία δίδωσιν ἐπάγειν φύσει περὶ τῦ τὴν αἰτίαν ταύτην ὑπάρχειν, δυσχερεςέραν εἰς λῦσιν ὑπόθεσίν τινα προτείνοντες, τοῖς ὅλοις ὐκ ἀρνῦνται, (ὐδὲ γὰρ ἂν ἔχοιεν), τὴν τάξιν, τὰ τέλη, καὶ τὴν τῶν εκλελεγμένων αἰτιῶν, αἷς τάτε προορώμενα ϗ ζηλύμενα τῶν ἀποτελεσμάτων κατασκευάζεται, σχέσιν, ἀλλὰ πείθειν ἡμᾶς, ὅπως θεόν τιν᾽ ἀποδέχεσθαι ἀπαλλαγῶσιν, ἐπείγονται, πιςεύειν, ὡς ὐδὲν ἀλλ᾽ ἢ θέαμα, τὸ πᾶν τόδε, ἀπείρων αἰτιῶν πρόοδόν τιν᾽ ἐμφαῖνον, ἤτοι γινώσκειν βιαζόμενοι, ὡς τῶν ὄντων, ὧν τό, τ᾽ ἄθροισμα ϗ ἡ διαδοχὴ αὐτὸ τῦτο συγκροτεῖ, ὐδὲν ὑφίςαται, ἢ παρ᾽ ὅσον τῶν αἰτιῶν τις ἡγυμένη τύτω τὴν ὕπαρξιν δέδωκεν, ἄμετρον, εἴτ᾽ ὖν ἄπειρόν τινα σειρὰν αἰτιῶν εννοῦντες ὗτοι, πρώτης αἰτίας ὐκέτι λέγεσθαι οἴονται, ὅ, τ᾽ αὐτὸν ὑποτιθέναι, ὡς δύω τῶν ὄντων, ἢ τύτων χίλια, ἅπαντ᾽ ἐνδε-

χό-

χόμενα, δίχα πρώτης αἰτίας ὑφίςασθαι μὴ ἔχοντα, παύσονταί τοι, τοιαῦτα ὄντα, καὶ πρώτης αἰτίας δεόμενα, ἀπείρῳ ἀριθμῷ πεποιηκότι ταῦτα, ἤτοι, ὡς ἄριςα, ἐν τῷ τῆς αὐτῆ φυσικῆς θρησκείας σχεδίῳ, ὁ βολλαςὼν ταύτην ἑρμηνεύει, δύω μόναι τῶν δακτυλίων ἁλύσεις, ἐν τ' ἀέρι μὴ ἐκ τῆ, ὃ καταβαινάσας ταύτας κωλύει, αἰωράμεναι, ςηρίζεσθαι ἐκ ἂν δύναιντο, αἰωρημένη δὲ ἐπὶ τῆς κεφαλῆς ἡμῶν μία, ἧς τὰ κάτωθεν τῆς γῆς ἐχ ἅπτεται, ἅπασα μόνη ἐρείσματος ἄνευ ςήσεται, ὑποτιθεμένα ἀπείρα τᾶ τῶν ταύτης δακτυλίων ἀριθμᾶ· ὑπόθεσις, ἧς τ' ἄτοπον οἱ φιλοσοφᾶντες ἅπαντες ἴσασιν.

Ἐπεὶ τὴν τᾶ θεᾶ ὕπαρξιν πολεμεῖν τῶν ἀθέων τινες ἔσπευσαν, τῶν ἐπιχειρημάτων διαφόροις καὶ διαφόρα γένας συλλογισμοῖς περὶ τούτου χρησάμενοι, ἕπεσθαι τὰς θεῖςας ἔδει τέτοις ἐν ταῖς τῶν κατ' αὐτὰς φλυαριῶν διαφόροις πλοκαῖς, τοῖς μὲν τῆς ἠθικῆς σκέψεως ἐξαχθεῖσι τὰς τῶν προβλημάτων ἠθικὰς ἀποδείξεις, ταῖς δὲ τῆς φυσικῆς δυσκολίαις τὰς φυσικάς, καὶ ταῖς μεταφυσικαῖς τέως τὰς μεταφυσικὰς συλλογισμάς, ἀντιτάττοντας· αἱ μὲν τῶν τῆς ὑπάρξεως τᾶ θεᾶ ἀποδείξεων ἠθικαὶ τῆς τᾶ κοινᾶ λεὼ συμφωνίας τε καὶ συγκαταθέσεως, περὶ ἧς ἤδη προείρηται, ἐρανίζονται, ταῖς τῆς τῶν ἱςορικῶν μαρτυρίας ἐξαγομέναις συμπίπτασαι· αἱ δὲ φυσικαί, τῆς τάξεως, ἣ τᾶ παντὸς κρατεῖ, καὶ τῶν διαφόρων ἰδίων, οἷς τῶν ποιημάτων κεκόσμηταί τινα, τῆς ἐν τῇ ὕλῃ φύσεως, τῆς κινήσεως, ἣ ταύτῃ μὴ ἐσιώδης, καὶ τᾶ νᾶ, ὅπερ ἢ δ' ἀνεπίδεκ-

δεκτος· τῶν δὲ μεταφυσικῶν ἐπιχειρημάτων, ἐκτὸς τῶν, ὅσα ἐν τοῖς διαφόροις ἐδαφίοις, ὧν ὑπομνησόμεθα, ἐναρίθμοις τισι, τῆς τοῦ κλαρκίου σοφωτάτης πραγματείας, ἐπιγραφομένης. πραγματεία τῆς τε ὑπάρξεως καὶ τῶν κατηγορημένων τοῦ Θεοῦ, ἐρανισθεῖσι, τοιούτοις δὲ, οἷα ταῦθ᾽ ὁ κύριος φορμεὺς ἐν τῇ τῆς αὐτοῦ πραγματείας πρώτῃ ἐκδόσει ἐξέθετο, ἐπὶ τῇ λέξει, Θεὸς, ἐνταῦθ᾽ ἡμᾶς αὐτοὺς περιορίσομεν.

Οἱ συλλογισμοὶ, οἷς πράγματι ὁ κύριος ἐχρήσατο κλάρκιος, πυκνή τις ὑφὴ, συνεχὴς ἅλυσις προτάσεων, στενῶς ξυνδεδεμένων, καὶ ἀλλήλων ἀναγκαίως ἠρτημένων, αἷς τὴν τῆς θείας ὑπάρξεως βεβαιότητα οὗτος ἀπέδειξε, καὶ ὧν εἰσάγε τὰ τῆς αὐτοῦ φύσεως κατηγορήμενα, ὅσα ὁ ἐν ἡμῖν πεπερασμένος λόγος ἀνακαλύπτειν, ἱκανὸς, ἄλλο ἐπ᾽ ἄλλῳ ἐξῆγε.

## Πρότασις Α.

Ἀπ᾽ αἰῶνος ὑπάρχει τι· δήλη, ἡ πρότασις· ἐπεὶ γὰρ ἤδη ὑπάρχει τι, σαφὲς, ὡς ἀεὶ ὑπῆρχέ τι.

## Β.

Ἀπ᾽ αἰῶνος ἀνεξάρτητον καὶ ἄτρεπτόν τι ὑπάρχει· Ἰόντι γὰρ, εἴπερ ἀναγκαίως ἀπ᾽ αἰῶνος ὑπάρχει τι, τοῦτο, ἤτοι ἄτρεπτον καὶ ἀνεξάρτητον δεῖ ὑπάρχειν, ἢ ὄντων ἄπειρόν τινα σειρὰν χρεῶν ἔχειν, ἅπερ ἀλλήλων ἀρτώμενα· καὶ

τῇ

τῇ μεταβολῇ ὑποκείμενα, ἐν ἀπείρῳ προόδῳ ἄλληλα παράγει, προκαταρκτικὴν αἰτίαν τῆς αὐτῶν ὑπάρξεως ἐδεμίαν γινώσκοντα· ἄτοπον ἀλλ' ἐν τὸ δεύτερον· ὡς ἡ ἐπ' ἄπειρον ἥδε σειρὰ, ἐχ ὅπως ἀδύνατος, ἀλλὰ ϗ ἀντιφατική. σκεπτομένοις γὰρ ταύτην, οἷα ἄπειρον ἄλυσιν ὄντων, ἀλλήλων ἠρτημένων, σαφὲς, ὡς ἐ μόνον ἐδεμίαν ἐξωτερικὴν αἰτίαν τῆς αὐτῶν ὑπάρξεως ἅπαν τὸ τέτων ἄθροισμα γινώσκει· τίθεται γὰρ, ὡς, ὅσατ' ἐςι ϗ ἦν ἐν τῷ παντὶ, ἐκείνῃ ἐμπεριείληπται· ἀλλ' ἐδ' ἐσωτερικήν· ἐδὲν γὰρ τῶν ἐν αὐτῇ, ὃ μὴ τῦ ἡγυμένυ ἤρτηται· ἐκ ὄντων δ' ἀναγκαίων τῶν ταύτης μερῶν, πρόδηλον, ὡς ἐδ' ἅμα πᾶντ' ἀναγκαίως ταῦθ' ὑπάρχει. ἡ γὰρ τῦ ὑπάρχειν ἀπόλυτος ἀνάγκη, ἐκ ἐξωτερικὸν, σχετικὸν ϗ ξυμβεβηκός τι τῦ, ὅπερ ἀναγκαίως ὑπάρχει· ἄπειρός τις ἄρα διαδοχὴ τῶν ἀλλήλων ἠρτημένων ὄντων, ἄνευ προκαταρκτικῆς ϗ ἀνεξαρτήτυ αἰτίας, τῶν ἐν τῷ παντὶ τὸ μάλλον ἀδύνατον.

## Γ.

Τ' ἄτρεπτον ϗ ἀνεξάρτητον, ὃ ἀπ' αἰῶνος ὑπάρχει, παρ' αὐτῦ ὡσαύτως ὑπάρχει· ἅπαν γὰρ, ὅ,τι ὑπάρχει, ἤτοι ἐκ τῦ μηδενὸς παρήχθη, πρὸς οἱασῦν αἰτίας μὴ παραχθὲν, ἢ πρὸς ἐξωτερικῆς παρῆκται, ἢ παρ' αὐτῦ ὑπάρχει· λέγειν δ' ἐκ τῦ μηδενὸς παρῆχθαί τι, πρὸς αἰτίας τινος μὴ παραχθὲν, εἰδική τις ἀντίφασις· πρὸς δὲ, ἅπαν, ὅ, τι ὑπάρχει, πρὸς ἐξωτερικῆς αἰτίας παρῆχθαι, ἀδύνατον, ὡ δέδεικται, ἄρα κτ.

Τῆς

Τῆς τρίτης ταύτης προτάσεως συνάγω, Α. ὡς τὴν τοῦ ὄντος ὕπαρξιν, ὅπερ ἀναγκαίως τε καὶ παρ' ἑαυτοῦ ὑπάρχει, ἀρνεῖσθαι, μὴ προδήλως ἀντιφάσκοντας, τῶν ἀμηχάνων· οὔσης ἀπολύτου, οὐσιώδους καὶ φυσικῆς τῆς, ᾗ τοῦθ' ὑπάρχει ἀνάγκης, ἀρνεῖσθαι τὴν τούτου ὕπαρξιν, οὐ μᾶλλον ἀδύνατον, ἢ τὴν τῆς μεταξὺ τῶν ἀριθμῶν, 2. 2 = 4, ἰσότητος σχέσιν, τὴν τοῦ κύκλου στρογγυλότητα, τὰς τοῦ τριγώνου τρεῖς πλευράς, κτ.

Ἡ δευτέρα ἥδε συνέπεια, ἣν τῆς ἀρχῆς ταύτης ἐξάγω, ἐστιν, ὑπάρχειν τὸν ὑλικὸν τοῦτον κόσμον, τὸ πρῶτον, τ' ἀρχαῖον, τ' ἄκτιστον, τ' ἀνεξάρτητον, καὶ παρ' ἑαυτοῦ αἰώνιον ὄν, ἀδύνατον· δέδεικται γάρ, ὅ, τι ἀπ' αἰῶνος ὑπάρχει, ἀνεξάρτητον καὶ ἐξωτερικῶς ἀναίτιον, τοῦτο παρ' αὐτοῦ ἀναγκαίως, καὶ τῆς αὐτοῦ φυσικῆς καὶ οὐσιώδους ἀνάγκης δεῖ ὑπάρχειν· ἐκ δὲ τούτων ἁπάντων προφανῶς ἕπεται, ὡς τὸν ὑλικὸν τόνδε κόσμον, ὑπάρχειν ἀνεξάρτητον καὶ παρ' αὐτοῦ αἰώνιον, ἀμήχανον, πλὴν εἰ μὴ ἀναγκαίως, καὶ ἐξ οὕτως ἀπολύτου καὶ φυσικῆς τινος ἀνάγκης ὑπάρχει, ὡς τὴν αὐτὴν ὑπόθεσιν τοῦ μὴ ὑπάρχειν, εἰδικῶς ἀντιφατικὴν τυγχάνειν· οὐσῶν γάρ, τῆς τε τοῦ τοῦτον τοιοῦτον ὑπάρχειν ἀπολύτου ἀνάγκης, καὶ τῆς τοῦ τοιοῦτον, τοῦτον μὴ ὑπάρχειν δυνατότητος, ἀντιφατικῶν ἰδεῶν, σαφές, ὡς οὐκ ἀναγκαίως οὗτος ὑπάρχει· εἴγε δίχ' ἀντιφάσεως νοεῖν ἔχω, ὡς ἠδύνατο οὗτος μηδόλως ὑπάρχειν, ἢ ἄλλο τι, ὃ μὴ τήμερον, ὑπάρχειν, οὐ ῥᾳότερον καθορᾶν, οὐδέν· καὶ γάρ, εἴτε τὸ τοῦ παντὸς σχῆμα

μα μετὰ ϗ τῆς τῶν τȣ́τȣ μερῶν διαθέσεως καὶ κινήσεως σκέπτομαι, εἴτε ϗ τῆ, ᾗ τȣ͂το ξυντίθεται, ὕλῃ προσέχω, ȣ̓δὲν ἐν τȣ́τῳ ὁρῶ, ἢ τῶν πρὸς ἀρέσκειαν· εὑρίσκων δὲ τῷόντι ἀνάγκην τινα ἁρμονίας ἐν τȣ́τῳ, θεῶμαι, ὡς τ᾽ αὐτȣ͂ μέρη ἔδει διατάττεσθαι, βραχύτατον γεμὴν φαινόμενον τῇ τῆς φύσεώς τε ϗ ȣ̓σίας τȣ́τȣ ἀναγκῃ ταύτῃ, ἧς προπολεμȣ͂σιν οἱ ἄθεοι, ȣ̓χ ὁρῶ.

## Δ.

Τὸ παρ᾽ αὐτȣ͂ ὑπάρχον, ἄπειρον ϗ πανταχȣ͂ παρὸν δεῖ ὑπάρχειν· ἡ τῆς ἀπειρίας, εἴτ᾽ ȣ̓ν ἀμετρίας, ϗ ἡ τῆς αἰωνιότητος, ἰδέα, ȣ́τω στενῶς τῇ τῆς παρ᾽ αὐτȣ͂ ὑπάρξεως ξυνδέδεται, ὡς, τιθεμένης θατέρας, ἀνάγκη ϗ τὴν ἑτέραν τίθεσθαι· τῷόντι γὰρ, ὑπαρχειν παρ᾽ αὐτȣ͂, ἀπολύτῳ, ȣ̓σιώδει ϗ φυσικῇ τινι ἀνάγκῃ ἐςὶν ὑπάρχειν· ȣ́σης δὲ ταύτῃ ἀπολύτȣ τῆς ἀνάγκης ταύτης, κ᾽ȣ̓δ᾽ ἐσωτερικῆς τινος αἰτίας ἠρτημένης, πρόδηλον, ὡς πανταχȣ͂, ἢ ϗ ἀεὶ, ἡ αὐτὴ ἀναλλοιώτῳ τρόπῳ· ἑπομένως δ᾽ ὅ, τι ȣ̓ν δι᾽ ἀπολύτȣ εἰς ἑαυτὴν ἀνάγκης τινος ὑφέςηκεν, ἄπειρον, ἢ ϗ αἰώνιον, ἀναγκαίως εἶναι δεῖ· τιθέναι, ὡς δυνατὸν παρ᾽ ἑαυτȣ͂ ὑπάρχειν πεπερασμένον τι, σαφὴς, ἀντίφασις· εἰ δίχ᾽ ἀντιφάσεως νοεῖν δύναμαί τι, τόπȣ τινος ἀπὸν, τȣ͂τ᾽ αὐτὸ δίχ᾽ ἀντιφάσεως ϗ ἄλλȣ τοιȣ́τȣ, ϗ εἶτ᾽ ἄλλȣ, ϗ τέως παντὸς· ὥςε, οἵαν ποτ᾽ ἂν ἔχῃ τȣτὶ ἀνάγκην τȣ͂ ὑπάρχειν, πρὸς ἐξωτερικῆς αἰτίας ταύτην χρὴ λαμβάνειν· ἔχειν γὰρ αὐτὴν τῆς αὐτȣ͂ φύσεως,

σεως, ἀμήχανον· ταύτῃ οὐδὲ παρ᾽ αὐτοῦ ἑπομένως ὑπάρχει.

Τῆς λόγου ὁμολογουμένης ἀρχῆς ταύτης συνάγω, ὡς τὸ παρ᾽ αὐτοῦ ὑπάρχον, ἁπλοῦν, ἄτρεπτον ϗ ἄφθαρτον, ἀμερὲς, ἄσχημον, ἀκίνητον ϗ ἀδιαίρετον εἶναι δεῖ, ϗ τοῖς ὅλοις τοιοῦτον, ᾧ τῶν τῆς ὕλης ἰδιοτήτων οὐδεμία ὅλως ἐνυπάρχει· ἅπασαι γὰρ αἵδε τὴν πεπερασμένου τινος ἰδέαν ἡμῖν ἀναγκαίως παρέχονται.

## Ε.

Τὸ παρ᾽ αὐτοῦ ὑφιστάμενον, ἀναγκαίως ἓν ὑπάρχειν δεῖ· ἡ τοῦ πρώτου ὄντος ἑνότης, τῆς αὐτοῦ ἀναγκαίας ὑπάρξεως συνέπεια φυσικὴ τυγχάνει· ἡ γὰρ ἀπόλυτος ἀνάγκη, ἁπλῆ ϗ μονοειδὴς, ὡς οἵαν δήποτε διαφορὰν, ἢ ποικιλλίαν μὴ γινώσκουσα· ὅτι πᾶσα διαφορὰ, ἢ ποικιλλία ἀναγκαίως πρόεισιν ἐξωτερικῆς τινος αἰτίας, ἧς ϗ ἤρτηται· ὑποτιθέναι δὲ δύω, ἢ πλείους, φυσικὰς διαφορὰς, παρ᾽ αὐτῶν ἀναγκαίως τε καὶ ἀνεξαρτήτως ὑφισταμένας, προφανὴς, ἀντίφασις· ἑκατέρας γὰρ τούτων μὴ ἠρτημένης τῆς ἑτέρας, ῥᾷστα δυνατὸν ὑποτιθέναι, ὡς νοεῖν θατέραν τούτων καθ᾽ αὐτὴν μόνην ὑπάρχειν, τὴν δ᾽ ἑτέραν μὴ ὑφίστασθαι, ἀντίφασις, οὐδεμία· ἐντεῦθεν ἕπεται, ὡς ἀναγκαίως ἑκατέρα οὐχ ὑφέστηκεν· ἡ ἄρα τοῦ παρ᾽ αὐτοῦ ὑφισταμένου, ὅπερ ἀναγκαίως ὑφέστηκεν, οὐσία, ἁπλῆ ϗ μία.

ϛ.

Τὸ παρ' αὐτοῦ ὑφιςάμενον, νοητικόν τι ὂν τυγχάνει· ἐπὶ τῆς προτάσεως ταύτης, τῶν ἀθέων ἡμεῖς οὐ τὰ τυχόντα διαφέρομεν· ἀμέσως μὲν ἐκ τῶν προτέρων ἀποδεικνύειν, ὡς τὸ παρ' αὐτοῦ ὑφιςάμενον, ἐςὶ νοητικὸν, καὶ πράγματι ἐνεργητικὸν, ὁμολογῶ, ὡς ἀμήχανον· ἐφ' ὅτῳ γὰρ ἤδε βέβηκεν ἡ νόησις, καὶ εἴγε ἡ μεταξὺ τῆς τε παρ' αὐτοῦ ὑπάρξεως καὶ συνάφειας, ἔςιν ἡ αὐτὴ ἄμεσος καὶ ἀναγκαία τῇ, ἡ μεταξὺ τῆς αὐτοῦ ὑπάρξεως καὶ αἰωνιότητος, τῆς μονάδος, τῆς ἀπειρίας, κτ. ἀγνοῶν, ξυνορᾶν οὐδὲν ὅλως ἔχω· ἐκ δὲ τῶν ὑςέρων οὐδὲν τῶν ἐντ' ἀμέτρῳ τούτῳ παντὶ, ὃ τὴν μεγίςην ταύτην ἀλήθειαν οὐκ ἀποδεικνύει, τῶν ἐπιχειρημάτων ἀναμφίβολλα παρέχον, ὡς ὁ κόσμος καὶ ἅπαν, ὅ,τι οὗτος ἑαυτῷ ἐμπεριέχει, ὑπερνοούσης τε καὶ ὑπερσόφου αἰτίας ἀποτέλεσμα.

Α. Τὸ παρ' αὐτοῦ ὑφιςάμενον, αἰτία καὶ ἀρχὴ πάντων ὂν, ἁπάσας τὰς ἁπάντων τῶν ὄντων τελειότητας ἐν ἑαυτῷ κατ' ἐξοχὴν δέον ξυμπεριλαμβάνειν· ἔχειν τῶν ἀποτελεσμάτων τι ἐν ἑαυτῷ τελειότητα, ἥμη ὡσαύτως καὶ τῇ αὐτοῦ αἰτίᾳ ἐνυπάρχει, τῶν ἀμηχάνων· εἰ γὰρ, παρήγετ' ἂν ἡ τελειότης ἤδε πρὸς μηδενὸς, ὅπερ ἄτοπον.

Β. Η καλλονὴ, ἡ ποικιλλία, ἡ τάξις καὶ ἡ συμμετρία, ὅσαιπερ ἐν τῷ παντὶ καταςράπτουσι, καὶ ταῦθ' ἡ ξένη εὐθύτης, οὗ τούτων ἕκαςον

ἐπὶ

ἐπὶ τὸ οἰκεῖον σπεύδει τέλος, τὴν πρώτȣ τινος τῶν ὄντων καταγγέλλει νόησιν· τάτε τῶν φυτῶν ἐλάχιςα ϗ τὰ μηδενὸς ἄξια τῶν ζώων, ὧν ȣ̓κ ἀπόῤῥητος ἡ γέννησις, πρὸς τῶν αὐτοῖς ὁμοίων παρῆκται· ȣ̓́θ᾽ ὁ ἥλιος, ȣ̓́θ᾽ ἡ γῆ, ȣ̓́τε τὸ ὕδωρ, ȣ̓́θ᾽ ἅπασ᾽ ἅμα ληφθεῖσαι, αἱ τῆς φύσεως δυνάμεις, ὁμοιόν τι ὂν ζῶν, μήτιγ᾽ αὐξητικὸν, ἱκαναὶ παράγειν· ἐκ δὲ τῆς ὠφελίμου παρατηρήσεως τῆς δε ἐν παρόδῳ σημειῶ ἐνταῦθα, ὡς ἥ τε φυσικὴ ϗ ἡ πειραματικὴ φιλοσοφία τὰ μέγις᾽ ἐσθ᾽ ὅτε τῇ θρησκείᾳ βοηθεῖ.

Ὄντων δὲ τοιȣ́των τȣ́των, ξυνάδειν χρὴ ϗ τὸν ἰσχυρογνωμονέςατον τῶν ἀθέων· ὁπωσποτ᾽ ἂν ἔχῃ, ἢ ὡς ὁ τῶν φυτῶν ϗ ζώων ἐξοργανισμὸς, ἐςιν ἐν τῇ αὐτῇ ἀρχῇ τὸ νοητικȣ̃ τινος ὄντος ἔργον, ἐν χρόνῳ ταῦτα δημιȣργήσαντος· ἢ ὡς ὄντ᾽ ἀπ᾽ αἰῶνος κατεσκευασμένα ϗ διατεταγμένα, ἢ νῦν ὁρᾶται, τυγχάνει αἰώνιός τις παραγωγὴ αἰωνίȣ τε ϗ νοητικῆς αἰτίας, ἀδιαλείπτως τὴν αὐτῆς ἄπειρον δύναμιν ϗ σοφίαν ὑπερεχεȣ́σης· ἢ τέλος πρὸς ἀλλήλων γεννᾶται ἐν προόδῳ ἐπ᾽ ἄπειρον ἠρτημένων αἰτιῶν, ἄνευ προκαταρκτικῆς αἰτίας, παρ᾽ αὐτῆς ὑπαρχȣ́σης· τῶν προτάσεων τῶνδ᾽ ἡ πρώτη κυρίως τυγχάνει, ἣν ζητȣ̃μεν, ἡ γὰρ δευτέρα ἐπὶ ταύτην ςρέφει, καταφύγιόν τι τ᾽ ἀθέῳ μηδόλως παρεχομένη· ἡ δὲ τρίτη. ἄτοπος, ἀδύνατος, ἀντιφατικὴ, ἥπερ ἐν τῇ δευτέρᾳ καθόλȣ προτάσει δέδεικται.

## Z.

Τὸ παρ' αὐτοῦ ὑφιστάμενον, ἐλεύθερόν τι ἐνεργοῦν χρὴ τυγχάνειν· εἰ γὰρ ἀνελεύθερον ϗ δίχ' ἐκλογῆς τὸ πρῶτον αἴτιον, ὑφίστασθαι τῶν ὄντων, ἦν ἂν τῶν ἀμηχάνων· ἀφῃρεῖτο δ' ἂν ἔτι ἔς γε ϗ αὐτοὺς τοὺς τούτου ὑπάρχειν ταῦτα τρόπους ϗ τὰς περιστάσεις τῆς τούτων ὑπάρξεως, καὶ ἑπομένως παντὶ λόγῳ ταῦτα, οἷα τήμερον, τοιαῦθ' ὑπάρχειν πρὸς ἀκρίβειαν οὐκ ἔδει· οὐσῶν δὲ ψευδῶν ϗ προδήλως ἀτόπων ἁπασῶν τῶν δὲ τῶν συνεπειῶν, φημὶ τὴν πρώτην αἰτίαν, μὴ ἐνεργήσαν ἀναγκαίως, ἐλεύθερόν τι ὂν κατ' ἐκλογὴν ἐνεργοῦν ὑπάρχειν.

Οὔσης ἄλλως τε τῆς πρώτης αἰτίας, ψιλῶς ἀναγκαίου ἐνεργοῦντος, τῶν ταύτης ἀποτελεσμάτων ὑπάρχειν τι πεπερασμένον, εἴη ἂν ἀδύνατον· διατίθεσθαι γὰρ, ἢ ὁρίζειν, πρὸς ἀρέσκειαν, τὰς αὐτοῦ ἐνεργείας τ' ἀναγκαίως ἐνεργοῦν, οὐκ ἂν ἦν αὐτεξούσιον· ἀνάγκη γὰρ ποιεῖν, ὅ, τι ποτ' ἂν ἡ τούτου φύσις ᾖ δεκτική· σαφὲς δ', ὡς ἑκάστῃ παραγωγῇ τῆς ἀπείρου αἰτίας, μονοειδῶς ἀεὶ ϗ τυφλῇ ὁρμῇ ἐνεργούσης, ἦν ἂν ἀναγκαίως ἄμετρός τε ϗ ἄπειρος· αἰωρεῖν γὰρ τὴν τοιαύτην αἰτίαν τὴν αὐτῆς ἐνέργειαν, ἦν ἂν ἀδύνατον· κατὰ πᾶσαν γὰρ ἔκτασιν αὐτῆς δέον ἐνεργεῖν· τῶν ἄρ' ἐν τῷ παντὶ κτισμάτων οὐδὲν, ὃ εἴη ἂν πεπερασμένον, ὃ τῶν ἐσχάτως ἀτόπων ϗ τῇ πείρᾳ ἀντικείμενον.

## Η.

Τȣ παρ' αυτȣ ὑφισαμένȣ, τȣ τῶν ἁπάντων πρώτȣ αἰτίȣ, ἄπειρος ἡ δύναμις· προφανὴς, ϗ ἀναντίῤῥητος, ἡ πρότασις· ἐπεὶ γαρ ȣδὲν, πλὴν Θεȣ̃, παρ' αὐτȣ ὑφέσηκε, ϗ ἅπανθ' ὅσαγ' ἐν τῷ παντὶ, πρὸς αὐτȣ̃ τȣ́τȣ παρῆκται, ϗ τέλος πᾶσα δύναμις, ἥτις ἐν τῷ παντὶ, παῤ αὐτοῦ δέδοται, ϗ τȣ́τῳ ἐντελῶς ὑποκειμένη ὑποτάσσεται, τὶς ȣ̓χ ὁρᾷ, ὡς τ' αὐτȣ̃ βȣλήματι ȣ̓δὲν ἀνθέσηκε;

## Θ.

Τȣ̃ πρώτȣ αἰτίȣ ϗ πάντων δημιȣργȣ̃ ἄπειρον εἶναι δεῖ τὴν σοφίαν· φυσικὴ ϗ πρόδηλος ἀκολȣθία τῶν ἡγȣμένων προτάσεων, ἥδε· οὐ γὰρ τῆς ὑςάτης σαφηνείας, ὡς τ' ἄπειρον, τὸ πανταχȣ̃ παρὸν, τὸ ὑπέρσοφον, ἅπανθ' ὑπερακριβῶς δεῖ γινώσκειν; ἄλλως δὲ τ' ἀπειροδυνάμȣ ὄντος, τίποτε τῷ τȣ́τȣ βȣλήματι ἀντισήσεται; ἢ τ' ἄρισον ϗ σοφώτατον δημιȣργεῖν κωλύσει; προδήλως τοίνυν τῶν ἀρχῶν τȣ́των ἕπεται, ὡς τὸ ὑπέρτατον ὂν ἀεὶ τ' ἄρισον τῶν, ὅσα γινώσκει, δεῖ ποιεῖν, εἴτ' ȣ̓̃ν ἀεὶ τοῖς τῶν νόμων ἀκριβέσι τῆς ἀγαθότητος, ἀληθείας, δικαιοσύνης ϗ τῶν λοιπῶν ἠθικῶν τελειοτήτων, ἐνεργεῖν χρὴ, ὅπερ ἀνάγκην, κατὰ τὴν τῶν μορίμων, τυφλὴν ϗ ἀπόλυτον μὲν ȣ̓, ἠθικὴν δὲ ϗ τῇ ὑπερτελείῳ ξυνάδȣσαν ἐλευθερίᾳ, ϗ μάλαγ' ἐπάγει.

Τὴν τῶν διαφόρων τῶνδε προτάσεων ἐξέλιξιν, εἴτ' ἂν ἀνάπτυξιν, ἐν τῇ πραγματείᾳ, ἧς ἀρυσάμενοι, ἐπιτέμομεν, χρεὼν μᾶλλον ἀκριβῶς ταύτας ἐξετάζειν· ἀλλ' ὁ τῦ τῆς φύσεως συςήματος καθηγητὴς οἰόμενος αὐτὰς ἀνασκευάζειν, τὴν τῆς ἥττης μᾶλλον, ἢ τὴν τῆς νίκης, δάφνην ἀπηνέγκατο· τῶν γὰρ πρὸς τῦ καθηγητῦ λεγομένων, σαφὲς, ὡς ὐδὲν πλεῖον, ἢ μόνην αὐτὴν τὴν ὑπόσχεσιν, εἴτ' ἂν ἐπιγραφὴν, ἐκέτι δὲ ϗ τὰς ἀποδείξεις αὐτὰς ἀναγνῶναι δοκεῖ· ὡς τὰς ἐπίτηδες κατηριθμημένας τε ϗ ἀνεσκευασμένας τῷ καθηγεμόνι ἀνθιςάσεις ἐπαναλαβὼν, προσοχὴν ἄλλω τῳ ὁ ἄθεος ὗτος ὐ πεποίηται· ὅ, τι γὰρ ἂν ποθ' ὗτος ποιῇ, ὐδὲν ἀλλ', ἢ ἁρμόζειν σπεύδει τῇ ὕλῃ, ὅσα τῷ σοφῷ ἄγγλῳ, περὶ τ' ἀναγκαίυ ὄντος, εἴρηται, τοῖς ἐπὶ τῇ προσαρμογῇ ταύτῃ ἐκείνῳ λεγομένοις ἥκιςά πυ προσέχων.

Παρατηρῦμεν ἐνταῦθα πρῶτον, ὡς, εἰ ϗ μόνοις τοῖς τῦ καθηγητῦ Κλαρκίυ ἐπιχειρήμασιν ἑαυτὺς περιωρισάμεθα, ὐ μέντοιγε καὶ ὡς μόνα ταῦτα ἀποχρῶντα θεωρῦντες, οἷάπερ ἄλλ' ἄττα, τὴν τύτων χώραν ἐπέχοντα, μὴ ἐπιςάμενοι· τῆς γὰρ θείας ὑπάξεως ἀποδείξεις, ἄλλως πως διατετ]αγμένας, ϗ τῷ φαινομένῳ μᾶλλον, ἢ τῇ διανοίᾳ, διαφόρων ἀρχῶν ἐξηγμένας, ϗ οἱ περὶ Οὐόλφιον ἡμῖν παρέχονται· Βολλαςὼν, ἐν τῷ περὶ φυσικῆς θρησκείας σχεδίῳ, τῶν μεθόδων ἀλλῃ τινι ἠκολύθησε· πρὸ τύτων δ' ἔτι ϗ ὁ καρτέσιος ϗ ὁ μαλεμβράγχιος ἄλλοις τῶν συλλογισμῶν ἐχρήσαντο, τῶν μὲν

τῆς φυσικῆς ἀρυομένων, τῶν δὲ τὰς ἐκ τῶν ἀποτελεσμάτων ἐπαγομένας ἀποδείξεις αἱρȣμένων, εἰσὶ δ᾽ αἱ τȣ́των ἑκατέρȣ γένȣς ἀντέχονται· σπευδȣσῶν γεμὴν ἐπὶ τὴν αὐτὴν ἐπιφορὰν, αἱ μὲν μείζονος, αἱ δ᾽ ἐλάττονος σαφηνείας τε καὶ ἐκφράσεως τυγχάνȣσι.

Παρασχόντων ἐντεῦθεν ἑαυτȣ̀ς τῶν σοφῶν θεϊςῶν τῇ τε διακρίσει καὶ διαφόρῳ δεξιότητι τῶν ἀναγινωσκόντων, οἱ μὲν τȣ̀ς τῆς μεταφυσικῆς ὑψυλοτάτȣς φιλȣ̃ντες συλλογισμȣ̀ς, ȣ̓δέσιν ἄλλοις, ἢ τοῖς τȣ̃ τοιȣ̃δε εἴδȣς, ἥδονται· οἱ δὲ τὰς ἀναλυτικὰς αἱρȣ̃νται ἀποδείξεις, ὅσαι τῆς τȣ̃ παντὸς θεωρίας ἐξάγονται, τοῖς πλείοσι δὲ τὰ, ὅσα διὰ ταύτης ἀνακαλύπτȣσι, σημειώμενα τέλη, οἷα πρὸς πάντων εὐξύνετα, ἀρέσκει· εἰ καὶ τῶν καθηγητῶν τινες ἰδίᾳ φιλαυτίᾳ τυφλȣμενοι, τῶν ἐπιχειρημάτων, ὧν ȣ̓͂τοι αὐτοὶ ἐχρήσαντο, κατέγνων, ἀλλ᾽ ὡς ἀνίσχυρα ταῦτα καὶ βραχύ τι συνάγοντα ȣ̓κ ἀπέδειξαν· ὃ δὲ τέως τῇ περὶ θείας ὑπάρξεως διδασκαλίᾳ ξυμβαίνει, χώραν ἐπίσης ἔχει, ȣ̓χ ὅπως ἐν ταῖς ἄλλαις τῶν ἐπιςημῶν, ἀλλὰ κἀν αὐταῖς γε ταύταις ταῖς μαθηματικαῖς· ȣ̓͂τω συλλογισμῷ τȣ́των ἐξάγειν ἀσύμφορόν τινα συνέπειαν, τῶν ἀμηχάνων· τί τὸ τὰς μαθηματικὰς τῶν ἐπιςημῶν ποιȣ̃ν ἀμφιβόλȣς; τὸ τὰ τȣ́των ςοιχεῖα ἀποδείκνυσθαι, τοῖς μὲν, ἀναλυτικῶς, τοῖς δὲ, συνθετικῶς, καὶ τοῖς μὲν, χρήσει τῆς γεωμετρίας, τοῖς δὲ, τῇ τῆς ἀλγέβρης· βραχὺ ἀρεσκόμενοι ταῖς τῶν ἡγησαμένων ἀποδείξεσι, φησὶν ὁ κύριος χολλάνδος, ἐν τῇ προρηθείσῃ πραγματείᾳ, οἱ Βερνȣ̀λλιοι,

λιοι, κοινὰς ἐξεζήτησαν· ταῖς, ἀντὶ τῶν καὶ τοὺς πρὸς τοῦ κυρίου Εὐλεροῦ ἀντικαταςαθείσαις μὴ ἀρκεσθεὶς ὁ κύριος δ' ἀλαμβέρτος, νέας προέθετο, αἳ τοῖς μετὰ τοῦτον χάριν οὐδεμίαν ἐποίησουσιν· εἴπερ ἄρ οὐδ' αἱ τῶν ἐπιςημῶν μαθηματικαὶ ἀνθιςάσεως ἀπαλλάττονται, τίς ἂν ἄλλη ταύτης ἀπαλλαγείη; ἐκδόντος τοῦ Οὐολφίου τὴν τῆς αὐτοῦ φιλοσοφίας πραγματείαν, πλεῖςτοι τῶν σοφῶν κατὰ τῶν περὶ θείας ὑπάρξεως ἀποδείξεων ἐξαναςάντες, ἀθεϊσμοῦ ἐτόλμησαν αὐτὸν γράφεσθαι, εἰ καὶ, τῷ τῇ αὐτοῦ μεθόδῳ καὶ τοῖς ὁρισμοῖς ἡρμοσμένῳ μὴ ψηλαφητῆς σαφηνείας τὰς ἐκείνου ἀποδείξεις τυγχάνειν, μηδεὶς ἂν ἀρνηθείη, ἃς τῶν τοῦ Κλαρκίου περὶ πλείονος ἂν οὐ ποιησάμεθα, εἰ μὴ καινήν τινα περὶ τούτων διάλεκτον μαθεῖν ἐδέησε.

Σημειωτέον ὧδε δεύτερον, ὡς, ὅτε ταῖς τῆς θείας ὑπάρξεως ἀποδείξεσιν, αἷς οἱ σοφοὶ οὗτοι χρῶνται, τὸ τῆς ἀποδείξεως ὄνομα παρεχόμεθα, οὐδὲν ἄλλο σημαίνειν ἐθέλομεν, ἢ ὡς ἅπαντα τῶν ἐπιςαμένων συλλογίζεσθαι, καὶ τῆς τοῦ συλλογισμοῦ δυνάμεως αἰσθάνεσθαι, ἐπὶ τὴν ἀνάγκην τοῦ τὴν θείαν ὕπαρξιν γινώσκειν, οἵαν καὶ περιεγραψάμεθα, αὗται τοῦτον ἄγουσιν, οὐχ ὅτι δὲ καὶ ὁ τῶν τῶν ζητημάτων, ὅσα δυνατὸν κατασκευάζειν περὶ θεότητος, καὶ ἔτι πάσῃ δυσκολίᾳ, ᾗ βουλομένῳ πάντα κατανοεῖν τῷ νοΐ παρίςασθαι δύναται, ἱκαναί· οἵας ποτ' ἂν καὶ γενώμεθα μερίδος, ἀεὶ οἱ τοῦ ἐν ἡμῖν πνεύματος ςενοὶ ὅροι τῶν ἀκαταλήπτων μυςήρια περὶ τοῦ ὑπο-

ποκειμένη τῦδε εὑρίσκειν ἡμᾶς ἐκβιάσονται· ὁ ἄθεος τῷ θεΐςῃ μύρια τῶν ζητημάτων ποιήσεται ἀντικείμενα, περὶ θείας φύσεως, δημιουργίας, προνοίας, ἐνεργείας τῦ πνεύματος, τῆς ὕλης, κτ. ὁ θεΐςης τῦτον παρ' αὐτῦ ἐπιςομιεῖ τοῖς αὐτῦ, περὶ τάξεως ϗ ἁρμονίας, αἳ τῷ παντὶ ἐναςράπτυσι, τῆς τῶν ζώων ἀρχῆς, τῆς ἐν τῇ ὕλῃ ἀδρανίας, τ' ἀδυνάτυ, ὅ τῆς κινήσεως ἄρχεται ϗ δίχα νῦ παράγει τὰ τῶν ὄντων νοητικά, ϗ δυσκολιῶν ὐκ εὐαρίθμων πλήθει· ἐν τῷ τῦ πολέμυ τῦδε μέσῳ κλονήμενον ἀμαυρῦσθαι ἑαυτὸν ὁ σοφὸς ὐδόλως ἀφίησι, μεμνημένος, ὡς πάντα γινώσκειν, τὴν πᾶσιν ἐνδομυχῦσαν ὐσίαν καταινοεῖν, ἁπάσας τὰς τύτων σχέσεις, τὰς αὐτῶν συνεπείας ἀνακαλύπτειν, τῶν φαινομένων πάντων διδόναι λόγον, τ' ἀνθρώπῳ ὐδέδοται· δυσκολία γεμήν τις, ἡ τὴν αὐτῆς ἀρχὴν ὐκ οἶδεν, ὅ, τι μὴ ἐν τῇ ἀνεπιδεκτικότητι τῦ ἀναπτύσσειν τὸ τῶν πραγμάτων πῶς, ὧν ἄλλωςε ἀντίφασις τὰ τῆς ἀνυπαρξίας, τῇ τύτων ὑπάρξει πιςεύειν ςαθερῶς, αὐτὸν κωλύσει ὐδέποτε.

Οὔσαις ἀληθέσι ταῖς συλλογισμῦ τινος ἀρχαῖς, ὡς τὴν ταύταις ἐμπεριεχομένην ἐπιφορὰν, ὀρθῶς τύτων ἐπάγεσθαι, ταύτην, οἷά περ ἀληθῆ, θεωρητέον· οἵας ποτ' ἂν δυσκολίας τῇ συνεπείᾳ ταύτῃ προτείνειν ᾖ, τὴν τύτων πηγὴν ὐκ ἄλλῃ πῦ διορᾶν ἂν ἔχοιμεν, ἢ ἐν τοῖς τῦ ἑαυτῶν νῦ ὁρίοις ϗ τῇ τῦ ἐν αὐτῷ διαβατικῦ βραχείᾳ ἐκτάσει· ὅ, τι ἂν σύςημα, εἰ. ἀντίφασιν ἄγον, ἢ ταύτην περιέχον, ἢ ἀποδέχεσθαι φέρον,

ρον, ἀποσείσεται μὲν ὗτος, ὐκ ἀποβαλεῖ δὲ ϗ τὸ δυσκολίας περιέχον, ὧν ὐδὲν τὴν λύσιν παρέχεται, ἄλλωςε ϗ ἀληθείας αὐτὰς ἔχον θεμέλια, ὐδὲν, ἢ συνεπείας ἐπιφέρον νομίμης, καὶ τῶν ἀντιφατικῶν ὐδὲν διαλαμβάνον· τὸ τῦ θείςυ σύςημα, ἔςιν, ἀποδεικνύοντα ςέργειν, ὡς ὑφήςηκε θεός τις, εἴτ᾽ ὖν αἰώνιόν τι ὂν, νοῦν καὶ ἐνεργῦν, τῦ λεγομένυ παντὸς διαφέρον, ἐν ᾧ ὁ τῆς τῦ κόσμυ ὑπάρξεως λόγος, ϗ ὅγε, τῇ τῆς αὐτῦ φύσεως δυνάμει, ἁπάσας τὰς τῷ νοητικῷ ὄντι καθηκύσας τῶν τελειοτήτων, ϗ ὐ τὰ ἴχνη ἐν τοῖς αὐτῦ ἔργοις καθορᾶται, ἐνεργῦντι ϗ ἀεὶ ἐνεργήσοντι, ἢ ταῖς αὐτῦ τελειότησιν ἀνήκει, ἐν αὐτῷ συλλαβὸν ἔχει· τῶν δ᾽ ἀνθιςάσεων, ὅσας ἄν τις κατὰ τῆς τύτυ ἐκτεθείσης ὑπάρξεως ποιοῖτο, ὐδεμία μὴ ἐπὶ ψηλαφητὰς τῶν ἀντιφάσεων ἐπάγυσα· οἷον, ἀναγκαῖα, τὰ ἐνδεχόμενα· ἄπειροι τῶν αἰτιῶν μὴ ἀναγκαῖαι, ϗ τῶν ἀποτελεσμάτων ἐνδεχόμενα ἀναιτίως ὑφίςαιται· τῷ συνδυασμῷ τῶν τῆς ὕλης μὴ νοόντων μὲν, δεκτικῶν δὲ μόνης κινήσεως, μερῶν, τήν τε νόησιν ϗ σκέψιν δυνατὸν ἀπογεννᾶσθαι· τῶν πινάκων θαυμάσιοί τινες διὰ τὴν ἐν σφίσιν αὐτοῖς ὑπεροχὴν, κὐδ᾽ ἀναγκαῖοι, τέλος πεφύκασιν, ἐφ᾽ ᾧ μὴ νοητικόν τι τῶν ὄντων τείνει, ἰδέαν, ἢ σχέδιον ἐκ τύτων μὴ κατασκευάζον, κὐδὲ πέρας τι ἔχον· τῶν θαυμασίων μέσων ἐπίλεκτ᾽ ἄττα, ὅπως τὰ τέλη ταῦτα καταλάβῃ, ἐκλογῆς, θελήσεως, προορατικῦ, ἰδέας τῦ καθήκοντος, κτ. ἄνευ ὥριςαι.

Τὸ τȣ̃ θείςȣ σύςημα ἄλλῳ τινὶ γένει δυσκολιῶν, πάνυ διαφόρων, χώραν δίδωσι· πῶς γὰρ ἄν τις τὸ αἰώνιον ὄν, ὃ πᾶσαν ἀρχὴν ἀγνοεῖ, κατανοήσῃ, πρόδηλον μέντοι, ὡς ὄντι τοιȣ́τον ὑφέςηκε; πῶς τὴν δημιȣργίαν; ϗ μὴν σαφές γε, ὡς τȣ̃το πάντων, ὅσα ὑπάρχει, τὸν τῆς ὑπάρξεως λόγον ἑαυτῷ ἐμπεριέχει· ὅπως δ᾽ ἐξοντοῖ, ἢ παράγει, ἡμῖν ȣ̓χ ἧττον ἄδηλον· ὡς ὁ τυφλὸς τῶν χρωμάτων, αὐτοὶ δ᾽ ἕκτης, ἢ ἑβδόμης, αἰσθήσεως ἰδέαν ȣ̓κ κτώμεθα, ȣ̔́τως ȣ̓δ᾽ ὅπως τὸ νοητικὸν ἐπὶ τὴν ὕλην ἐνεργεῖν δύναται, ἐπιςάμεθα· ἀλλ᾽ ἡμετέρᾳ βȣλήσει, ἡ νοητικȣ̃ ὄντος ἐνέργεια, ȣ̓ τὸ ἡμέτερον σῶμα, ὃ τυγχάνει ὕλη, ἐνεργεῖν διατιθέμεθα; δορυφορȣ̃σαι τ᾽ ἀθεϊσμῷ αἱ ἀντιφάσεις, τȣ́τȣ πηγάζȣσι, τ᾽ αὐτȣ̃ ψεῦδος ἀποδεικνῦσαι· αἱ δὲ δυσκολίαι, ὅσαι μόναι τῶν τȣ̃ ἐν ἡμῖν πνεύματος ὁρίων καρπὸς, ϗ τȣ̃ περὶ τὸν θεϊςὴν συςήματος ἀκολȣθȣ̃σαι, τὴν ἀλήθειαν ἐῶσιν ὑφίςασθαι· τὶς τῶν σοφῶν τῇ τῶν δυοῖν ὑποκειμένων τῶν δ᾽ ἐκλογῇ διςάσειε; τέλος δ᾽ ȣ̓ πρὸς τὸν θεϊσμὸν κλινεῖ τὰ τῆς πλάςιγκος, εἰ ταῖς ἑκατέρων τȣ́των συνεπείαις προσέξομεν;

Ἐπεὶ, ἐξ ὧν εἴρηται, Α, ὡς ἔςιν αἰτία τις, μία, πρώτη, αἰώνιος, τȣ̃ παντὸς διάφορος, ἐν ᾗ ἁπάντων, ὅσαπερ ὑφέςηκε, περιέχεται ὁ λόγος, τῆς φύσεως, τῶν ἰδίων, ϗ τȣ̃ προσδιορισμȣ̃ τȣ́των ἑκάςȣ· ἢν γὰρ μὴ, τῶν ἀποτελεσμάτων ἀναίτια ὑφέςηκεν· ἀνάγκη ἄρ᾽ ἀπ᾽ αἰῶνος ὑφίςασθαι αἰτίαν τινα, τὰ σήμερον ὑφεςῶτα παράγειν ἀξίαν.

B.

Β. Ἐνεργητικὴ ἡ αἰτία αὕτη, ἄρχεσθαι, προάγειν, καὶ τῆς ἐνεργείας ἐπιτήδεια μεταδιδόναι· ὅσας τῷ ὄντι ἐν τῷ παντὶ δραστικότητας καὶ ἐνεργείας, τῷ ὄντι, ὅ πάντων ἀρχὴ, ταύτας ἐνεῖναι δέον. τὰ γὰρ ἐνεργητικὰ τῶν ὄντων ἔξωθεν τὴν αὐτῶν ἐνέργειαν ἐπιδέχεται.

Γ. Ἡ πρώτη ἡ δ᾽ αἰτία, νοητική· ἔνεστι γὰρ τῷ κόσμῳ τῶν ὄντων νοητικὰ, ἃ τήν τε ὕπαρξιν καὶ τὰς αὐτῶν δυνάμεις παρ᾽ ἡγυμένης τοῦτων αἰτίας εἴληφεν· ἅπαντα τὰ ἐν τῷ παντὶ γινωσκόμενα ἔχει τέλος, σκοπὸν, προσδιορισμὸν καὶ μέσα, ἃ τούτοις ἁρμόζει, ὃ δίχα νοητικοῦ τινος ἀδύνατον χώραν ἔχειν.

Δ. Οὖσα ἡ αἰτία, ἀφ᾽ ἧς ἅπαντα τὴν αὐτῶν ὕπαρξιν οἶδεν, ἀναγκαία, οἷα παρ᾽ αὐτῆς ὑφεστηκυῖα, καὶ τὸ εἶναι παρ᾽ οὐδενὸς γινώσκουσα, ἀλλ᾽ ἅπασι τοῖς οὖσι τοῦτο δωρημένη, ἀναγκαίως ἀνεξάρτητόν τι αὕτη, πάντων ἀνώτατον, ἀπερίγραπτον, ὡς τούτῳ, ἢ τῇ αὐτοῦ νοήσει, ἢ τῇ παρουσίᾳ, ἢ τῇ ἐνεργείᾳ, ὅρους πηγνύειν, ἀμήχανον· ταύτη καὶ παντοδύναμον, πάνσοφον καὶ πανταχοῦ παρὸν τοῦτό γε.

Ε. Ἀλλοιοῦσθαι, φθείρεσθαι, ἐξοντοῦσθαι παρ᾽ οὑτινοσοῦν ἐνεργοῦντος τὴν ἀνεξάρτητον ταύτην αἰτίαν, ἀδύνατον· διὸ καὶ ἄτρεπτος καὶ ἐσαεὶ κατὰ ταυτὰ καὶ ὡσαύτως ἔχει.

ς. Ἁπάσας τὰς τελειότητας, ὧν ἐν τοῖς αὐτοῦ ποιήμασι καθορᾶται τὰ ἴχνη, τὰς τῇ οὐσίᾳ τοῦ νοητικοῦ καὶ ἐνεργητικοῦ ὄντος οἰκείας, ἀναγκαίας μὲν, ἀπείρους δὲ καὶ ἀμειώτους, ἐνυπάρχειν δεῖ τῇ πρώτῃ αἰτίᾳ· τὰ γὰρ πέρατα καὶ αἱ μειώσεις, τῆς τῶν κτιστῶν οὐσιώδους ἐξαρτήσεως ἀποτελέσματα· οὕτως ἀπονέμειν αὐτῇ χρὴ ἀπόλυτόν τινα τελειότητα, ἢ τὰς τῶν ἰδιοτήτων ὠφελίμους ἐννοοῦμεν ἁπάσας, ὅσαι συνυφίστασθαί τε καὶ συμπάσχειν δύνανται τῇ τοῦ νοητικοῦ, ἐνεργητικοῦ καὶ ἀνεξαρτήτου ὄντος φύσει, ἃς δέον ἀπείρους ἐνυπάρχειν τούτῳ.

Ζ. Τὴν πρώτην αἰτίαν ἀπολαύειν δεῖ εὐδαιμονίας, ἢ τῶν δεινῶν οἱουδήποτε, ταραχῆς, πάθους, ὅσα ταύτην ἔχει μεταβάλλειν, ἀπήλλακται· ἡ γὰρ ταραχὴ, ἡ ποινὴ, τὰ πάθη, ἀναγκαῖαι συνέπειαι τῆς ἐξαρτήσεώς τε καὶ ἀτελείας, αἵγ᾽ ἐγχωρεῖν τ᾽ ἀναγκαίῳ ὄντι οὐ πεφύκασι.

Τῶν δυσκολιῶν τινας ἐνταῦθα προτείνοντες τινες, φασὶν, ὡς ἰδέαν τῶν τοῦ Θεοῦ τελειοτήτων δίχα προπετείας κατασκευάζειν, ἀμήχανον· ἵνα γάρ τις τοῦτον παριστᾷ, ἀνάγκη τῇ αὐτοῦ διανοίᾳ ἀντιλαμβάνεσθαι πίνακος ἰνδαλμάτων, ὅσα γε οὗτος ὑπὲρ ἐκείνου ἐξιχνιάζει, οὐδὲν ἀλλ᾽ ἡμῖν τὸ θεῖον διαγράφοντα, ὅ,τι μὴ ἄνθρωπον, ἀνθρώπου τελειότερον· ἐνταῦθα γεμὴν οἱ τῶν θεολογούντων σοφοὶ, ὅσοι τὸν ἄνθρωπον, οἷα τῆς τοῦ Θεοῦ ἰδέας ὑπόδειγμα, οὐδέποτ᾽ ἀπεδέξαντο, συκοφαντοῦνται· σῶμα, αἰσθήσεις καὶ ὄργανα, καθὰ

δὴ ἔτι καὶ νόησιν, ἔχοντος τ᾽ ἀνθρώπου, ταῦτα τῷ θείῳ τῶν σοφῶν καθηγητῶν οὐδείς ποτε προσήψατο· ὅπως δὲ τοῦτο γινώσκει, βούλεται, ἐνεργεῖ; τῶν συνετῇ πεφωτισμένων φιλοσοφίᾳ τοῦθ᾽ ὁρίζειν οὐδεὶς ποτ᾽ ἂν ῥίψῃ τῆς κύβης· ἀλλὰ τήν τε νόησιν καὶ ἐνέργειαν, αἷς κεκοσμήμεθα, δυνατὸν ἀφηρημένως ταύτας θεωρεῖν κἀν τῷ θείῳ, ὅπερ ἥτε νόησις καὶ ἡ ἐνέργεια δέδεικται, ὡς τούτῳ μὴ ἀπονέμοντας, ἢ τὰ τούτων ἀναγκαίως προκύπτοντα· εἰ μὴ ἐσωτερικῇ αἰσθήσει ἐγινώσκομεν, ὅτου δεκτικὸν τὸ νοητικὸν καὶ ἐνεργητικὸν, ὑπὸ τῶν τούτου τελειοτήτων, αἷς κεκόσμηται, οὐδεμίαν ἂν εἴχομεν ἰδέαν· γινώσκων δὲ ταύτας τῇ αὐτῇ ἐσωτερικῇ αἰσθήσει, τί μὴ ἐνδίκῃ συνάγειν ἂν δυναίμην, ὡσαύτως αὐτὰς ἐνυπάρχειν ἅπασι τοῖς οὖσιν, ὅσα τῆς τε νοήσεως καὶ ἐνεργείας οὐσιωδῶς μετέχει, καθὰ καὶ τῇ ὕλῃ πάντῃ οὐσιώδεις τινὰς τῶν ἰδιοτήτων ἐπιστάμενος, (σῶμα γὰρ ἔχω), ταύτας οἷός τ᾽ ἂν εἴην παντὶ ὄντι, ὅπερ ὑλικὸν, ὡς κἀγὼ, ἀφοσιοῦν; ἐναργῶς τοίνυν θεώμενος, ὡς ἡ τῆς τοιαύτης τελειότητος ἀπουσία, οὐσιῶδες ἔλλειμμα τῇ νοήσει οὖσα, ἀπόδειξις, ὡς πεπερασμένη ἥδε καὶ οὐδ᾽ ἀνεξάρτητος, οὐκ ἂν τῶν νοητικῶν τινι, ὅπερ ἀναγκαίως τέλειόν τε καὶ ἄπειρον, ἀναγκαζοίμην τὰς τελειότητας ταύτας ἀνατιθέναι.

Γινώσκων οὕτως ἐμαυτὸν διαλέγεσθαι περὶ ὄντος τινὸς, παντοδυνάμου, παντόρου, πανταχοῦ παρόντος, ἀπολύτως ἀνεξαρτήτου καὶ ἀπείρου, τίμὴ τὴν φρόνησιν, τὴν δικαιοσύνην, τὴν ἀγαθότητα ἀποδιδόναι τούτῳ ἔμελλον; φρόνησις ἐστὶν,

ἡ σταθερὰ διάθεσις τοῦ τὸ κρεῖττον ἀεὶ τοῦ χείρονος αἱρεῖσθαι, εἴτε τὰ τέλη ὁρίζουσα, εἴτε τὰ μέσα ἐπιλεγομένη, ἧς ἡ ἀπουσία, ἀπόδειξις δήπου ἀτελείας, ἐλλείμματος, ὅρου· τῆς γὰρ νοητικῆς οὐσίας, τὸ κρεῖττον τοῦ χείρονος αἱρεῖσθαι, ἴδιον, ταύτῃ μὴ ἀντικειμένης ἐξωτερικῆς τινος δυνάμεως, οὐδ' αὐτῇ καταχρωμένης ἀπάτης· ἀλλ' ἡ πρώτη αἰτία, πάντα δύναται, πάντα γινώσκει, ἀναγκαίως ἄρα καὶ ἀπείρῳ φρονήσει κεκόσμηται·

Δικαιοσύνη ἐστὶ, σταθερὰ διάθεσίς τις, ἣ τοῖς τῶν ὄντων νοητικοῖς, οἷα ταῦτα πέφυκε, χρῆται, εἴτε τάξεις τούτοις παρεχομένη, εἴτε κρίνουσα τὴν τούτων ἀξίαν, εἴτε καὶ τὸν ἐν αὐτοῖς κλῆρον πηγνῦσα· ἀπαιτεῖσθαι μὲν τινα, ὃ μὴ ἔχει ἐπιτελεῖν, ὡς τούτῳ μὴ δοθεισῶν δυνάμεων, ἀποδέχεσθαι δὲ τὸν, ὃς ἐπὶ τῷ γινωσκομένῳ καθήκοντι πράττει, ἀποδοκιμάζειν τὸν τὸ κρεῖττον αἱρούμενον καὶ τῷ καθήκοντι ἑπόμενον, κολάζειν, ὡς ὑπεύθυνον, τὸν ἀνεύθυνον, διορθοῦν ἐθέλειν τὸν δίκαιον, βραβεύειν τὸν κακοῦργον, κἀντεῦθεν τὸν τὰς ἐπανορθώσεις δέχεσθαι μέλλοντα παραθαῤῥύνειν, ἔστιν ἐνεργεῖν, ὡς τὸν τὰ ὑποκείμενα τῶν αὐτοῦ ἐνεργειῶν ἀγνοοῦντα, ψευδεῖς ἰδέας ἑαυτῷ ἀναπλαττόμενον, ἅπερ ἅπαντα τῇ τῆς ὑπερτελείου διανοίας ἰδέᾳ περιστάσεις ἀσυμπάθητοι.

Ἀγαθότης ἐστὶ, σταθερὰ διάθεσις, εὐδαίμονα τὰ τῶν ὄντων αἰσθητὰ ἀποκαθιστῶσα· τὸ τὴν ὕπαρξιν δωρούμενον τοῖς οὖσιν, ὡς κακοδαίμονα ποιεῖν ταῦτα, ἢ πάσχειν αὐτὰ ἀρεσκόμενον,

ἄ-

ἃ φύσει ϗ προορισμῷ τῷ αὐτῶν εὐδαίμονα ὑπάρχειν ἠδύνατο, δεικνύοι ἂν, κώλυμα τῇ αὐτοῦ εὐδαιμονίᾳ ὑπάρχειν τὴν τȣ́των, ϗ ȣ̃τως αὐτὸ ἐξαρτᾶσθαι· μᾶλλον γὰρ τ᾽ ἄτοπον ϗ κακὸν αὐτῷ ἀρέσκει, ἤτ᾽ ἀγαθὸν ϗ καλὸν· ὥςε ȣ̉κέτι φρόνιμον· ἤτε γὰρ κακοδαιμονία ϗ τὸ πάθος, τῇ τῶν ὄντων, ὅσαγε τȣ́των πειρᾶται, φύσει ἀντικείμεναι περιςάσεις, ϗ ἑπομένως ἀταξίαι, ἃς ἀποδέχεσθαι τὴν φρόνησιν, ἀνέφικτον.

Φρόνιμον, δίκαιον, ϗ ἀγαθὸν λέγειν τὸν θεὸν, τȣ̃τον, ἄνθρωπόν ἐςι ποιεῖν; ȣ̉ τῆς ἀνθρώπȣ, ἢ ἀνθρώπȣ, ἰδέας, ἀλλὰ τῆς τȣ̃ νοητικȣ̃ ὄντος ἀντιλαμβανόμενος, τὰς τȣ́τȣ νοητικȣ̃ ϗ ἐνεργητικȣ̃ ὄντος, ὃ πάντα ποιεῖ, πάντα δύναται, ϗ πανταχȣ̃ ὑπάρχει, τελειότητας συνάγω· αἱ τῆς πρώτης, νοητικῆς ϗ ὑπερτελείου αἰτίας ἰδιότητες αὗται, ἀπολύτως ἀναγκαίας ἐν ταύτῃ τίθενται, τὴν φρόνησιν, τὴν δικαιοσύνην, τὴν ἀγαθότητα.

Ἅπασαι αἱ τῶν τελειοτήτων λοιπαὶ, ὅσας τῷ θείῳ ἀποδιδόαμεν, ταύταις ἀναγκαίως, οἷα κλῶνοι, ἢ καιναὶ ἐπωνυμίαι τινὸς τῶν ἐν αὐταῖς, ἢ συμβολικοὶ ὅροι, ἐκείνας δηλȣ̃ν ἐμπεριέχονται· παρατηρητέον δὲ τῇ ἐννοίᾳ ταύτῃ τὸν πεπνυμένον, τὰς τῶν ἐννοιῶν ψευδεῖς ἀποδρᾶν, ὅσαι δυνατὸν διδόναι τισὶ τῶν ἐκθέσεων τȣ́των, παρὰ τῶν ἀνθρωπίνων παθῶν ἐρανιζομέναις, ὡς μὴ πάθη τῷ θείῳ, ὅπερ ἀπαθέςατον, προσάπτειν, ἀλλὰ τὴν τȣ́τȣ ἀνάλογον ὁδηγίαν· τῇ, ἣν ἐν ἀνθρώποις ταῦτ᾽ ἔχει· ȣ̃τω, παριςᾶν, ὅσω δι-

καίως

καίως ϗ βεβαίως ἀποδοκιμάζον τὸ θεῖον, κολάζει τὸν, ὃς μᾶλλον τῇ κτίσει, ἢ τῷ κτίςῃ, ἀπονέμειν φιλεῖ ἰδ᾽ ὅμηρα, συμβολικῇ, φασὶ, διαλέκτῳ, τὸ θεῖον, ζηλότυπον· αἰσθητομένοις τῆς πρὸς ἀρετὴν δραςικῆς προτροπῆς, ἐπαγομένης ἰδ᾽, τὰς παραβαίνοντας τὸ θεῖον τιμωρεῖ, φασὶ, τὰς πονηρὰς τὰτο μισεῖ, ἀγανακλᾶν ϗ ἰδτοις ὀργιζόμενον· ἵνα τὴν τῆς αὐτᾶ ἀπείρε ἀγαθότητος ἰδέαν παρέχωνται. ὡς τᾶτο τὴν τῶν αὐτᾶ ποιημάτων τελειότητα ϗ εὐδαιμονίαν ἐθέλει, φασὶ, σπλάγχνα πατρὸς ἔχον, τοῖς πάσχασι συμπαθεῖ· τῆς κακίας ἡμᾶς παυσομένης θαῤῥύνειν, πράττειν τ᾽ ἀγαθὰ, εὐαριςᾶντας τᾶτω, τῆς ἡμῶν ἐφιεμένω τελειότητος, τῇ τᾶ πλανηθέντος ἐπιςροφῇ, οἷα πολυέλεον, χαίρει φασὶ, τὸ θεῖον· δεικνύειν, ὅσον ἀναμφιβόλως τῆς ἡμῶν εὐδαιμονίας ἐπιθυμεῖ, καταςῆσον εὐδαίμονας, ἐσομένας ἀξίας, εὔσπλαγχνον, μακρόθυμον, εὐσυμπάθητον. ἅπερ ἅπαντα, φρόνιμον, δίκαιον, ἀγαθὸν ὑπάρχειν τὸν θεὸν ἐμφαίνει, ὅν γε τοιᾶτον, τῶν εὐσυνειδότων ᾔδεις, ὃς ὰκ ἂν ἀποδέχοιτο· ἀπάσας τὰς περὶ τοῦτον τελειότητας δυνατὸν ἐπὶ μίαν μόνην, εἴτ᾽ ὰν τὴν φρόνησιν, ἀνάγειν, τῶν ὀνομάτων ἐπιδεχομένην διάφορα, κατὰ τὴν τῶν ὑποκειμένων, ἐφ᾽ ἃ ἡ δ᾽ ἀνάγεται, διαφοράν· δικαιοσύνη αὕτη ἐςαι, ὅτε νόμας διδόναι ϗ πρὸς τελειότητα τὰς ἀνθρώπας ὁδηγεῖν, ἀμοιβῇ, ἢ ποινῇ. ζητεῖται· ἁγιότης, ὅτ᾽ εὐδαίμονα ποιεῖν τὰ τῶν ὄντων αἰσθητά, ἀσχολεῖται· συμπάθεια, ἐπὶ τὰ πάσχοντα ἀναγομένη· εὐσπλαγχνία, τοῖς μετανοᾶσιν ὑπευθύνοις συγγινώσκᾳσα· ἀλήθεια, τὰς ἀνθρώπας

δι-

διδάσκουσα· πίστις, τὰς ἐπαγγελίας ἀποπληροῦσα· αὐστηρότης, τιμωρίᾳ χρωμένη, ἐπὶ τ' αὐτῷ καθῆκον τὸν ἁμαρτάνοντα ἐπιστρέφειν· χάρις, εὐεργεσίαις ἐπὶ τούτῳ χρωμένη· ἀγάπη, τὰς αὐτῆς δωρεὰς τοῖς ἀγαθοῖς διανεμομένη· ἔλεος, τῷ ἡμαρτηκότι, ἵν' ἁγνισθῇ, χεῖρα βοηθείας ὀρέγουσα· οὕτως ἀπειράκις φρόνιμον καλεῖν τὸ θεῖον, μόνῃ εὐξυνετωτάτῃ λέξει, ἔστι τὸ πᾶν ἐκτιθέναι, τῇ τῶν ἀνθρώπων διανοίᾳ προσαρμοζόμενον, καὶ πυκνάκις ἀναπτυσσόμενον ὅροις, παρὰ τῶν τοῦ ἀνθρώπου διαθέσεων, ἢ παθῶν, ἐρανιζομένοις, οἷς τοὺς συχνάκις καταχρωμένους, ἡ κατὰ γράμμα σημασία τούτων συνεχῶς εἰς ἀπάτην ἄγει.

Τὸ τοῦ ἐδαφίου τοῦδ' ὑποκείμενον εἰδέναι, μικρᾶς ἂν εἴη ὠφελείας, εἰμὴ πρὸς ἡμᾶς σχέσιν εἶχε, τῆς τῶν τούτου τελειοτήτων γυμνασίας μηδέ ποτ' ὄντας τὸ ὑποκείμενον· μόνην γὰρ ἂν τὴν ἡμετέραν ἐπλήρου περιέργειαν ἡ τούτου γνῶσις, τῆς ἐν ἡμῖν καρδίας ἐξ αὐτοῦ μηδὲν ὠφελουμένης· διδούσης γὰρ διὰ τούτου λόγον τῆς τῶν ὄντων ὑπάρξεως τῆς διανοίας, ἐπιφερομένην συνέπειαν, ἥγε ὀφειλὰς ἐπιθεῖτο, οὐδεμίαν ἂν ἡ ἐν ἡμῖν ἐώρα θέλησις· ἅπαντα μέντοι ὄψιν μεταβάλλει, τῶν ὁρισθεισῶν ἀρχῶν πηγαζουσῶν τὴν ἀνάγκην τοῦ ἕνα θεὸν γινώσκειν ἐπισταμένοις, Α. κύριον, οὗ τῷ κράτει ὑποκείμεθα, τὴν μείζω πασῶν ἀπόλυτον κυριότητα ἔχοντα ἐφ' ἡμᾶς. Β. συντηρητὴν, ὃς τὴν αὐτῷ προορισθεῖσαν τάξιν, ἐφ' ᾧ πάντα συνεχῶς ὑφίσταται, διατηρεῖ. Γ. εὐεργέτην, οὗ τῷ βουλήματι ἁπάσας τὰς, ἃς ἀπο-

πολαύομεν, εὐτυχίας, καὶ τῇ ἀγαθότητι, ᾗ τῆς τελείας εὐδαιμονίας ἀπολαύειν ἡμᾶς καλεῖ, ὀφείλομεν· Δ. νομοθέτην, ὃς τῇτε φύσει καὶ τῇ τῶν πραγμάτων σχέσει τοὺς νόμους, οἷς ἡμᾶς βούλεται συμμορφοῦσθαι, ἐγκαταγράψας, τὸν λόγον ἐχαρίσατο, ὅπως διαγινώσκοι μὲν τούτους, τὴν ἠθικὴν αἴσθησιν, τῆς αὐτῶν ὑπεροχῆς μετέχειν, τὴν συνείδησιν, ὡς τοῦ ἐσωτερικοῦ χρέους τούτῳ εἴκειν ἀναμιμνήσκῃ. Ε. κριτὴν τέλος, τῆς μὲν αὐτοῦ ἀποδοχῆς παρεχόμενον ἀποδείξεις τοῖς τοὺς νόμους τηροῦσι τῆς φρονήσεως, τῆς δ' ἀποδοκιμασίας σημεῖα τοῖς ἐπὶ τῇ αὐτῶν συνειδήσει πράττουσιν· εἰ μὴ ταυτὶ πάντα τῷ θείῳ ἔνεισιν, οὔτε φρόνιμον, οὔτε δίκαιον, οὔτ' ἀγαθόν· ἀλλ' οὐσιωδῶς ἀγαθὸν, δίκαιον καὶ φρόνιμον, ὑποκείμενοι ἄρα τούτῳ καὶ τέκνα, ὡς αὐτοῦ ἔργα· τοιούτου δ' ὄντος ἡμῖν τοῦ πρώτου ὄντος, ἡ μὲν τούτου γνῶσις ὠφελείας ἡμῖν οὐ μετρίας, ἡ δ' αὐτοῦ ὕπαρξις, ἡ ἁπάντων τῶν ἐν ἡμῖν χρεῶν, ἤτοι τῆς εὐλαβείας, ἀγάπης, ὑποταγῆς, τοῦ φόβου, τῶν ἐλπίδων, ἀρχὴ καὶ ὑπέρτατον ὑποκείμενον.

## ΤΕΛΟΣ.

# ΠΙΝΑΞ.

Σελ.

Περὶ Φιλοσόφου. . . . 1

Περὶ φιλοσοφίας. . . . 15

Περὶ σώματος φυσικοῦ καὶ μεταφυσικοῦ. . . 72

Περὶ ὕλης μεταφυσικῆς καὶ φυσικῆς. . . 95

Περὶ στοιχείου φυσικοῦ καὶ μεταφυσικοῦ. . . 108

Περὶ βάρους, ἢ βαρύτητος φυσικῆς. . . 128

Περὶ βαρύτητος φυσικῆς καὶ μηχανικῆς. . . 153

Περὶ κενοῦ φυσικοῦ καὶ μεταφυσικοῦ. . . 168

Περὶ ἐκτάσεως μεταφυσικῆς. . . . 177

Περὶ διαστήματος μεταφυσικοῦ. . . . 187

Περὶ Τόπου. . . . 201

Περὶ χρόνου μεταφυσικοῦ. . . . 206

Περὶ κινήσεως μηχανικῆς. . . . 213

Περὶ μονοειδὴς κίνησις μηχανική. . . 238

Περὶ ταχύτητος μηχανικῆς. . . . 241

Περὶ ταχύτητος τῶν κυρτὰς γραμμὰς διερχομένων σωμάτων. . . . 247

Τί ῥοπὴ, ἐν τῷ μηχανικῷ χρόνῳ. . . 250

Τί

Σελ.

Τι ὄγκος φυσικὸς ἐν τῇ μηχανικῇ. . . 252
Θεωρήματα. . . . . 254
Περὶ φύσεως μεταφυσικῆς. . . . 282
Περὶ ὑποςάσεως φιλοσοφικῆς λογικῆς ϗ μεταφυσικῆς. . . . 301
Περὶ μεταφυσικῆς ὑπάρξεως. . . . 303
Περὶ ὐσίας μεταφυσικῶς. . . . 315
Περὶ ψυχῆς μεταφυσικῶς. . . . 318
Περὶ ἑνώσεως ψυχῆς ϗ σώματος μεταφυσικῶς. . . 324
Περὶ πνεύματος μεταφυσικȣ. . . . 330
Περὶ ἀθανασίας μεταφυσικῆς ϗ ἠθικῆς. . 349
Περὶ Θεȣ μεταφυσικῶς ϗ θεολογικῶς. . 367

# Σημείωσις τῶν ἡμαρτημένων.

| Σελ. | | ςοίχ. | ἀνάγνωθι. |
|---|---|---|---|
| 2 | | 29 | ἀντὶ τέτην, τέτων. |
| 3 | | 8 | ειδήμων, διαλεκτικός. |
| 11 | | 24 | τολεμία, πολεμία. |
| 13 | | 3 | ἄχει, ἄρχει. |
| 14 | | 10 | μείζω, μείζων. |
| 26 | | 22 | παρ' αὐτῷ, περὶ αὐτόν. |
| 34 | | 2 | τ' ἡ, ἡ τ'. |
| 38 | | 24 | προμῆτεία, προπετεία. |
| 39 | | 17 | λέγει, λήγει. |
| 48 | | 26 | τοῖς, τῆς. |
| 57 | | 12 | φιλονείων, φιλονείκων. |
| 59 | | 7 | ἀφήσι, ἀφίησι. |
| 67 | | 1 | ὑπεριψιοθέν, ὑπερυψωθέν. |
| 73 | | 5 | πριότητας, ποιότητας. |
| 87 | | 25 | δὶ ἐκείνης, δὴ ἐκείνης. |
| 100 | | 30 | ἀδαίρετον, ἀδιαίρετον. |
| 142 | ςύλ. | 4 | 140, 440. |
| 156 | | 13 | ΒΘ, ΒΔ. |
| 198 | | 15 | μέρες, μέρος. |
| 237 | | 5 | γεμετρίας, γεωμετρίας. |
| | τῇ αὐτῇ, | 28 | μετρίως, μετρίως. |
| 240 | | 24 | προαναλύπτοντας, προανακαλύπτοντας. |
| 257 | | 7 | ΡΟ, Ρο. |
| 260 | | 18 | ὑπετίθετ', ὑποτίθετ'. |
| 261 | | 4 | ὑπετίθετ', ὑποτίθετ'. |
| 262 | | 1 | ὑπετίθετ', ὑποτίθετ'. |
| 273 | | 15 | πρὸς, πρὸ. |
| 301 | | 1 | πρὸ Σερέναν, πρὸς Σερέναν. |

| Σελ. | στίχ. | ἀνάγνωθι. |
|---|---|---|
| 322 | [illegible] | [illegible] αὐτῆς, παρ' αὐτῆς. |
| 330 | 27 | ἐκσιν, ἔκτασιν. |
| 395 | 8 | συναφείας, νοήσεως. |
| 396 | 21 | ὑπερεχεύσης, ὑπερεκχεούσης. |